No. 1141
THE
LIBRARY COMPANY
OF
PHILADELPHIA.
COMMUNITER BONA PROFUNDERE DEORUM EST.

Gift of Henry Coxe Esqr

Vide;

Edwin C. Tappert, "A Greek Hagiologic
Manuscript in Philadelphia.
1937

99

+ κτῆμα τῆς σεβαστῆς μονῆς [illegible]

ἐξαρπασθέντων τῶν τοῦ διαβόλου δικτύων· καὶ ταῖς εὐχαῖς τῶν ἁγίων τῶν προ
πρὸ ἡμῶν ἀνακτησαμένων μὲν ἀρετὴν οἰοισιν: α

Συνέτυχον δὲ πρῶτον ἐμβαλὼν τῇ ἀποδημίᾳ· ὦ ἀδελφὲ χάριτι Χριστοῦ κυρίου· τῷ μεγάλῳ
καὶ θεοπνεύστῳ διδασκάλῳ Ἰσιδώρῳ τῷ πρεσβυτέρῳ· ξενοδόχῳ ὄντι τῆς ἐκ-
κλησίας ἀλεξανδρέων τῆς μεγάλης ἀνδρὶ θαυμαστῷ· Δωροθέου ἀσκητοῦ θηβαίου: β

Περὶ Ποταμιαίνης ὡραίας κόρης δούλης· Διδύμου τοῦ μακαρίου γραφέως τοῦ περὶ τοῖς ὀφθ.: γ

Περὶ Ἀλεξάνδρας τῆς ἀσκητρίας κόρης· περὶ τοῦ φιλοπλούτου παρθένου ὀνόματι: ε

Μακάριος ὁ ἄλλος ὢν παχώμιου ... : Νισχάλιοι φιλοσ... συνετύχομεν ἀρετὴ καὶ κόσμ..:

Ἐν τῷ ὄρει τῆς Νιτρίας· ἄλλοις ἁγίοις συνέτυχον:

Πεντακισχιλίοις πάλιν ἄλλοις ἁγίοις ἐν Φερμοῖς συνέτυχον:

Ἑξακοσίοις ἀναχωρηταῖς ἐν τῇ πανερήμῳ ἄλλοις:

Ὁ ἅγιος ... καὶ ... τοῦ βασιλ... καὶ ἄλλων πολυχρονίων καὶ στρατιωτῶν· ἀναχωρητῶν δοκι..:

Ἐν τῷ ὄρει τῆς Νιτρίας κοινόβιον ἐκκλησίας φοινικῶνος πρεσβ.:

Ξενοδοχεῖς ὁ δεξιούμενος τοὺς ἀπερχομένους: Περὶ ἐκεῖ γεγονυιῶν ἐπιτελουμένων ὁ ἀδελφός
καὶ τῶν πρεσβυτέρων ἀφηγουμένων καὶ τοῦ ὄχλου τῆς ἐκκλησίας καὶ τῶν ξένων καὶ τῶν ἐπιδη-
μαρσι καὶ ἄλλοι τῶν ἁγίων πρὸς ... : Ὁ ... διηγήσατο περὶ τοῦ μεγάλου Παχωμίου: ιδ

Περὶ τοῦ ἁγίου Ἀμμοῦν καὶ τῆς τούτου συμβίου:

Ὁ μακάριος Ἀμμοῦν καὶ ὁ τούτου μαθητὴς περῶσι τὸν Λύκον ποταμόν:

Αὐτὸς ὁ συγγραφεὺς μετὰ ... τοῦτον περάτου ποταμοῦ:

Τὰ περὶ Ὢρ τοῦ θαυμασίου ἀνδρὸς ἀναχωρητοῦ:

Τὰ περὶ τοῦ ἁγίου Παμβὼ τοῦ μεγάλου διδασκάλου τοῦ καὶ ἐπισκόπου Διοσ-
κόρου καὶ Ἀμμωνίου· καὶ Εὐσεβίου καὶ Εὐθυμίου τῶν ἀδελφῶν:

Τὰ περὶ Μελανίας τῆς Ῥωμαίας γυναικὸς θαυμαστῆς:

Ὅπως ἐτελεύτα ὁ μακάριος Παμβὼ διηγεῖται Μελάνιον:

Ὁ ἐπιφανὴς ... τοῖς ἄλλοις λέγει ... ὁ μακάριος Παμβὼ μέλλων τελευτᾶν.
... ὁ πρεσβύτερος καὶ Ἀμμώνιος διηγεῖται θαυμάσια περὶ τοῦ μακαρίου Παμβὼ

Ὅπως ... ὁ μακάριος ... τῇ κέλλῃ τοῦ ἁγίου Παμβὼ· ... πάλιν
... ὁ μέγας Παμβὼ τῇ κέλλῃ τοῦ Πιώρ:

Τὰ περὶ τοῦ ὁσίου Ἀμμωνίου καὶ τῶν τούτου ἀδελφῶν: Τιμόθεος ὁ ἄλλος ἐπίσκοπος
ὡς ἔφη Ἀμμώνιος τοῦ χειροτονηθῆναι ἐπίσκοπος:

1141

κη Πῶς τὸ σῶμα παῤ αὐτοῦ ἐκέχρητο ὁ μακάριος Ἀμμώνιος:

κθ Ὁ μακάριος Ἄρριος τὴν φίζεται τὸν δοῦλον τοῦ θ(εο)ῦ Ἀμμώνιον:

λ Πῶς ἀποδέχεται Ῥουφῖνον τὸν ἔπαρχον Ἀμμώνιος:

λα Τὰ περὶ Βενιαμὴν τοῦ θαυμασίου μοναχοῦ:

λβ Πῶς παρέλαβεν ὁ ἐπίσκοπος Διόσκορος τὸν μακάριον Βάδριον:

λγ Τὰ περὶ τοῦ Ἀπολλωνίου τοῦ ἀπὸ πραγματευτῶν:

λδ Τὰ περὶ τῶν πεντακισχιλίων μοναχῶν τῶν ἐν τῷ ὄρει:

λε Τὰ περὶ τῶν ἄλλων Παϊσίου καὶ Ἠσαΐου τῶν ἀδελφῶν:

λϛ Ἐκέπτονται οὗτοι πῶς ἀπόνταζονται τὰ μάταια:

λζ Τὰ περὶ τοῦ ἄλλου μακαρίου τοῦ νεωτέρου:

λη Τὰ περὶ τοῦ δοκιμωτάτου Ναθαναήλ:

λθ Τὰ κατὰ τὸν μέγαν ἀθλητὴν τοῦ Χ(ριστο)ῦ μακάριον τὸν Αἰγύπτιον:

μ Τὰ περὶ τοῦ ἄλλου μακαρίου τοῦ Ἀλεξανδρέως:

μα Τὰ ἀπὸ τοῦ μεγάλου Πάχωμ(ου) πνευματοφόρου ἀνδρὸς καὶ ἐπὶ τοῦ θανάτου πάλιν μακ(αρίου):

μβ Τὰ περὶ τοῦ ὁσιωτάτου Μάρκου καὶ Παφνουτίου τοῦ μαθητοῦ αὐτοῦ:

μγ Τὰ περὶ τοῦ γενναιοτάτου Μωϋσέως τοῦ ἀπὸ λῃστῶν:

μδ Πῶς τιμῶνται μονάζοντες οἱ τέσσαρες λησταί:

με Πῶς παρῄνεσεν οὗτος πρὸς τὸν μακάριον Ἰσίδωρον τὸν σκητιώτην:

μϛ Οἱ ἐν τῷ ὄρει τῆς Φέρμης πεντακόσιοι ἀναχωρηταί

μζ Τὰ περὶ τοῦ γενναίου Παύλου τοῦ τριακοσίας εὐχὰς ποιοῦντος:

μη Οὗτος ὡς ἐπιτυχὼν τῷ ἄλλῳ μακαρίῳ τῷ πολιτικῷ:

μθ Περὶ τῆς παρθένου τῆς ποιούσης ἑπτακοσίας εὐχάς:

ν Κρονίου δὴ τοῦ μόνου τὰ καθ᾽ ἑαυτόν: Τὰ κατὰ τὸν μέγαν Ἀντώνιον· να

νβ Τὰ κατὰ Εὐλόγιον · νγ Ὁ τὸ σῶμα πᾶν λελωβημένος

νδ Εὐλόγιος ὁ μακρόθυμο(ς) · νε Ἀντώνιος ἐρωτᾷ Θεόδωρον:

νϛ Ὅλος αὐτὸς Ἀντώνιος εὔχεται ἀποκαλυφθῆναι αὐτῷ τὸν τόπον τῶν δικαίων:

νζ Ὅπου δὴ τούτῳ ὁ μακάριος Ἱέραξ καὶ Κρόνιος καὶ ἄλλοι πλείους ἐ(ν) τ(ῷ) π(ερὶ) τ(οῦ) παύ(λου):

νη Τὰ περὶ τοῦ μακαρίου Παύλου τοῦ ἁπλοῦ:

νθ Ὅπου πράξεται αὐτὸς ὁ συγγραφεὺς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας:

ξ Ὅπου συντυχὼν ὁ συγγραφεὺς τῷ μεγάλῳ Πάχωμ(ίῳ):

Τὰ περὶ τοῦ τεμαίου ἄθλ. τοῦ στεφάνου :
Τὰ κατὰ Οὐάλεντα τὸν τῇ φυσιώσει ἐκπεσόντα.
Τὰ κατὰ Ἥρωνα τῇ ὑπερηφανίᾳ ἐκτραχηλιασθέντα.
Περὶ Πτολεμαίου τοῦ μετὰ πολλοὺς πόνους· καὶ στεμαίους ἱδρῶτας εἰς αὐ-
τοματισμὸν ἐκπεσόντος : ξε Περὶ τῆς ἐκπεσούσης παρθένου :
Περὶ τοῦ μακαρίου Ἠλιοῦ τοῦ φιλοπαρθένου : ξζ Περὶ Δωροθέου :
Περὶ Πιαμμοῦς τῆς μακαρίας παρθένου : ξη Τὰ κατὰ Παχώμιον :
Ὡς μοναστήρια ἀπὸ διακοσίων καὶ τετρακοσίων ἀνδρῶν ·
ς ὡς ἀμὸς τὴν πόλιν μοναστήρια ἐλαττ. τετρακοσίων τυχῶν ·
Μοναστήριον γυναικῶν τετρακοσίων· ογ Περὶ τῆς ἄλλης παρθένου ·
Πῶς τῷ ἄλλῳ Πιτυροὺμ ἀπεκαλύφθη δι' αὐτῆς ·
Περὶ τοῦ μακαρίου Ἰωάννου τοῦ ἐν προφήταις :
Ὅπου προσκολλᾶται οὗτος ὁ μακάριος Θεόδωρον τὸν ἑρμηνέαν ·
Αὐτὸς οὗτος προλέγει ποιμένι τὰ μέλλοντα :
Διονύσιος ὁ ἐπίσκοπος ἐκ τὸν ποταμὸν ἐβάφη :
Τὰ κατὰ Ποσιδώνιον π Τὰ περὶ Ἱερωνύμου ·
Ὅσα προλέγει ὁ μακάριος Ποσιδώνιος τὸν θάνατον τῆς μακαρίας Παύλης :
φυγαδεῦσαι Ἱερώνυμον τῇ ἑαυτοῦ βασκανίᾳ · ὀξυπερέμπιον :
τὸν ὁσιώτατον Πέτρον · καὶ Συμεώνα πε Τὰ περὶ Σεραπίωνος :
ὡς ἐπέτυχεν ὁ μακάριος Σεραπίων δομεψίκου τὸν ἐν Ῥώμῃ :
Περὶ τῆς ἡσυχαζούσης παρθένου ἐν τῇ ἐρήμῳ πη Τὰ κατὰ Μακάριον ·
πῶς παρὰ τοῦ βασιλέως Οὐάλεντος περιήχθη ·
πῶς ὁ ἄλλος Γρηγόριος · τοῦτον διακονούμενος ἐποίησεν :
καταλαμβάνει μετ' ἀμφοτ. Βάρριον Νεκτάριος γηρολόγος ·
ὅπως Μελανίου τὸν μακάριον Βάρριον · ϙγ Τὰ περὶ τῆς ... ·
Περὶ Μωσέως Λυβίμμου · ϙε Τὰ κατὰ Ἐφραίμ :
Περὶ Παύλας Ῥωμαίας · ϙζ Τὰ περὶ Δασοχίας πρεσβυτέρου Παύλης ·
... φερενείας : ϙθ Περὶ Θεοδώρας · ρ Τὰ περὶ Ὁσίας :
... αδολίας · ρα Περὶ Βασιανίλλας · ρβ Περὶ ἀδελφῆς ἐν Ἐφ... ·
... λαβητ. ργ Περὶ Ἰουλιανοῦ · ρδ Περὶ Φωτεινῆς παρθένου ·

ρη Περὶ Ἀδολίου Ταρσέως· ρθ περὶ Ἰννοκεντίου:
ρι περὶ Φιλορώμου· ρια περὶ Μελάνης κ(αὶ) τῶν κ̃·
ριβ Περὶ τῶν ὀλίγων τῶν ἐξορισθέντων· Ἰσιδώρου καὶ Πισίμου καὶ Ἀδελφίου
καὶ Παφνουτίου καὶ Παμβῶ· καὶ Ἀμμωνίου καὶ ἑτέρων τινῶν
ριγ ὥστε γίνεσθαι τὸν ἀριθμὸν· περὶ Ῥουφίνου·
ριδ Περὶ Χρονίου ἱερέως ἀρχὴν τοῦ διακοσίων μοναζόντων:
ριε Περὶ Ἰακώβ ρις περὶ Παφνουτίου·
ριζ Πῶς συνετύχανον τούτῳ Ἀγάριος καὶ Ἀλβῖμος τοῦ Χ(ριστο)ῦ διάκο(νοι):
ριη Πῶς τελευτᾷ ὁ μακάριος Χερήμων· ριθ ἕτερος μοναζόντων φρέαρ ὀρύσ(σων) κατ(...)
ρκ Πῶς πόλιν ἄλλος ἀπωσθεὶς τῆς αὐτῆς ἐθάμμεν· περὶ Στεφάνου ἐκπεσόντος
ρκα Εἰς μαρτυρίαν ἀγγελίων β̄ ρκβ περὶ Εὐλογίου καὶ τοῦ λελωβηκότος
ρκγ Περὶ Αἰμεσίου· ρκδ Καὶ ἄλλα τῶν ἀδελφῶν· περὶ τοῦ ἀθανασίου ...:
ρκε Περὶ Γαδαμᾶ· ρκς περὶ Ἡλία τοῦ φιλοξένου· ρκζ περὶ Σαββάκος μικ(ροῦ)
ρκη Ἀβράμιος ὁ Αἰγύπτιος ρκθ περὶ Μελχρίου παλαιῶν:
ρλ Περὶ Φροσιανοῦ· ρλβ περὶ Σιλβίου· ρλγ περὶ Ἰουβίνου διακόνου καὶ ἐπισκόπου:
ρλδ ✱ ... μνήματα ὁρισθέντα Γρηγορίου Στεφάνου καὶ περὶ Ἱερείου Βασιλείου·
ρλε περὶ ὁλυμπιάδος ρλς περὶ Κανδίδης ρλζ περὶ τῶν παρθένων Γελα(σίου)
ρλη Περὶ τῆς ἐν Ἀντινόου μονῆς τῶν χιλίων διακοσίων ἀνδρῶν:
ρλθ Περὶ τῶν ἐν τοῖς σπηλαίοις ρμ περὶ Σολομῶντος·
ρμα περὶ Δωροθέου ρμβ περὶ Διοκλέους καὶ περὶ Καππάτου τοῦ ἀπ(...)
ρμγ Περὶ τοῦ πλανηθέντος ρμδ περὶ τῆς ἁγίας Ἀμαπολλίδος·
ρμε Περὶ τῆς ὁσίας Ταώρ ρμς Περὶ τῆς παρθένου ρμζ Περὶ Μελανίου τοῦ παιδί(ου)
ρμη Περὶ Πιμιανοῦ ρμθ Περὶ Σαλμαπισίου· ρν Ἀλβίνα καὶ Μελάνη:
ρνα Περὶ Παμμαχίου ρνβ Περὶ Μακαρίου καὶ Κοντίμου:
ρνγ Περὶ τῆς ὑποδεξαμένης τὸν ἐπίσκοπον Ἀθανάσιον·
ρνδ Περὶ Ἀθανασίου ἐπισκόπου· ρνε Περὶ Ὀριγένους ἐπισκόπου·
ρνς Περὶ τῆς παρθένου Κορίνθου· ρνζ Περὶ τῆς σωφρονεστάτης τῆς τοῦ θηριομάχου·
ρνη Περὶ Ἰουλιανοῦ ... Βοσφορίνης ἐν Ἀγκύρᾳ·
ρνθ Περὶ τῶν ἐν Ἀγκύρᾳ παρθένων Χ(ριστο)ῦ· ρξ περὶ Μάγνου καὶ λοιπῶν:
ρξα Περὶ τοῦ σωφρονέστερος τοῦ συμβίου τοῦ ἐπισκόπου:

Περὶ τῆς ἐκπεσούσης καὶ μετανοησάσης·
Περὶ τῆς ἐκπεσούσης θυγατρὸς τοῦ πρεσβυτέρου·
Περὶ τοῦ ἀναγνώστου ἐν Καισαρείᾳ·
Ὡς ἐκ προσώπου ἑτέρου ὁ συγγραφεὺς διηγεῖται τὰ ἑαυτοῦ· ὁ αὐτὸς οὗτος
ὁ συγγραφεὺς εὐχαριστεῖ τῷ θεῷ· ρξγ Πῶς διηγεῖται καὶ τὸν μακάριον
βίον τῶν Βραχμάνων· μνημονεύει δὲ καὶ περὶ ἐπισκόπου Μωσέως
τῶν Ἀδουλιτῶν ρξδ Ἐπεὶ χάρισμα δὲ ἔσχεν αὐτὸς οὗτος ὁ συγγραφεὺς εἰσελθεῖν
εἰς τὴν μνήμην ρξε μανθάνω δὲ περὶ σχολαστικοῦ τινος·~
Περὶ Ἀλεξάνδρου· ρξϛ Περὶ αὐτοῦ Δαμδαμέως καὶ ἐπὶ Κολλάρου·

Τέλος τῶν κεφαλαίων:

Μακαρίζω σου τὴν προαίρεσιν· ἄξιον γὰρ ὄντως μακαρισμοῦ ἄρξασθαι τῆς ἐπιστολῆς· ὅτι πάντων ἐσπουδακότων ματαίως κεχηνότων ἐξ ὧν οὐκ ὠφεληθήσονται· αὐτὸς λόγοις οἰκοδομῆς διδάσκεσθαι θέλεις· ἀδίδακτος γὰρ μόνος ἐστὶν ὁ τῶν ὅλων θεὸς ἐπειδὴ καὶ αὐτοφυὴς καὶ πρὸ αὐτοῦ ἄλλον οὐκ ἔχων· τὰ δ' ἄλλα πάντα ἐστὶ διδακτά· ἐπειδὴ ποιητὰ καὶ κτιστά· καὶ τὰ μὲν πρῶτα τάγματα παρὰ διδασκάλου ἔχει τὴν ἁγίας τριάδος· τὰ δὲ δεύτερα παρὰ τῶν πρώτων μανθάνει· τὰ δὲ τρίτα παρὰ τῶν δευτέρων· καὶ οὕτως καθεξῆς κατὰ τάξιν μέχρι τῶν ἐσχάτων· οἱ γὰρ κρείττους τὴν ἀρετὴν ἐγνωσμένην τοὺς ἐλάττονας ἐν γνώσει διδάσκουσιν· οἱ τοίνυν οἰόμενοι μὴ δεῖσθαι διδασκάλων μὴ χείζονι νόσῳ νοσοῦσι τῇ μητρὶ τῆς ὑπερηφανίας· οἱ μὴ πειθόμενοι τοῖς ἐν ἀγάπῃ διδάσκουσιν· τούτων προστατοῦσι μὲν ἀπώλειαν· οἱ τὸ αὐτὸ πάθος τῆς ὁμοίου δια... τῆς ἐκπεσόντες· οἱ ἐν ἀέρι πετόμενοι δαίμονες· τῶν ἐν τοῖς ὄρεσιν ἀποδράσαντες τῶν διδασκάλων· οὐ γὰρ αἱ λέξεις ἢ αἱ συλλαβαὶ εἰσὶν διδασκαλίαι· αἳ ἔχουσι μὲν ἐνίοτε καὶ οἱ ἐπὶ πλεῖστον φαῦλοι· ἀλλὰ τὰ ἤθη σπουδαῖα καὶ κατορθώματα· ἡ ἀπάθεια καὶ ἡ ἀκτημοσύνη καὶ ἡ ἀδουλία· καὶ τὸ ἀόργητον· καὶ ἡ ἐκ τῶν παρρησία· καὶ τοὺς λόγους ὥσπερ φλόγα γεννῶσα· εἰ γὰρ μὴ οὕτω· οὐκ ἂν ἔλεγεν ὁ μέγας διδάσκαλος τοῖς ἑαυτοῦ μαθηταῖς· μάθετε ἀπ' ἐμοῦ· ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· οὐ τῇ

λεξίαι ῥυθμίζουσι τοῖς ἀποστόλοις· ἀλλὰ τῇ εὐλαβείᾳ αὐτοῦ ἡ θεοῖς μηδὲν
λυπῶν· πλὴν τῶν μισολόγων· καὶ διδασκάλων μισούντων· διὰ τοίνυν
τὴν καταχρυσκουμένην ψυχὴν· ἡ μανθάνειν ποθοῦσα· οὐκ οἶδε
ἡ διδασκάλων σαφῶς αἱ ἔπεστιν· εἰ γὰρ ὁπότερον μὴ βούληται μαν-
θάνειν· ἀρχὴ γὰρ ἀποστασίας διδασκαλίας κόρος· καὶ ἀνορεξία λόγ-
ων ἃ πεινᾷ πᾶσα ἡ ψυχὴ τοῦ φιλοθέου· ἴσχυε μὲν καὶ ὑγίαινε· καὶ τὸ μέγα χά-
ρισμα σοῦ ὁ θεὸς τὴν γνῶσιν τοῦ Χριστοῦ

Ἀντίγραφον ἐπιστολῆς γραφείσης Λαύσῳ πραιποσίτῳ παρὰ Παλλαδίου ἐπισκόπου·

Πολλῶν πολλὰ καὶ ποικίλα κατὰ διαφόρους καιροὺς συγγράμματα τῷ βίῳ
καταλελοιπότων· τῶν μὲν ἐξ ἐπιπνοίας τῆς ἄνωθεν καὶ χάριτος θεοῦ
πρὸς οἰκοδομὴν καὶ ἀσφάλειαν τῶν πιστῇ προθέσει ἑπομένων τοῖς
δόγμασι τοῦ σωτῆρος· τῶν δὲ ἐξ ἀνθρωπαρέσκου καὶ διεφθαρμένης προ-
θέσεως βουλομένων πρὸς παραμυθίαν τῶν τὴν κενοδοξίαν
κεκτημένων· ἑτέρων δὲ ἔκ τινος καρουμανίας καὶ ἐνεργείας τοῦ μισοκάλου
δαίμονος· τῇ φρενομανεῖ δὲ ἐπὶ λύμῃ τῶν κούφων ἀνθρώπων· καὶ
σπίλῳ τῆς ἀχράντου καὶ καθολικῆς ἐκκλησίας ἐπὶ φθορᾷ τῶν ταῖς δι-
ανοίαις τῶν ἀνοήτων ἐπεισκωπτόντων τῆς σεμνῆς καὶ καθαρᾶς πολιτείας·
ἔδοξε κἀμοὶ τῷ ταπεινῷ διὰ τὴν πρὸς Χριστὸν ἐλπίδα· αἰδεσθέντα με τὴν
ἐπιταγὴν τῆς σῆς μεγαλονοίας φιλομαθεστάτου τῶν ἀνδρῶν· πρα-
ττόντων πατρὸς καὶ πεμαυτὸν διηγήσασθαι· ταύτῃ τῇ ἡλικίᾳ καὶ ταῖς ἐπι-
προκοπῇ τῆς διανοίας τῆς πρὸς θεὸν ἀρετῆς ἐκ νεαρᾶς ἡλικίας ἀρξά-
μενος· τεσσαρακοστὸν καὶ τρίτον ἔτος ἄγοντι μοι ἐν τῇ τῶν ἀδελφῶν πο-
λιτείᾳ δι' ἣν ἔνθεν καὶ τὸ μονήρη βίον· εἰκοστὸν δὲ τῆς ἐπισκοπῆς· πεντηκοσ-
τὸν δὲ καὶ τῆς ὅλης ζωῆς μου· ἀναγκαῖον ἡγησάμην ... τοῖς
ποθοῦσι τὰ τῶν πατέρων κατορθώματα· ὠφελείας χάριν τῆς
ἐγγράφως διηγήσασθαι· ἀρρένων τε καὶ θηλειῶν· ὧν τε αὐτὸς ἑώρακα
καὶ περὶ ὧν ἀκήκοα παρὰ τῶν ἁγίων πατέρων· οἷς συνανεστράφην
ἐν τῇ κατ' Αἴγυπτον ἐρήμῳ καὶ Λιβύῃ καὶ Θηβαΐδι καὶ Συήνῃ· ὅθεν
καὶ οἱ λεγόμενοι ταβεννησιῶται· εἶτα Μεσοποταμίαν· Παλαι-
στίνην τε καὶ Συρίαν· καὶ τοῖς μέρεσι τῆς δύσεως· Ῥώμην τε καὶ Καμπανί-

θου τὸ ζοπ ... φιλεξ...

καὶ τοῖς περὶ ταῦτα μάρτυσιν· ἀκριβέστατα ἐξ ἀρχῆς ἐκθέσθαι διέγνωκα-
μεν οὖν· εἰ δ' ἐν τῷ βιβλίῳ τούτῳ ὁπωσοῦν ἐμμονὴν καὶ ψυχωφελὲς ὑπομνη-
-στικὸν ἔχων· ἀδιάλειπτον φάρμακον ἀληθείας· παρ' αὐτῷ μὲν μυστι-
-κὸν λήθης· τὴν ἔξω λόγου ἐπιθυμίαν ἐπινεμομένην τῇ ψυχῇ σου· πα-
-ρέξει ψυχίαν τὴν ἐν τῇ πίστει· καὶ κακοβουλίαν τὴν ἐν ταῖς χρείαις· πα-
-ραδέ ὄκνον καὶ μικροψυχίαν τὴν ἐν τῷ ἤθει· ὀξυθυμίαν τε καὶ τάραχον·
[illegible]λογον καὶ φόβον ἄκαιρον· διὰ τούτων ἀποσκευαζόμενος· καὶ τὸν μαται-
-ον μετεωρισμὸν τοῦ διεφθαρμένου κόσμου ἀποφεύγων· ἀδιαλεί-
-πτως πόθῳ προσκόπτεις ἐν τῇ προθυμίᾳ εἰδέναι τὴν θεοθέτιν τῆς εὐσεβεί-
-ας [illegible] αὐτοῦ καὶ τῶν μετ' αὐτοῦ καὶ τῶν ὑπ' αὐτοῦ καὶ τῶν εὐσεβεστάτων
γενομένων βασιλέων· διὰ τῶν κατορθωμάτων· πάντως οἱ φιλόχρι-
-στοι ἐν μαθήμασι θεοῦ ἐπάγονται· συνεκδεχόμενοι καὶ τὴν ἀπαλλαγὴν τῆς
ψυχῆς ἀπὸ τοῦ σώματος· δῆλον ὅτι τὸ καθ' ἡμέραν κατὰ τὸ γεγραμ-
-μένον· συνέχομαι [illegible] τὴν ἐπιθυμίαν ἔχων· τοῦ ἀναλῦσαι καὶ σὺν
Χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον· καὶ ἑτοίμαζε εἰς τὴν ἔξοδον ταῖς
-ργασίας σου· ὅταν γὰρ μνήμην [illegible] τοῦ θανάτου· ὡς ἐξ ἀνάγκης ἥξει πάν-
-τως καὶ οὐ μελλήσει· [illegible] κατὰ τὸ γεγραμμένον· ἐν πᾶσι τοῖς
λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου· καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις·
καὶ [illegible] τοῖς ἄλλοις πᾶσι· μὴ παραλογιζόμενος [illegible] τὴν ὑποθή-
-κην [illegible] ἐξηγήσεων· μήτε διαπτύων τὴν ἰδιωτείαν καὶ τὸ ἀκαλλὲς τῶν
λέξεων· οὐ γὰρ τοῦτο ἔργον ἐστὶ θείας διδασκαλίας τὸ σεσοφισμένως
φράζειν· ἀλλὰ τὸ ἀπάθειαν τὴν γνῶσιν [illegible] ὑπομνήμασιν ἀληθείας κατὰ τὸ φρη-
-μένον· ἀμοιβὴ [illegible] λόγου θεοῦ· καὶ κεῖνται πάντα ταῦτα ὡς· καὶ ἐπειδὴ
[illegible] τὸ χειροτονήματος ἱερῶν τῶν· καὶ γὰρ αὐτοὶ ἔμαθον παρ' αὐτῶν προσ-
-ώπων· ἐγὼ τοίνυν φιλομαθίᾳ [illegible] ἐκ μέρους [illegible] σταυ-
-ρώσει· πολλοῖς τῶν [illegible] ἐπέτυχηκα· οὐ γὰρ πάρεργον χρησά-
-μενος λογισμῷ· ἀλλὰ τριάκοντα ἡμερῶν καὶ δὶς τοσοῦτον ὁδὸν ἐξα-
-μήσας· ὡς ἐπὶ θεοῦ [illegible] πορεία· [illegible] πᾶσαν τὴν γῆν [illegible]
[illegible] καὶ κακουχίαν [illegible] ὁδοιπορίας· [illegible]
[illegible] θεοῦ· ἵνα τι κερδήσω [illegible] εἰ γὰρ πολλῷ [illegible] ἐμοῦ

παῖς χαυδὲ καὶ τοῦ σύμπαντος κόσμου· ὁ πολλοὺς ὑπερβεβληκὼς πολιτεία
καὶ γνώσει καὶ συνέσει πνευματικῇ καὶ παιδείᾳ τῇ διὰ Χριστοῦ ὁ μακάριος Παῦλος ὁ ἀπόστολος
τὴν μὲν ἀπὸ Ταρσοῦ διὰ τὴν Ἰουδαίαν ἐσπούδασεν ἀποδημίαν· ἐν οἷς συνίστ-
Πέτρου καὶ Ἰωάννου καὶ Ἰακώβου διὸ καὶ ἐμάθη καὶ καυχήματος αὐτὸ δὴ τὸ εἶναι
πολιτευόμενος αὐτοῦ τοῖς πόνοις διὰ παροξυσμὸν τῶν ὄκνων καὶ ἀργίας ἀρ-
τῆς βίου συζώντων· ἐν τῷ ... ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον·
οὐκ ἀρκούμενος τῇ φήμῃ μόνῃ τῆς ἀρετῆς ἐκείνου· ἀλλ᾽ ἐπιποθῶν καὶ
αὐτὴν τοῦ προσώπου αὐτοῦ τὴν συντυχίαν· πῶς δ᾽ ἂν πλέον ἐγὼ τῶν
μυρίων ταλάντων χρεωφειλέτης ὀφλὼν τοῦτο ποιῆσαι· οὐκ ἐκείνους τοὺς
ἄλλους εὐεργετῶν· ἀλλ᾽ ἐμαυτὸν τὸν ἁμαρτωλὸν ὀφελῶν· καὶ γὰρ καὶ οἱ τοι-
τῶν πατέρων ἀναγραφόμενοι βίοις· Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
Μωσέως τε καὶ Ἠλίου καὶ τῶν καθεξῆς· οὐχ ἵνα ἐκείνους δοξάσωσιν· ἐξεκτή-
σαντο· ἀλλ᾽ ἵνα τοὺς ἐντυγχάνοντας ὠφελήσωσιν· ταῦτα οὖν ἔδοξε πει-
θόντα τε καὶ σοὶ μόνον ἀπεδούλευσε τοῦ Χριστοῦ λόγοις· τὰ πολλὰ σαυτὸν νουθετῶν·
ἀνάσχου καὶ τῆς φλυαρίας τῆς ἡμετέρας ἐπὶ φυλακῇ τῆς ἀδόξου σου γνώμης·
ἥτις διαφόροις κακίαις ὁρμαῖς τε καὶ ἀθρόως τοῖς κινουμένοις πέφυ-
κεν· ἡ μὲν μὴ συνέχουσα πρὸς ἀρχὴν καὶ ἰδιοπραγμοσύνη δύναται ἠρεμεῖν·
πολλοὶ γὰρ καὶ τῶν εὐλαβεστέρων ἀδελφῶν· καὶ πόνοις καὶ ἀσκήσεσι· καὶ ἐλε-
ημοσύναις κομώντων· καὶ ἐπιταγαῖς ἂν καὶ πᾶν τελεσθὲν παρ᾽ ἡμῖν μετα-
χόντων· καὶ μελέτῃ θείων λογίων ἑαυτοὺς καταταμόντων καὶ σπουδάσμα-
μαθήσεσθαι θαρρούντων· ἢ ὁ τόχησαν ἀπαθείας ἀδιακρίτως τὴν μὲν δουλώ-
σαντος· προσχήματι δ᾽ ἢ θερμότερα ἀσπίμως φιλοπραγμοσύνης μεσί-
σαντος· ἐξ ὧν τίκτονται πολυπραγμοσύναι μετὰ τῆς ἀλλοτριοπραγμο-
σύναις καὶ κακοπραγμοσύναι· τὴν μὲν γὰρ τῆς ἰδιοπραγμοσύνης ἐκκρίζουσαι
ἀνδρίζουσι τοῖς μὲν ἐν παντὶ συνέσει τῆς ἀκολουθίας· μὴ πείθειν τὸν πλοῦτον
ὅθεν ἤδη καὶ πεποίηκας· αὐτάρκως αὐτὸν συγκρίνας· τῇ διαδοχῇ τῶν χρό-
νων ἐχόντων· διὸ τὴν ἐκ τούτου ὑπηρεσίαν διὰ τῆς ἀρετῆς ἔργον γινομένην
ὑπομνηστικὴν καὶ περὶ ... ἀλόγως γίνεσθαι· ἡ περὶ σχήματι ἄνθρωπος παρεσκευ-
ασμένος κρίσεως· ὥρκωσε πεδήσας τὴν παροῦσαν ἔρευναν καθὼς πεποίηθας

οἱ πολλοί· οἱ τιμῶσι φιλοσοφίαν καὶ κενοδοξίαν τὸ μὴ φαγεῖν· οἱ περὶ φαγεῖν δοῦλος ἑαυ-
τῶν· τὸ ἀπεχόμενοι τὴν ἀνάγκην τοῦ ὅρκου· καὶ τοῦτο πάλιν ὑποπεσόντων
οἰκτρῶς· ἢ φιλοδοξίαν καὶ ἀκηδίαν ἢ ἀσθένειαν σώματος καὶ ἐπιθυμίαν ἢ
ὁρμῆς τιμῶν τὴν ἐπιορκίαν οὐδὲν ἧττον ἑαυτῶν· λόγῳ τοίνυν μεταλαμ-
βάνων καὶ λόγῳ ἀπεχόμενος οὐχ ἁμαρτήσεις ποτέ· θεὸς γὰρ ὁ λόγος ἐστὶ
μὴ μιμεῖσθαι κινήματι· ἐξορίζομεν μὲν τὰ βλαβερά· προσλαμβανόμεθα
δὲ τὰ ἐπωφελῆ· δίκαιος γάρ φησιν ὁ νόμος οὐ κατὰ (?)· ἄμεμπτον γὰρ ἡ μετὰ
λόγου οἰνοποσία· τῆς μετὰ τύφου ὑδροποσίας· καὶ βλέπε μοι τοὺς με-
τὰ λόγου θεοσεβείας τὸν οἶνον πίνοντας· ἄνδρας ἁγίους ὑπάρχοντας·
καὶ τοὺς δολοφόρους (?) μετὰ ἀπορίας ὑδροποτήσαντας ἀνοσίους βεβήλους καὶ
διεφθαρμένους· καὶ μηκέτι λέξῃς τὴν ὕλην μηκέτι αἰτιάσῃ ἢ τῶν βρωμά-
των ἢ τῶν πομάτων· ἀλλὰ μακαρίσῃς ἢ ταλανίσῃς τὴν γνώμην τῶν κα-
κῶς ἢ καλῶς χρωμένων τὴν ὕλην· ἐπεὶ ἐμποτεῖσθαι (?) παραιτοῦσι οἶ-
νον· ἀλλ' οὐκ ἐβλάβη τὴν φρένα· κεφαλαλγίας γὰρ τῆς γνώμης· ὑδροπό-
της ἐν δὲ (?) καὶ διοτρεφὴς καὶ πλάτων· ἐμοὶ καὶ μανιχαῖοι καὶ τὸ λοιπὸν
σύστημα τῶν ἐθελοφιλοσόφων· καὶ ἐπὶ τοσοῦτον ἤλασαν κουφοδοξί-
ας ὁλοσχερῶς (?)· ὡς καὶ αὐτὸν τὸν θεὸν τὸν ἄνθρωπον ποιήσαντα ἀγνοῆσαι· καὶ προσκυνῆ-
σαι ἀψύχοις εἰδώλοις· ἡ ταυτὸ δὲ καὶ οἱ περὶ τὸν μακάριον ἀπόστολον πέτρον
τῆς χρήσεως τοῦ οἴνου· ὡς καὶ αὐτὸν ὁ μαθητὴς ζῆσθαι (?) τὸν κύριον καὶ διδάσκαλον·
τούτων ὅσον (?) δὲ τῶν ἀποστόλων· ἐπιτιμηταὶ λέγοντος (?) τῶν ἰουδαί-
ων· διὰ τί οἱ μαθηταί σου οὐ νηστεύουσιν ὡς ἰωάννου· καὶ πάλιν τοῖς μαθηταῖς ἐπέβαλ-
λον καὶ ὀνειδίζοντες ἔλεγον· διατί ὁ διδάσκαλος ὑμῶν μετὰ τελωνῶν
καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει· οὐκ ἀνδρεῖ (?) τοῦ κυρίου ἐπελάθεσθαι
μὴ ἐπιόντους καὶ οἴνου (?)· ἐμοὶ τοῖς πάντα πᾶσι μάλιστα
λέγουσιν μὲν οἰνοποσίαν· θαυμάζουσιν δὲ ὑδροποσίαν· ἀποκρί-
νεται ὁ σωτήρ· ἦλθεν ἰωάννης ἐν ὁδῷ δικαιοσύνης μήτε ἐσθίων μήτε πί-
νων μηδὲ κλάδων ἢ κρέας καὶ οἶνον· ἀλλ' ἄρτων ἄλλων οὐκ ἠδύνω ἀπολαύων καὶ λέγουσιν
δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων καὶ λέγουσιν·
ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης· φίλος τελωνῶν καὶ ἁμαρτωλῶν· διὰ τὸ ἐσθίειν με καὶ
πίνειν· τί οὖν ἡμεῖς ποιήσωμεν· μήτε τοῖς λέγουσιν· μήτε τοῖς ἐπαινοῦσι

ἀκολουθήσωμεν· ἀλλ' ἡμεῖς οἱ διὰ λόγου πιστεύσαντες· καὶ ὅσαπερ ἂν
μὴ μὲν οἱ ἰουδαῖοι δαιμόνιον μὲν ἔχειν· ἡμεῖς δὲ ἰῦ σοφία· οἱ μὲν ποιησόμενοι ἦ
χρήζειν τοσοῦτο μέν· κἂν οἱ πάσιν ἡμῖν μὲν ἰδοὺ ἀνθρώπου φάγοι καὶ οἱ μὲν πόται· οὐ
γὰρ ἡ βρῶσις ἐστὶν κατὰ ἀλήθειαν οὔτε ἡ ἀποχή· ἀλλ' ἡ πίστις δι' ἀγά-
πης τοῖς ἔργοις παρεκτεινομένη· ὅταν γὰρ τις πᾶσαν πρᾶξιν ἀκολουθήσῃ
πίστεως· ἀκατάκριτος ἐστὶν ἐσθίων καὶ πάσχων διὰ τὴν πίστιν· πᾶν γὰρ ὃ οὐ
ἐκ πίστεως ἁμαρτία ἐστίν· ἀλλ' ἐπειδὴ πάσης τῶν φιλήδονων ἡ ὄψις πλ-
ημμελοῦσιν ἔργα· ὅτι πίστει μεγάλῃ μεγάλων· ἢ ἕτερον τι πρᾶγμα ἄλογος ἐπι-
θυμία ἢ διεφθαρμένων τοῦ σώματος ὅτι τῇ πίστει περιδόμενοι ἐσφαλ-
ὁ γὰρ σκόπος διεστάλη τὸ λέγων· ἀπὸ τῶν καρπῶν αὐτῶν γνώσεσθε αὐτούς·
ὅτι δὲ ὁ καρπὸς τῶν θεολόγων πολιτευόμενος· καὶ πνευματικῶς ὁ κατὰ τὸν θ-
ον ἀπόστολον· ἀγάπη ἐστὶν καὶ εἰρήνη καὶ μακροθυμία· χρηστότης ἀγαθωσύνη
πίστις πραΰτης· ἐγκράτεια ἀλλ' ἃ ὁμολογεῖ· αὐτὸς γὰρ ἔλεγεν ὁ μακάρι-
ος παῦλος ὁ δὲ καρπὸς τοῦ πνεύματος ἐστὶν ταῦτα καὶ ταῦτα· ὅτι δὲ ὁ σπουδάζων
τοιούτοις ἔχειν καρποῖς· ἀλόγως ἢ ἀκαίρως ἢ ἀκόπως οὐ βρώσεται κρέας
οὐδὲ πίεται οἶνον· οὐδ' ἐσωμοιώσεται τινὶ πονηρῷ σώματος· πολλὴν ἔλεγε μο-
αὐτὸς μακάριος παῦλος· ὅτι πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται·
ὑγιαινούσης δὲ τῆς σαρκὸς ἀπεχόμενοι τῶν πιαινόντων ἀφροδισίως δὲ
τῆς σαρκὸς ἠσθενημένης· καὶ λύπαις ἢ περιστάσεσι κοινωνούσης· χρῆ-
σθαι μὲν τότε ἢ βρώμασιν ἢ πόμασιν ὡς φαρμάκοις ἀλεξιτηρίοις
ἀσθενείας τῶν λυπούντων· ἀφεκτέαι δὲ τῶν κατὰ ψυχὴν βλαβερῶν· ὀργῆς
καὶ φθόνου· κενοδοξίας καὶ ἀκηδίας· καταλαλιᾶς καὶ ὑπονοίας ἀλόγου χαριστ-
τῶν κακῶν· αὐτάρκως τοίνυν ὑπὲρ τούτων διειλεγμένων· πολλὴν ἄλλην παράκλη-
σιν προσάγουσι τῇ φιλομαθεία· φεύγετε ὅσοι δ' ἀναίσχυντοι ἀνδρῶν τοῦ
ὄφελος ἔχοντων καὶ κοσμούντων μὲν τὸ δέρμα ἀκαταλλήλως· καὶ ὀρθό-
ξοι ὄντες· μήτι ἐξ ἡ αἱρετικοὶ βλέποντα τὴν ὑπόκρισιν· καὶ δόξωσιν π-
λιᾶς κεφαλῆς· ἢ ῥυτίσι προσώπου ἐπισύρεσθαι μήκος χρόνου· καὶ ὑπὸ
μηδὲν βλάβης παρ' αὐτῶν διετέμιαν πρόσωπον· τὸ γοῦν ἐλάχιστον μα-
σοι δοκοῦσι· προσφεύξεις καὶ μοθῆς καθ' αὐτῶν τὴν διάνοιαν· ἐπαρθῆσηκα-
τέλος τοῦτον ὅπερ ἐστὶν βλαβερὰς ὑπερηφανίας ἐμπίπτει ὅτι ὑπὲρ θ

ἐλθὰ φωτιμαμμ μετὰ διό καὶ ἀνδρῶν τε καὶ γυναικῶν ὁσίων ἐντύχῃ· ἵνα διὰ τούτων
καθάπερ λεπτογράφου βιβλίου· δυνηθῇς ἰδεῖν σαφῶς καὶ τὴν καρδίαν· δι
ατηρῆσαι ἄν τι παραθέσεως τὴν ῥᾳθυμίαν· ἢ τὴν ἐμμέλειαν διδάσκειν μὲν οὖν τὴν σὴν
δοκιμάζειν· πολλὰ γάρ ἐστιν ταῦτα ἃ χρηστότητι μαρτυροῦνται· ἥ τε χρόα
τῶν προσώπων· ἡ ἐπανθοῦσα τῇ πολιτείᾳ· καὶ ὁ σχηματισμὸς τῆς ἐσθῆτος
καὶ τὸ ἀνεπιτήδευτον ἦθος· καὶ ἡ ἀτυφία τῶν λόγων· καὶ ἡ ἀκαταπληξία τῶν τρόπων· καὶ
τὸ ἀπερίεργον τῶν λέξεων· καὶ τὸ χαρίεν τῆς γνώμης· καὶ τὸ συνεστηκὸς τῶν νο
ημάτων· ἐνδυναμοῦσι καὶ τὴν σὴν κοσμιότητα· καὶ πάντας τοὺς ἑπομένους
τοὺς τῆς θεοσεβείας σκοπούς· κἂν ἐν ἀκηδίᾳ ἢ ἐπ' ἑτέρᾳ τινὶ περιστάσει ἀτυχα
μῆτε· στολισμὸς γάρ φησιν ἀνδρὸς καὶ βήματα ποδός· καὶ γέλως ὀδόντων ἀναγγέλ
λει τὰ περὶ αὐτοῦ καθὼς ἡ παροιμία λέγει· ἄρξασθαι μὲν οὖν τοίνυν τῶν ἐξηγήσεων
τῶν ἄλλων ἀνδρῶν· οὔτε τῶν ἐν ταῖς πόλεσιν ἢ κώμαις ἢ σπηλαίοις· ἢ ἐρήμοις
[illegible] καταλέγω τῷ λόγῳ· προστιθεὶς καὶ τοὺς ἐν τοῖς κοινοβίοις· οὐ
γὰρ ὁ τόπος ἐστὶν ὃ ζητοῦμεν ἔνθα κατῴκησαν οὗτοι κατορθώσαντες τὴν ἀ
ρετήν· ἀλλ' ὁ τρόπος τῆς ὀρθῆς προαιρέσεως δι' ἧς τὴν εὐαγγελικὴν πολιτεί
αν· τῇ τοῦ Χριστοῦ συμμαχίᾳ ἐξήσκησαν· α

Πρῶτος ποτὲ πατήσας τὴν Ἀλεξανδρέων πόλιν· ἐν τῇ δευτέρᾳ ὑπατείᾳ Θεοδο α
σίου τοῦ μεγάλου βασιλέως ὃς νῦν ἐν ἀγγελικοῖς ὑπάρχει διὰ τὴν ὀρθὴν αὐτοῦ
πίστιν τὴν εἰς Χριστόν· περιέτυχον ἐν αὐτῇ τῇ πόλει ἀνδρὶ θαυμασίῳ τὸν τρό
πον· πανταχόθεν κεκοσμημένῳ· εὐτελοτάτῳ καὶ ἤθει καὶ γνώσει Ἰσιδώρῳ
τῷ πρεσβυτέρῳ· ξενοδόχῳ ὄντι τῆς Ἀλεξανδρέων ἐκκλησίας· ὃς τὰ μὲν
πρῶτα τῆς νεότητος ἐλέγετο ἐν ἐρήμῳ διατρίψας ἠμυκέναι τὰ τῆς ἀσκή
σεως ἆθλα· οὗ καὶ τὴν κέλλαν ἐθεασάμην ἐγὼ ἐν τῷ ὄρει τῆς Νιτρίας· κα
τέλαβον δὲ τοῦτον ἐγὼ ἐτῶν ἑβδομήκοντα γέροντα· ὃς ἐπιζήσας πεν
τεκαίδεκα ἄλλα ἔτη ἐτελεύτα ἐν εἰρήνῃ· οὗτος ὁ ἅγιος μέχρις αὐτῆς τῆς τελευ
τῆς· οὐκ ὀθόνην ἐφόρεσεν ἐκτὸς φακιαλίου· οὐ λουτρῷ ἐχρήσατο· οὐ κρεῶν
ἥψατο· οὔτε ἀπέζησε ποτὲ πρὸς κόρον ἐμφορηθῆ· ὃς οὕτως εἶχεν τοῦτο τὸ σωμάτιον
ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ συγκεκροτημένον· ὡς πεπληροφορῆσθαι πάντας
τοὺς ἀγνοοῦντας αὐτοῦ τὴν δίαιταν ὅτι ἐν μεγάλῃ τρυφῇ διάγει· τούτου τὰς
ἀρετὰς τῆς ψυχῆς ἐὰν θέλω διηγήσασθαι κατὰ μέρος ἐπιλείψει με διηγούμενον

ὁ χρόνος· ὃς τοσοῦτον ἦν πρᾶος καὶ φιλάνθρωπος καὶ εἰρηνικὸς· ὡς καὶ αὐτοῖς τοῖς
ἀπίστοις ἐχθροῖς αὐτοῦ διὰ τὴν εἰς Χριστὸν ὀρθὴν αὐτοῦ πίστιν· αἰδεῖσθαι καὶ τιμᾶν
αὐτὸν δι' ὑπερβολὴν τῆς τοῦ ἀνδρὸς χρηστότητος· τοσαύτην δὲ ἔσχεν χάριν παρὰ
κυρίου καὶ γνῶσιν τῶν θείων γραφῶν· καὶ τῶν ἐνθέων δογμάτων κατάληψιν· ὥστε
παρ' αὐτὰ τὰ συμπόσια τῆς ἀσθενίας ὥρας τῆς μεταλήψεως τῶν ἀδελφῶν
ἐξίστασθαι τὴν διάνοιαν τοῦ ἀνδρὸς· καὶ ἐνεάζειν αὐτὸν· καὶ παρακαλούμενον
διηγήσασθαι ταύτης ἑκάστοτε ἔλεγεν· ὅτι ἀπεδήμησα τῇ διανοίᾳ· ἁρπ-
αγεὶς ὑπὸ θεωρίας τινός· ἔγνων κἀγὼ αὐτὸν πολλάκις δακρύσαντα ἐπὶ τῆς
τραπέζης· καὶ τὴν αἰτίαν τῶν δακρύων πυθόμενος· ἤκουσα αὐτοῦ λέγον-
τος· αἰδοῦμαι ἀλόγου μεταλαμβάνων τροφῆς· λογικὸς ὑπάρχων
καὶ ὀφείλων ἐν παραδείσῳ τρυφῆς ὑπάρχειν· καὶ ἐμφορεῖσθαι ἀρρήτου τροφῆς
διὰ τὴν δοθεῖσαν ἡμῖν παρὰ Χριστοῦ ἐξουσίαν· οὗτος γνώριμος ἦν πάσῃ τῇ κα-
τὰ Ῥώμην συγκλήτῳ· ταῖς γυναιξὶ τῶν μεγιστάνων ὁπηνίκα σὺν τῷ
μακαρίῳ Ἀθανασίῳ τῷ ἐπισκόπῳ· οὗτος περιττεύων πλούτῳ καὶ ἀφθονίᾳ χρημάτων
οὐ διαθήκην ἔγραψεν τελευτῶν· οὐ νόμισμα καταλέλοιπεν· οὐ πράγματα
αὐτοῦ ἀδελφαῖς παρθένοις οὔσαις· ἀλλὰ παρέθετο αὐτὰς τῷ Χριστῷ λέγων·
ὁ κτίσας ἡμᾶς Θεὸς· οἰκονομήσει ὑμῶν καὶ τὰ πρὸς ζωὴν ὡς καὶ ἐμέ· ἦν δὲ σὺν
ταῖς ἀδελφαῖς αὐτοῦ σύστημα παρθένων ἑβδομήκοντα· οὗτος φοιτήσαν-
τί μοι νέῳ ὄντι πρὸς αὐτὸν· καὶ παρακαλοῦντι κατηχηθῆναι ἐν τῷ μονήρει βίῳ
σφριγώσης μου ἔτι τῆς ἡλικίας καὶ λόγους ἐνδεχομένης· ἀλλὰ πόνων τῶν
κατὰ σάρκα καὶ σκληραγωγίας τῆς κατὰ σῶμα· β

Οὗτος ὁ καλὸς πωλοδαμνὴς ἐξάγει με ἔξω τῆς πόλεως εἰς τὰ λεγόμενα ἐρη-
μικὰ καὶ ἀπὸ πέντε σημείων· καὶ παραδίδωσί μοι Δωροθέῳ τινὶ ἀσκητῇ
Θηβαίῳ· ἑξηκοστὸν ἄγοντι ἔτος ἐν τῷ σπηλαίῳ· καὶ κελεύει με παρ' αὐτῷ τρι-
ετῆ πληρῶσαι πρὸς δαμασμὸν τῶν παθῶν· ἠπίστατο γὰρ τὸν γέροντα
μετὰ πολλῆς σκληραγωγίας ζῶντα· καὶ μετὰ τὸ πληρῶσαί με τὸν ἀριθμὸν πα-
+ρ αὐτῷ ἐκπληρῶσαί με τὸν ἀριθμὸν τῶν ἐτῶν· πάλιν πρὸς αὐτὸν ἐπανακάμ-
ψαι· εἰς τὴν λοιπὴν μονῆς διδασκαλίας ἕνεκεν πνευματικῆς· καὶ μὴ δυνη-
θεὶς τῶν τελείων ἐτῶν τὸν ἀριθμὸν παρ' αὐτῷ ἐκπληρῶσαι διὰ τὸ κεφαλαίᾳ
ἀρρωστίᾳ περιπεσεῖν με· οὕτως ἦρθην παρ' αὐτοῦ πρὸ τοῦ χρόνου τῆς

προθεσμίας. ἦν γὰρ αὐτοῦ ἡ δίαιτα πάσης αὐστηροτέρα· αὐχμώδης καὶ ξη
ρὰ ταύτῃ διαπαντός· ἐν μέσῃ γὰρ τῆς ἡμέρας καὶ ἐν αὐτῷ τῷ καύματι τῆς μεσημ
βρίας, ἐν τῇ ἐρήμῳ τῇ παρὰ θάλασσαν συνῆγε λίθους· καὶ τούτοις ἀεὶ οἰ
κοδομῶν κέλλας ποιῶν, παρεχώρει τοῖς μὴ δυναμένοις οἰκοδομῆσαι·
κατ' ἔτος κέλλαν τελειῶν. ἐμοῦ δέ ποτε τοῦ ἄλλου τούτο εἰρηκότος· τί ποιεῖς πάτερ
ἐν γήρᾳ τοσούτῳ ἀποκτέννων σου τὸ σωμάτιον ἐν τοῖς καύμασι τοῖς χαλε
ποῖς· ἀπεκρίνατό μοι λέγων· ἐκεῖνο ἀποκτέννει με, ἀποκτενῶ αὐτὸ
κἀγώ. ἤσθιε μὲν γὰρ ὁ εἰς ἄρτου καθ' ἑκάστην ἡμέραν· καὶ λαχάνων δέσμην·
ἔπινε δὲ ὕδατος τὸ ἴσον. ἐπὶ θεοῦ δὲ μάρτυς οὐκ ἔγνων τοῦτον ἀπλώσαντα
πόδας· οὐ καθευδήσαντα ἐξεπίτηδες ἢ ἐπὶ ψιαθίου ἢ ἐπὶ κλίνης· ἀ
λλὰ δι' ὅλης νυκτὸς καθήμενος ἔπλεκε σειρὰν τὴν ἐκ βαΐων φοινίκων
εἰς λόγον τροφῆς. ὑπονοήσας δὲ ἐγὼ ὅτι ἐπ' ἐμοῦ μόνον τοσαύτῃ ἀκριβεί
ᾳ ἀσκήσεως κέκτηται, ἀκούσας μαθητῶν ἐφιλοπίστευσα· παρὰ ἄλλων ὄντων
αὐτοῦ μαθητῶν ἀκριβῶς· ὅτι ταύτην ἔσχε διαπαντὸς τοῦ βίου τὴν ἄσκησιν· οἵτινες
γενόμενοι ποὺ κατ' ἰδίαν καὶ αὐτοὶ τὴν ἀρετὴν λοιπὸν κατορθοῦντες. αὐτοὶ
οὖν μοι ἔλεγον· ὅτι ἐκ νεαρᾶς ἡλικίας ταύτην ἔσχε τὴν πολιτείαν· μηδέποτε
κοιμηθεὶς ἐξεπίτηδες· εἰ μή τί που ἐργαζόμενος ἢ ἐσθίων ἐκάμμυσεν ὑπὸ
τοῦ ὕπνου τοὺς ὀφθαλμοὺς κατενεχθείς· ὥστε πολλάκις καὶ τὸν ψωμὸν ἐκπίπτειν τοῦ στό
ματος αὐτοῦ κατὰ τὸν καιρὸν τοῦ φαγεῖν, ὑπερβολῇ νυσταγμοῦ. ἀναγκάζοντος
δέ μου ποτὲ τοῦτον τὸν ἄλλον μικρὸν ἐπὶ τῆς ψιαθοῦ ἀπολῦσαι, μετὰ
λύπης ἔλεγε πρός με· ἐὰν πείσῃς τοὺς ἀγγέλους ποτὲ κοιμηθῆναι, πείσεις καὶ τοὺς
σπουδαίους. μίαν δὲ τῶν ἡμερῶν ἀπέστειλέ με ἐν τῷ φρέατι περὶ
ὥραν ἐνάτην πληρῶσαι τὸν κάδον εἰς λόγον τῆς μεταλήψεως ἐν τάξει τῆς
τοῦ φαγεῖν ὥρας. ἔτυχε δέ με ἀπελθόντα ἀσπίδα θεάσασθαι ἐν τῷ φρέατι
κειμένην· καὶ μηκέτι τῷ φόβῳ ἀντλῆσαι τὸ ὕδωρ· ἀλλ' ἀπελθὼν ἀνήγγειλα
αὐτῷ λέγων ὅτι ἀπεθάνομεν ἀββᾶ· ἀσπίδα γὰρ εἶδον ἐν τῷ φρέατι
κειμένην. ὑπομειδιάσας δὲ ἐκεῖνος σεμνὸν, ἐπὶ πολύ μοι προσέσχε· καὶ κινῶν
τὴν κεφαλὴν ἔλεγεν· ἐὰν δόξῃ τῷ διαβόλῳ κατὰ πᾶν φρέαρ βάλλειν ἢ ὄφεις
ἢ ὄφεις ἢ χελώνας, ἢ ἕτερα ὀλέθρια θηρία, εἰς πᾶσαν πηγὴν ποτα
μοῦ... σὺ μέλλεις μηδέποτε πίνειν; καὶ ἐξελθὼν τῆς κέλλης αὐτοῦ, καὶ ὅτε

αὐτοῦ γεμίσας τὸν κάδον ἐν μιᾷ τῆς ὥρας τὸ αὐτὸς τοῦ ὕδατος ἀπεγράφησεν· ἐ
τέλ ἀρχ πισφραγίσας τὸ ὕδωρ ἐκ τοῦ ποταμοῦ· ὅπου φέρεται φυτά· οὐκ ἰσχύει κακία τοῦ σώματος
μακάριος ἐστιν ὁ δῶρος ὅς ζεμοδόχου· σώπη τυχικῶς αὐτῷ μίω τοῦ ἄλλου ἡ μακαρία
γραφῆς ἀξίων διηγήσατο πράγματα ἀκηκοὼς παρ' αὐτοῦ· ὅπως ταμίας
τῆς ὡραιοτάτης κόρης κατὰ τὸν καιρὸν μαξιμίνου τοῦ δυσσεβοῦς· παιδίσκη
μὲν ἀκόλαστου ὑπῆρχεν· καὶ πολλὰ παρῄσατο δεινὰ τῆς αὐτῆς ὑποσχέσε
σιν διαφόροις· ἀπατῆσαι ταύτην μοῦ κατίσχυσεν· ἐμοὶς τότε τελευταῖον μαρτ
παραδίδωσιν ταύτην τὸ κατ' ἐκεῖνον καιρὸν ὕπαρχος τῆς ἀλεξανδρείας
ἐκδόντων αὐτὴν δὲ δοκῶ ὡς χριστιανὴν καὶ βλασφημοῦσαν· καὶ τοὺς καιροὺς καὶ
τοὺς βασιλεῖς ἐπὶ τοῖς ἰδίοις νόμοις· ὑποσχόμενος αὐτῷ χρήματα ἱκανὰ
ἐπὶ τῇ αὐτῆς συμφορᾷ· ἐὰν πείσῃς ταύτην θῦσαι σώζεσθαι μοι· τῶ σκ
πῶ φυλάξω μὲν αὐτὴν ἀτιμωρητὸν· ἐὰν δὲ ἐμμένῃ τῇ ἐξ ἀρχῆς αὐτῆς αἱρέσει
παρεκάλεσεν τιμωρουμένην αὐτὴν ἀποθανεῖν· ἵνα μὴ ζῶσα ὀλετῶν κα
τὰ γελάσῃ μου τῆς ἀσεβείας τι· προσαχθεῖσα δὲ περὶ τοῦ βήματος ἡ ἀνδρεία
διαφόροις ὀργάνοις τιμωρητικοῖς τὸ σῶμα ἐβασανίζετο· καὶ περὶ πο
λλοὺς λογισμοὺς διαφόρους ἐπαρρησιάζετο μάχην τὴν γυμνήν· ἐμοῖς ὀργάνοις
τιμωριῶν μοῦ πρὸς τῆς κολάσεως βασάνου παρὰ τοῦτο τε δικάζον
τῷ ἀρνηταί· κελεύει λέβητα μὲν ἐπιστῆσαι πλησθέντα ὕδατος καὶ ἐσθαι
τοῦτο λαβρῶς ταλαιπωρίβε ζεούσης οὖν τῆς πίσσης· καὶ σφόδρα ἐκκαι
ομένης· προσέταξεν ὁ ἀνηλεὴς ἄρχων· τὴν μακαρίαν ἐκφημὶ λέγων
ὅτι ἐὰν ἀπειθῇ ὑποτάξαι τοῖς θελήμασιν τοῦ δεσπότου σου· ἢ ἵνα φθέγγαι
ἔχῃς· ἐν τῷ λέβητι σε καταβυθισθῆναι καὶ λεύω· ἡ δὲ ἀπεκρίνατο λέγου
σα· μὴ γένοιτο τοῦτο ποτὲ ἄδικος δικαστής· ὁ κελεύων ὑποτάξε
θεῖν μαι τῇ ἀσωτίᾳ· ὑπομενῶ σοῦ ἕκαστος· κελεύσας αὐτὴν ἐκδυθῆναι
ἐμβληθῆναι ἐν τῷ λέβητι· ἡ δὲ ἀφίησιν φωνὴν εἰποῦσα· τὴν κεφαλήν σου
λήμψεσθαι τοῦ βασιλέως οὐ φοβοῦμαι· ὡς κέκριταί σοι· οὕτως μετιμωρίσ
μὴ κελεύσῃς με ἐκδυθῆναι· ἀλλὰ καὶ τὸ λοιπὸν με σφάζομεν τῇ βρα
ζούσῃ πίσσῃ καταχαλασθῆναι· ἵνα ἴδῃς πόσην ὑπομονήν μοι ἐχα
ρίσατο ὁ χριστὸς ὁ μονογενής· ἐχαλάσθησαν κατὰ μικρόν· ὡς ἐπὶ πα
τὰ σῶμα περὶ τέλος οὕτως ἐξέτεινεν· φθάσασα δὲ τῆς πίσσης περὶ τοῦ

τετραχίλιον· πλεῖστοι μὲν οὖν σύστημα χορῶν ἀνδρῶν τε καὶ γυναικῶν· ἐτελειώ-
θησαν τότε ἐν τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ· ἄξιοι ἀρεθέντες τῆς γῆς τῶν πραέων· [δ]
Ἐν οἷς ἐτελειοῦτο καὶ ὁ μακάριος Δίδυμος· ὁ συγγραφεὺς ὁ ἀπὸ ὀμμάτων γε-
γενημένος· οὗ καὶ συντυχίας ἔσχηκα τέσσαρας· ἐκ διαλειμμάτων ἀπερχόμενος
πρὸς αὐτὸν ἐπὶ δέκα ἔτη χρόνον· ἐτελειοῦτο δὲ οὗτος ἐτῶν ὀγδοήκοντα
πέντε· οὗτος ἀπὸ ὀμμάτων ὑπῆρχεν ὡς αὐτός μοι διηγήσατο· τετραέ-
της τὰς ὄψεις ἀποβαλών· μήτε γράμματα μεμαθηκώς· μήτε παρὰ
διδασκάλοις φοιτήσας· εἶχεν γὰρ τὸν κατὰ φύσιν διδάσκαλον ἐρρωμένον
τὸ ἴδιον συνειδός· ὡς τοσαύτῃ χάριτι καὶ κεκόσμητο γνώσεως πνευματικῆς· ὡς
καθ' ἱστορίαν πληροῦσθαι τὸ γεγραμμένον· Κύριος σοφοῖ τυφλούς· παλαιὰν
μὲν γὰρ καὶ καινὴν γραφὴν ἡρμήνευσεν κατὰ λέξιν· τῶν δὲ δογμάτων
οὕτως ἐπεμελήθη λεπτῶς καὶ πάνυ ἰσχυρῶς· ἐκθέμενος τὸν περὶ αὐτῶν
λόγον· ὡς πάντας ὑπερβεβηκέναι τοὺς ἀρχαίους ἐν γνώσει· τοῦτον ποτὲ
ἀναγκάζοντός με ποιῆσαι εὐχὴν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ μὴ βουλομένου
μου· ἔλεγεν μοι διηγούμενος· ὅτι εἰς τὴν κέλλαν ταύτην τετράκις εἰσῆλθεν
ὁ μακάριος Ἀντώνιος ἐπισκεψόμενός με· καὶ παρακληθεὶς παρ' ἐ-
μοῦ ποιῆσαι εὐχήν· εὐθὺς ἔκλινε γόνυ ἐν τούτῳ τῷ κελλίῳ· καὶ οὐ παρεσκεύα-
σεν με δὶς ἀπειρῶσαι τὸν λόγον· ἔργῳ με παιδεύσας ἐν τῇ ὑπακοῇ· ὥστε
οὖν εἰ κατ' ἴχνος βεβήκεις ἐκείνου τῆς αὐτοῦ πολιτείας ἀπομονάζων καὶ δι' ἀρετὴν
ξενιτεύων· ἀπόθου πᾶσαν φιλονικίαν· ὁ αὐτὸς οὕτως διηγήσατό μοι
καὶ τοῦτο· ὅτι ἐν μιᾷ τῶν ἡμερῶν φροντίζοντός μου περὶ τῆς ζωῆς Ἰουλιανοῦ
τοῦ ἀθλίου βασιλέως ὡς διώκτου καὶ ἀδημονοῦντός μου· ἔτυχεν ποτὲ
ἄχρις ἑσπέρας βαθείας· μηδὲ [?] γευσάμενος ἕνεκεν ταύτης τῆς φρον-
τίδος· καὶ καθεζομένου μου ἐν τῷ θρόνῳ· κατενεχθῆναι ὕπνῳ καὶ εἶδον
ἐν ἐκστάσει ἵππους λευκοὺς διατρέχοντας μετὰ τῶν ἐπιβατῶν καὶ κηρύ-
ττοντας· εἴπατε Διδύμῳ· σήμερον ἑβδόμῃ ὥρᾳ ἐτελεύτησεν Ἰουλιανός·
ἀνάστα οὖν φάγε· καὶ [?] τῷ ἐπισκόπῳ Ἀθανασίῳ ἐν
οἰκίᾳ ἵνα καὶ αὐτὸς γνῷ· καὶ ἐσημειωσάμην φησὶν καὶ τὴν
ὥραν καὶ τὴν ἡμέραν· καὶ τὴν ἑβδομάδα καὶ τὸν μῆνα· καὶ ηὑρέθη οὕτω·:-
(ε) Ὁ μακάριος οὗτος διηγήσατό μοι περὶ παιδίσκης τινὸς ὀνόματι Ἀλεξ[άνδρας]

δρα· ἥτις καταλείψασα τὴν πόλιν ἐν μνήματι ἑαυτὴν ἐγκαθείρξασα
διὰ τῆς θυρίδος λαμβάνουσα τὰς χρείας· μήτε ἀνδράσι μήτε γυναιξὶν κατὰ πρό-
σωπον συντυχάνουσα ὥσπερ ἐπὶ ἔτη δέκα· τῷ δὲ δεκάτῳ ἔτει κοιμηθεῖ-
σα· ἐσχημάτισεν ἑαυτὴν φασὶν ἡ μακαρῖτις· ὡς αὐτὴν ἡ συνήθως
ἀπελθοῦσα καὶ μὴ τυχοῦσα ἀποκρίσεως, ἀνήγγειλεν ἡμῖν· ἀπελθόντων
τοίνυν ἡμῶν καὶ ἀποκρουσάντων τὴν θύραν τοῦ μνήματος καὶ εἰσελθόντων
εὕρομεν αὐτὴν κοιμηθεῖσαν· ἔλεγεν δὲ περὶ αὐτῆς καὶ ἡ τρισμακαρία Ῥωμαί-
α ἡ Μελάνιον· περὶ ἧς κατὰ τὸν καθήκοντα καιρὸν καὶ τόπον τὰ περὶ αὐ-
τῆς διηγήσομαι· ὅτι καθ' ὃ εἶμι μὲν φησὶν τὴν μακαρίαν ταύτην οὐ
δυνήθην θεάσασθαι· πελάσασα δὲ τῇ μονώσει αὐτῆς παρεκάλεσα αὐτὴν φρά-
σαι μοι τὴν αἰτίαν δι' ἣν ἀνεχώρησεν μέσον τῆς πόλεως· ἐγκατέκλεισεν δὲ αὐτὴν
ἐν τῷ μνήματι· ἡ δὲ διὰ τῆς ὀπῆς μοι φησὶν ἐφθέγξατο λέγουσα· ὅτι νέος
κλαίων τις τὸν νοῦν πρὸς ἐμὲ εἶναι καὶ δόξω λυπῆσαι αὐτὸν ἢ διαβάλλειν· εἱλ-
όμην ζῶσαν ἑαυτὴν εἰς τὸ μνῆμα τοῦτο εἰσαγαγεῖν ἢ σκανδαλίσαι ψυχὴν
κατ' εἰκόνα θεοῦ ποιηθεῖσαν· ἐμοῦ δὲ εἰρηκυίας αὐτῇ, πῶς διακαρτερεῖς
δούλη Κυρίου, τὸ παράπαν μηδενὶ συντυχάνουσα· ἀλλὰ μόνη τοῖς κατη-
σα τῇ ἀκηδίᾳ καὶ τοῖς λογισμοῖς· αὕτη μοι ἀπεκρίνατο· ἀπὸ πρωΐας
ἕως ὥρας ἐνάτης εὔχομαι καὶ καθ' ὥραν κλώθουσα λίνον· τὰς δὲ ὑπολοίπους ὥρας· πε-
ριέρχομαι τῷ νοΐ· τὴν ἁγίαν τῶν πατέρων πρώτων καὶ πατριαρχῶν καὶ τῶν
ἄθλους τῶν μακαρίων ἀποστόλων καὶ προφητῶν καὶ μαρτύρων· τῆς δὲ ἑσπέρας
καταλαβούσης δοξολογησάσης μου τὸν θεὸν ἀπὸ τὴν ἐσθίω μου τὸν ἄρτον· τὰς λοι-
πὰς πληρώσασα ὥρας τῆς νυκτὸς προσκαρτεροῦσα μου τῇ δεήσει· καὶ τὸ τέ-
λος ἐκδεχομένη πότε ἀναλύσω ἐντεῦθεν μετ' ἐλπίδων χρηστῶν καὶ
φθάσω τῷ προσώπῳ τοῦ Χριστοῦ· οὐ παραλείψω μὲ δὲ ἐν τῷ διηγήματι
καὶ τοὺς ἐν προσχήματι θεοσεβείας ἐν καταφρονήσει βεβιωκότας· εἰς ἔ-
παινον μὲν τῶν κατορθωκότων τὴν ἀρετήν· ἀσφάλειαν δὲ καὶ
φυλακὴν τῶν ἐντυγχανόντων·

ιϛ Παρθένος τις ἐγένετο ἐν τῇ Ἀλεξανδρείᾳ ὀνόματι μόνον· τῷ μὲν σχήμα-
τι δῆθεν ταπεινή· τῇ δὲ προαιρέσει φειδωλὸς σοβαρὰ καὶ φιλόπλου-
τος καὶ ἀναλίσκουσα ἐν χρήμασι· φιλόχρυσος μᾶλλον ἢ φιλόχριστος· μηδέπο-

τε παραδεχομένην τῶν ἑαυτῆς τι· μὴ ξένων, μὴ πενομένων, μὴ ἀρχουμένων
μὴ μοναχῶν, μὴ ἐκκλησιῶν ὀβολὸν ἐμοί· αὕτη πολλαῖς νουθεσίαις τῶν ἄλλων
πατέρων· οὐ κατεσκέδαζε τὴν ὕλην τοῦ πλούτου· ὑπῆρχεν δὲ αὐτῇ καὶ ἑτέ-
ρας ἐμῆς τέκνον· ποιήσαι θυγατέρα ἀδελφῆς ἰδίας· ἣν νύκτωρ καὶ μεθ' ἡ-
μέραν φέρων ἐπηγγέλλετο τὰ ἑαυτῆς τοῦ οὐρανίου πόθου αὐτὴ ἐκπεσοῦσα.
εἶδος γάρ ἐστι καὶ τοῦτο ἐν τοῖς πλάνης τοῦ διαβόλου· ἐν προσχήματι τῆς
φιλοσυνεργίας· τὴν πλεονεξίαν αὐτῆς ἀμείνονα παρασκευάσαντος· ὅτι
γὰρ οὐ μέλει αὐτῷ δῆλον ἐντεῦθεν· ἀδελφοκτονεῖν γὰρ καὶ μητροκτονεῖν αὐτὸς ἐ-
ξεδίδαξεν· τοῦτο ταῖς θείαις γραφαῖς ὁμολογεῖται· ἀλλ' οἱ καὶ δόξη
συγγενῶν κηδεμονίαν ἐντιθέναι τισὶν οὐκ εὐνοίᾳ τῇ πρὸς αὐτοὺς τοῦτο
ποιεῖ· ἀλλ' ὥσπερ τοῦ τὴν ψυχὴν ἀδικίαν ἐξασκῆσαι τιμῶν· σαφῶς αὐτὸς
ὁ θεῖος ἀπόστολος φάσιν· ὅτι ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν· δύ-
ναται δέ τις συνέσει πνευματικῇ καὶ θείῳ πόθῳ κινούμενος· μήτε τῆς ἑαυτοῦ
ψυχῆς ἀμελεῖν· καὶ τοῖς συγγενέσιν ἐπικουφίζειν· ἀφαίρετον ποιεῖν· καὶ διαφό-
ροις παρέχειν παραμυθίας· ὅταν δέ τις συγγενῶν ὑποπίπτῃ· μό-
νος τὸ ἐπὶ ματαίῳ τὴν ψυχὴν ἑαυτοῦ λογιζόμενος· ὅταν δέ τις ὅλην μὲν
ἑαυτοῦ τὴν ψυχὴν καταφρονήσῃ καὶ καταπατήσῃ· καὶ κηδεμονίας συγγενῶν
ὑποπίπτῃ· ἄδηλον δὲ καὶ ὁ ἱεροψάλτης Δαυὶδ περὶ τῶν τῆς ψυχῆς φροντι-
ζόντων μὲν φόβῳ θεοῦ λέγων· ὅτι τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου
ἀντὶ τοῦ ταμιείου· ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ· ἀθῷος χερσὶ καὶ
καθαρὸς τῇ καρδίᾳ· ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ· ἐ-
κεῖνοι γὰρ ἐπὶ ματαίῳ τὴν ψυχὴν ἑαυτῶν λαμβάνουσιν οἱ νομίζοντες
αὐτὴν τῷ σαρκίῳ τούτῳ συνδιαλύεσθαι· οἱ τῶν πνευματικῶν ἀρετῶν ἀμελοῦν-
τες· τὴν παρθένον τὴν τῷ ὀνόματι μόνον τὴν ἐπωνυμίαν κεκτημένην
τοῖς δὲ τρόποις τῆς ἀσκήσεως ἀπεξενωμένην· τὸ δὴ λεγόμενον θελή-
σας φλεβοτομῆσαι εἰς κουφισμὸν τῆς πλεονεξίας· ὁ ὁσιώτατος μακά-
ριος ὁ πρεσβύτερος καὶ ἀφηγούμενος τοῦ πτωχείου τῶν λελωβημένων· σο-
φίζεται δραματουργίαν τοιαύτην· ἦν γὰρ ἐν νεότητι αὐτοῦ λιθουργὸς ὃν λέγουσιν καβι-
δάριον· καὶ ἀπελθὼν λέγει αὐτῇ· λίθοι ἀναγκαῖοι· σμάραγδοι καὶ ὑάκινθοι
ἐμπεπτώκασί μοι· καὶ εἴτε κλεπτιμαῖοι εἴτε ἐμπορικοὶ οὐκ ἔχω εἰπεῖν· τι-
μὴν οὐχ ὑποβάλλονται· ὑπὲρ διατίμησιν ὄντα· πωλοῦνται δὲ αὐτοί

[3]

ὃ ἔχω, πεντακοσίων νομισμάτων. ἐὰν οὖν δόξῃ σοι, αὐτοὺς λάβωμεν· δὸς
τὰ πεντακόσια νομίσματα τοῖς δεομένοις, καὶ χρήσασθαι καὶ κατασκευὴν
κόσμου ποικίλην τῆς ἀδελφιδοῦς σου. ἐγκρεμαμένη δὲ ἡ λεγομένη παρ-
μος παλαιὰ τῇ κόρῃ, δελεάζεται τῇ φιλοκοσμίᾳ ταύτης. καὶ ποιεῖ πα-
αὐτοῦ καὶ τοὺς πόδας καὶ λέγει αὐτῷ· δέομαί σου, μή τις ἄλλος λάβῃ αὐτούς·
προτρέπει μοι οὕτως αὐτή. ὁ γέρων λέγει, ὅτι παρ᾽ ἐμοῦ ἔξω τῆς οἰκίας μου
καὶ βλέπε αὐτούς. ἡ δὲ οὐκ ἠνέσχετο, ἀλλ᾽ ἀφαρπάζει αὐτοῦ τὰ πεντακόσια νομίσ-
ματα λέγουσα· δέομαί σου ὡς θέλεις λάβε αὐτούς· ἐγὼ γὰρ οὐ θέλω ἰδεῖν
τὸν ἄλλον τὸν πιπράσκοντα αὐτούς. λαβὼν οὖν ὁ γέρων τὰ πεντακόσια νο-
μίσματα παρ᾽ αὐτῆς ὁ γέρων μακάριος, δίδωσιν αὐτὰ καὶ τὰς χρείας τοῦ
πτωχίου. χρόνου δὲ παρελθόντος, ἐπειδὴ μεγάλην ὑπόληψιν εἶχεν
ὁ ἀνὴρ ἐν Ἀλεξανδρείᾳ ὡς ἄκρως φιλόθεος ὢν καὶ ἐλεήμων πρεσβύτης
ἤκμασε γὰρ μέχρι τῶν ἑκατὸν ἐτῶν, ὥσπερ ἐχρημάτισαν ἐν ἡμέραις
εὐλαβεῖ τὸ αὐτὸν ὑπομνῆσαι τέλος. εὑροῦσα αὐτὸν ἐν τῇ ἐκκλησίᾳ λέγει αὐτῷ·
δέομαί σου, τί κελεύεις περὶ τῶν λίθων ἐκείνων ὧν δέδωκά σοι τὰ πεντα-
κόσια νομίσματα. ὁ δὲ ἀπεκρίνατο λέγων αὐτῇ· ἀφ᾽ ἧς ἡμέρας δέ-
δωκάς μοι τὸν χρυσόν, κατέβαλον αὐτὸν καὶ τὴν τιμὴν τῶν λίθων. εἰ δὲ
βούλει ἰδεῖν αὐτούς, ἐλθὲ ἐν τῷ ὁσπιτίῳ μου· ἐκεῖ γὰρ κεῖνται οἱ λίθοι· καὶ βλέ-
πε ἐάν σοι ἀρέσωσιν· ἐπεὶ αἴρεις σου τὸν χρυσόν. ἦλθεν δὲ ἐκεῖ ἡ κυρία με-
τὰ ταύτης. ἦν δὲ τὸ πτωχίον καὶ μένοντα ἀλλότρια ἔχοντα τὰς γυναῖκας
καὶ δὲ τοὺς καταπεπτωκότας ἄνδρας· παραγενομένης δὲ αὐτῆς καὶ ἀνοίγει αὐτῇ
τὸν πυλῶνα, καὶ λέγει αὐτῇ ὁ γέρων· τί θέλεις πρῶτον ἰδεῖν, τοὺς ὑα-
κίνθους ἢ τοὺς σμαράγδους; λέγει αὐτῷ, ὡς δοκεῖ σοι. ὁ δὲ ἀνάγει αὐτὴν καὶ τὰ
ἀνώτερα. καὶ δεικνύει αὐτῇ ἠκρωτηριασμένας γυναῖκας λελωβημένας
ὄψεις ἐχούσας καὶ λέγει αὐτῇ· ἰδοὺ οἱ ὑάκινθοι. εἶτα κατάγει αὐτὴν καὶ τὰ
κατώτερα καὶ δεικνύει αὐτῇ τοὺς ἄνδρας εἰπών· ἰδοὺ οἱ σμάραγδοι. καὶ
νομίζω τούτων τιμιωτέρους οὐχ εὑρεθῶσιν. ἐὰν οὖν σοι ἀρέσκωσιν,
ἐπίλαβε τὸ χρυσίον σου. τούτων τοίνυν οὕτως γενομένων διατεθεῖ-
σα ἡ παρθένος ἐξῆλθεν. καὶ ἀπελθοῦσα ἐν τῇ οἰκίᾳ αὐτῆς ἀπὸ πολλῆς λύ-
πης ἐνόσησεν, ὅτι οὐ κατὰ θεὸν τοῦτο ἐποίησε τὸ πρᾶγμα. ἀλλὰ

ἀμφηκάστως· διὸ ὕστερον δὲ ἀχαριστήσειν τῷ πρεσβυτέρῳ τῆς κόρης ἧς ἐ-
φρόντιζεν μετὰ τὸν γάμον ἀπέκρουσε τελευτησάσης· καὶ λοιπὸν ταύτης δὲ
δέον· καταχρησαμένης τοῦ βίου·
Συντετυχηκὼς οὖν πολλοῖς τῶν ἁγίων μετὰ καὶ ἐν διατριβῇ τοῖς περὶ τὴν Ἀ- η
λεξανδρείαν μοναστηρίοις ἐπὶ ἔτη τρία· καὶ συναναστραφεὶς καλλί-
στοις καὶ σπουδαιοτάτοις μεγάλοις ἀνδράσιν· ὡς δισχιλίοις πᾶσαν ἀ-
ρετὴν· τῆς ἀσκήσεως κεκοσμημένοις·
Ἀναχωρήσας ἐκεῖθεν ἦλθον ἐπὶ τὸ ὄρος τῆς Νιτρίας· μεταξὺ δὲ τοῦ ὄρους θ
τούτου καὶ τῆς Ἀλεξανδρείας λίμνη κεῖται ἡ καλουμένη Μαρία· κατέχει
δὲ αὕτη ἐπὶ μίλια ἑβδομήκοντα· ἣν διαπλεύσας διὰ μιᾶς καὶ ἡμισείας ἡμέρας
ἦλθον ἐπὶ τὸ ὄρος ἐπὶ τὸ μέρος τῆς μεσημβρίας· τῷ ὄρει παράκειται
ἡ πανέρημος· περαιτέρω οὖσα ἕως Αἰθιοπίας· καὶ τῶν Μαζικῶν καὶ τῶν Μαυριτανῶν·
Ἐν τῷ ὄρει οἰκοῦσιν ἄνδρες ὥσπερ πεντακισχίλιοι· οἵ τινες διαφόρους ἔχουσι ι
πολιτείας· ἕκαστος ὡς βούλεται καὶ ὡς δύναται· ἐξὸν καὶ μόνον μένειν·
καὶ δεύτερον καὶ πολλοστόν· ἐν τούτῳ τῷ ὄρει ἀρτοκοπεῖα εἰσὶν ἑπτά· ὑ-
πηρετούμενα κἀκείνοις· καὶ τοῖς διὰ τὴν πανέρημον ἀναχωρηταῖς·
τελείοις ἀνδράσιν οὖσιν ἑξακοσίοις· παροικήσας οὖν ἐκεῖ ἐνιαυτὸν ὅλον· ια
καὶ πολλὰ ὠφεληθεὶς ἀπὸ τῶν μακαρίων καὶ ὁσίων πατέρων·
Ἀρσισίου τοῦ μεγάλου καὶ Ποιτουβάστου· καὶ Ἀδιόμος καὶ Χρονίου· καὶ Σεραπίωνος ιβ
καὶ πολλοῖς διηγήμασιν ἀρχαιοτέρων πατέρων παρ' αὐτῶν κεντρωθεὶς
ἦλθον διὰ τὴν ἔρημον τὴν ἐνδοτάτω·
Ἐν τῷ ὄρει τούτῳ τῆς Νιτρίας ἐκκλησία μία ἐστὶ μεγίστη· ἐν ταύτῃ τῇ ιγ
ἐκκλησίᾳ· τρεῖς φοίνικες ἵστανται· ἕκαστος ἔχων μάστιγα ἐφ' ἑαυτοῦ κρε-
μαμένην· καὶ ὁ μὲν ἐστὶ διὰ τὸ σωφρονίζειν τῶν μοναζόντων τῶν πταιόντων·
ὁ δὲ διὰ τιμωρίαν τῶν λῃστῶν· ἐάν ποτε ἐμπέσωσί ποτε· ὁ δὲ διὰ διορθώ-
σιν τῶν ἐντυγχανόντων καὶ ἐπαικότων· οἷς δή ποτε σφάλμασιν·
ὡς πάντας τοὺς πταίοντας καὶ διελεγχομένους· καὶ ὑπευθύνους πλη-
γῶν καθεστῶτας· περιλαμβάνειν τὸν φοίνικα· λαμβάνοντα κα-
τὰ νώτου ῥητὰς οὕτως ἀπολύεσθαι· πρόσκειται δὲ τῇ ἐκκλησίᾳ·
ξενοδοχεῖον· διὸ τὸν ἀπελθόντα ξένον δεξιοῦνται πάντα τὸν χρόνον ιδ

καὶ μετὰ διετίαν ἢ τριετίαν [illegible] μέχρις οὗ αὐθαιρέτως ἀνα-
χωρῆσαι θελήσας· συγχωρήσαντες αὐτῷ ἐπ᾽ εὐδομάδα μίαν· ἐν
μερίμναις ... τὰς δὲ λοιπὰς ἡμέρας περισπῶσιν αὐτὸν λοιπὸν
ἐν μερίμναις ἢ ἐν κήπῳ ἢ ἐν ἀρτοκοπείῳ ἢ μαγειρείῳ· εἰ δὲ ἀξιόλογός τις εἴη
δίδωσιν αὐτῷ βιβλίον ἀναγινώσκειν· μὴ συγχωροῦντες αὐτῷ ἕως ἐκ τῆς
ὥρας μηδενὶ συντυχεῖν.

ιε Ἐν τούτῳ τῷ ὄρει εἰσὶ καὶ ἰατροὶ διάγοντες καὶ πλακουντάριοι· κέχρηνται δὲ καὶ οἴνῳ
καὶ πιπράσκεται οἶνος· πάντες δὲ οὗτοι λινοϋφίαν ἐργάζονται ταῖς χερσὶν
ἑαυτῶν· ὡς εἶναι τούτους πάντας ἀνενδεεῖς· καὶ τῆς ἑσπέρας καταλαβού-
σης ἔστι μένειν καὶ ἀκούειν ἀφ᾽ ἑκάστης μονῆς ὕμνοις καὶ ψαλμοῖς τὸν
Χριστὸν ὑμνουμένον· καὶ προσευχὰς δὲ σὺν αὐτοῖς ἀναπεμπομένας· ὥστε νο-
μίσαι τινὰ μετάρσιον ἐν τόπῳ τῆς τρυφῆς παραδείσου κατοικισθῆναι.
τὴν δὲ ἐκκλησίαν σάββατον καὶ κυριακὴν καταλαμβάνουσι μόνον.

ιϛ Ὀκτὼ δὲ εἰσὶ πρεσβύτεροι ἀφηγούμενοι ταύτης τῆς ἐκκλησίας· ἐ-
ν ᾗ μέχρις οὗ ζῇ ὁ πρῶτος πρεσβύτερος· οὐδεὶς τῶν ἄλλων προσ-
φέρει· οὐ δικάζει· οὐχ ὁμιλεῖ· ἀλλ᾽ ἐν ἡσυχίᾳ αὐτῷ συγκαθέζονται μόνον.

ιζ Οὗτος ὁ μέγας Ἀρσίσιος καὶ ἄλλοι πολλοὶ γεγονότες σὺν αὐτῷ οὓς
ἡμεῖς ἑωράκαμεν· σύγχρονοι ἦσαν τοῦ μακαρίου Ἀντωνίου· ἔλεγε
δὲ καὶ τοῦτο αὐτὸς ὁ μέγας Ἀρσίσιος καὶ τὸν Ἀμοῦν ἰδεῖν εἶναι τὸν Νιτρι-
ώτην· οὗ τὴν ψυχὴν ἴδεν ἀναλαμβανομένην ὑπ᾽ ἀγγέλων ὁ Ἀντώ-
νιος ὡς ἐσώθη ἀναγομένην.

ιη Ἔλεγεν δὲ οὗτος καὶ Παχώμιον ἰδεῖν
μαι τὸν Ταβεννησιώτην· ἄνδρα προφητικὸν χάρισμα ἐσχηκότα·
ἀρχιμανδρίτην γεγονότα ἀνδρῶν τρισχιλίων· περὶ οὗ δὲ ὕστερον ἅ-
πας διηγήσομαι.

ιθ Οὗτος ἔλεγεν καὶ τὸν Ἀμοῦν τοιούτῳ τρόπῳ βεβιωκέναι· ὀρφανὸν φη-
σὶν ὑπάρχοντα· νεανίσκον ὡς ἐτῶν εἰκοσιδύο· βίᾳ παρὰ τοῦ ἰδίου
θείου γυναικὶ συζευχθῆναι· καὶ μὴ δυνηθέντα ἀντιστῆναι τοῦ θείου ἀνά-
γκῃ· ἔδοξε στεφανωθῆναι καὶ ἐν παστῷ καθεσθῆναι· καὶ πάντα τὰ τοῦ γά-
μου ἠνεσχέσθαι τὰ κατὰ τὸν γάμον· μετὰ δὲ τὸ ἐξελθεῖν πάντας κοιμήσαν-
τας αὐτοὺς ἐν τῷ παστῷ καὶ τῇ κλίνῃ· ἀναστὰς ὁ μακάριος Ἀμοῦν αὐ-

ποκλείει τὴν θύραν· καὶ καθίσασα παρεκάλει τὴν μακαρίαν αὐτοῦ καὶ συνησυ-
χάζουσα λέγει αὐτῇ· δεῦρο δὴ κυρία καὶ ἀδελφὴ λοιπὸν διηγήσομαί σοι τὸ
πρᾶγμα· ὅταν μὲν ἐγαμήσαμεν, οὔτε ἔστιν περισσὸν ἔχομεν οὐδέν· καὶ
λῶς συνῳκήσαμεν ἡμεῖς· ἐὰν ἀπὸ τοῦ νῦν ἕκαστος ἡμῶν καθ' ἰδίαν καὶ
θευδήσῃ· ἵνα καὶ τῷ Χριστῷ λοιπὸν ἀρέσωμεν· ἐκτελέσαντες τὰ ἄθικτον μὴν
τὴν παρθενίαν· ἐξενεγκὼν ἐκ τοῦ κόλπου βιβλίον γεγραμμένον ὡς ἐκ
προσώπου τοῦ ἀποστόλου καὶ τοῦ σταυροῦ ἀνεγίνωσκεν τὴν κορωνίδα αὐτῷ φέρουσαν
γεγραμμένον· τὸ πλῆθος μὲν οὖν τῆς ἀναγνώσεως πρὸς αὐτῆς αὐτὸ τῆς ἰδίας θεο-
πνεύστου συναθήσεως· τὸν περὶ παρθενίας ἐξήγει εἰσηγούμενος αὐτῇ
βίον· ὡς τῇ χάριτι τοῦ Χριστοῦ πληροφορηθεῖσαν ἐκείνην εἰπεῖν· κἀγὼ ἐπε-
θύμουν κύριέ μου τὸν ἁγνὸν βίον ἢ δέξασθαι βιοῦσα· καὶ εἴ τι κελεύεις τοῦ ποιεῖ-
ν ὑπακολουθῶ· ὁ δὲ τοῦτο κελεύω καὶ παρακαλῶ φησίν· ἵνα ἕκαστος ἡμῶν
ἀπὸ τοῦ νῦν καθ' ἰδίαν μένῃ· ἡ δὲ οὐκ ἠνέσχετο εἰποῦσα· ἐν τῷ αὐτῷ οἴ-
κῳ μένωμεν· ἐν διαφόροις δὲ κλίναις· ἔζησαν οὖν μετὰ ταῦτα ἔτη δέκα ὀκτὼ
ἐν τῷ αὐτῷ οἴκῳ διὰ πάσης τῆς ἡμέρας. ἐσχόλαζεν ἐν τῷ κήπῳ καὶ τὸ
βάλσαμον· βάλσαμος γὰρ ἦν· ἥντινα βάλσαμον ἀπαρτέλου δίκην
φυτεῦσαι· τρυγουμένην καὶ κλαδευομένην πολλὴν ἔχουσαν ὀσμήν· ὥσπερ
οὖν εἰσερχόμενος εἰς τὸν οἶκον καὶ ποιῶν βάλσαμα καὶ σὺν ἀνθρώποις ὑπὸ βαθὺ ὄρ-
θρον· ἀπήρχετο εἰς τὸν κῆπον· τούτων οὖν οὕτως ἐπιτελουμένων· καὶ ἀμφοτέρ-
ων εἰς ἀπάθειαν ἐληλακότων· ἐγήρασαν αἱ ἀρχαὶ τοῦ ἱεροῦ ἀμφοῖν· καὶ λέ-
γει αὐτῷ πρὸς τελευτὴν ἡ μακαρίτις ἐκείνη· ἔχω σοί τι εἰπεῖν κύριέ μου· ἵ-
να ἐὰν μου ἀκούσῃς· πληροφορηθῶ ὅτι ἰσότιμος κατὰ θεὸν ἀγαπᾷς με.
λέγει αὐτῇ· εἰπὲ ὃ βούλει· ἡ δὲ λέγει αὐτῷ· δίκαιόν ἐστι πρᾶγμα ἄνδρα
σε ὄντα θεοσεβῆ καὶ δίκαιον συνοικεῖν ἀσκοῦσα, ὁμοίως δὲ καὶ ἐμὲ εἰς ζῆλον κινεῖ-
ν τὴν αὐτὴν συνοδίαν· καθ' ἰδίαν μένειν καὶ πολλοὺς ὠφελεῖσθαι· ἀπὸ
τῶν γὰρ ἔστι δεῖν με κρύπτεσθαι σου τὴν τοσαύτην καὶ τηλικαύτην ἀρετὴν τῆς
φιλοσοφίας· συνοικοῦντα ἐμοὶ διὰ τὸν κύριον ἐν μνήμῃ θεοῦ· ὁ δὲ εὐχαριστήσας
αὐτῇ καὶ δεδωκὼς δόξαν τῷ θεῷ· λέγει αὐτῇ· καλόν σοι ἔδοξε κυρία καὶ ἀδελφή·
καὶ εἰ τοῦτό σοι ἀρέσκει· ἔχε σὺ τοῦτον τὸν οἶκον· ἐγὼ δὲ ἀπελθὼν ποιήσω ἐμαυ-
τῷ ἕτερον οἶκον· καὶ ἐξελθὼν ἀπ' αὐτῆς· εἰσῆλθεν ἐν ἑτέρῳ τοῦ τῆς μητρί-

ὄρος· οὗτος γὰρ ἦν ἐκ τῶν πρώτων ἐσχηματισμένων· οἰκοδομήσας ἑαυτῷ δύο
θόλους κελλίων· καὶ βιώσας ἄλλα εἴκοσι δύο ἔτη ἐν τῇ ἐρήμῳ· καὶ κατορθώ-
σας εἰς ἄκρον τὴν ἀσκητικὴν ἀρετὴν ἐν τῷ μοναχικῷ βίῳ· ἐτελεύτησεν
μᾶλλον δὲ ἐκοιμήθη ὁ ἀββᾶς Ἀμοῦν ἐτῶν ἑξήκοντα δύο· διὸ ποῦ ἔτι τοῦτο
ἑώρα τὴν μακαρίαν ψυχὴν αὐτοῦ.

Τοῦτο τὸ θαῦμα διηγήσατο ὁ μακάριος ἐπίσκοπος Ἀθανάσιος ἐν Ἀλεξ-
ανδρείᾳ γράψας εἰς τὸν περὶ Ἀντωνίου βίον· ὅτι μέλλων παρέρχεσθαι
ποτὲ τὸν Λύκον ποταμὸν ἅμα Θεοδώρῳ μαθητῇ αὐτοῦ· αἰδεσθεὶς
τοῦ ἀποδύσασθαι ἵνα μὴ ἴδῃ γυμνὸν ἑαυτὸν μηδέποτε· καὶ ἐν τῷ διαπο-
ρεῖν αὐτόν· εἰς τὸ πέραν εὑρέθη τοῦ ποταμοῦ ὡς ἐν ἐκστάσει περάσας
δίχα πορθμοῦ· ὑπὸ ἀγγέλου μετενεχθεὶς τοῦ θεοῦ· οὕτως ἔζησεν ὁ Ἀμοῦν οὕτως
βιώσας καὶ οὕτως τελευτήσας· ὡς τὸν μακάριον Ἀντώνιον ἰδεῖν τὴν
ψυχὴν αὐτοῦ ὑπὸ ἀγγέλων ἀναλαμβανομένην εἰς τὸν οὐρανόν:

κα Τοῦτον τὸν Λύκον ποταμὸν μετὰ ἀσφαλείας ἐγὼ πορθμῷ παρῆλ-
θον· ὅπερ διώρυξ γάρ ἐστι τοῦ μεγάλου Νείλου.

κβ Ἐν τῷ ὄρει τούτῳ τῆς Νιτρίας γέγονεν ἀνήρ τις θαυμαστὸς ἀσκητής·
ὀνόματι Ὤρ· οὗ πολλὴν περιεμαρτύρει τὴν ἀρετὴν πᾶσα μὲν ἡ
ἀδελφότης· ἐξαιρέτως δὲ ἡ ἀγία τοῦ θεοῦ Μελάνιον πρὸ ἐμοῦ εἰσελθοῦσα
ἐν τούτῳ τῷ ὄρει· ἐγὼ γὰρ αὐτὸν οὐ κατείληφα ζῶντα· πάντες δὲ ἔλεγον
ἐν τοῖς διηγήμασι ἀνδραγαθήματα τοῦ ἀνδρός· ὅτι οὔτε ἐψεύσατό ποτε·
οὔτε ὤμοσεν· οὔτε κατηράσατό τινα· οὔτε ἐκτὸς τῆς χρείας ἐλάλησέ ποτε.

κγ Τούτου τοῦ ὄρους γέγονε πάροικος καὶ ὁ μακάριος Παμβώ· διδάσκαλος Δι-
οσκόρου τοῦ ἐπισκόπου· καὶ Ἀμμωνίου καὶ Εὐσεβίου καὶ Εὐθυμίου τῶν ἀδελφῶν·
καὶ Ὠριγένους τοῦ ἀδελφιδοῦ Δρακοντίου ἀνδρὸς ἐνδόξου καὶ θαυμασίου· οὗ-
τος ὁ Παμβὼ πολλὰ καὶ μεγάλα εἶχεν ἀνδραγαθήματα· καὶ προτερήμα-
τα ἄλλα τε καὶ διάφορα· ἐν οἷς καὶ τοῦτο ἦν αὐτοῦ πλεονέκτημα ἐν τοῖς
μεγάλοις αὐτοῦ κατορθώμασιν· τοσοῦτον ἦν ὑπερόπτης χρυσίου καὶ
ἀργυρίου ὅσον ἀπαιτεῖ ὁ δεσποτικὸς λόγος.

κδ Ἐμοὶ δὲ διηγεῖτο μοι ἡ μακαρία Μελάνιον· ὅτι ἐν ἀρχαῖς παραγενομένην
εἰς τὴν Ἀλεξάνδρειαν ἀπὸ τῆς Ῥώμης καὶ ἀκούσασα περὶ τῆς τούτου

ἀρετῆς τοῦ μακαρίου Ἰσιδώρου τοῦ πρεσβυτέρου καὶ ξενοδόχου· περὶ αὐτοῦ
μοι διηγησαμένου καὶ ὁδηγήσαντος πρὸς αὐτὸν εἰς τὴν ἔρημον· ὅτι
προσήνεγκα αὐτῷ ἀργεντάριαν τετρακοσίων λιτρῶν ἀργυρίου παρα-
καλέσασα αὐτὸν ἐκ τῶν πραγμάτων τοῦ μετασχεῖν. ὁ δέ φησιν καθε-
ζομένων ἡμῶν καὶ πλεκόντων θαλλοὺς εὐλογήσειν με φωνὴν μόνην εἶπον· ὁ θεὸς δώσει σοι
τὸν μισθόν. καὶ λέγει τῷ οἰκονόμῳ αὐτοῦ Ὠριγένει· δέξαι καὶ διοίκησον αὐτὰ
πᾶσι τοῖς κατὰ Λιβύην καὶ τοῖς ἐν ταῖς νήσοις ἀδελφοῖς. ταῦτα γὰρ τὰ
μοναστήρια πενέστερα πλέον παρὰ τὰ ἄλλα· παρήγγειλας αὐτῷ μηδε-
μιᾷ τῶν ἐν Αἰγύπτῳ δοῦναι ἀπ' ἐκείνου τοῦ χρήματος. διὰ τὸ εὐπορωτέραν εἶ-
ναι τὴν χώραν. ἐγὼ δέ φησιν ὑπέθεμην ἐξεδεχόμην εὐλογίαις παρ' αὐ-
τοῦ τιμηθῆναι ἢ καὶ λόγῳ δοξασθῆναι ἐπὶ τῇ τοσαύτῃ δόσει· καὶ μηδὲ ὅλως
παρ' αὐτοῦ ἀκούσασα, εἶπον αὐτῷ· κύριε ἵνα οἶδας πόσον ἐστίν· τετρα-
κόσιαι ἀργύρου λίτραι εἰσίν. ὁ δὲ πάλιν καὶ ἐπὶ τούτῳ μηδόλως ἀναβλέψας
ἢ καὶ ἀπὸ χαρῶν τοῦ σκεύους τῆς θήκης· ἀπεκρίνατό μοι· ὦ ἐμὴ μοναχὰ σὺ
τὸ τέκνον· παρὰ σοῦ μαθεῖν τὴν ποσότητα τοῦ σταθμοῦ χρείαν οὐκ
ἔχει· ὁ γὰρ τὰ ὄρη σταθμίσας καὶ τὰς νάπας στήσας ζυγῷ· πολλῷ πλέον
ἐπίσταται τὴν ποσότητα τοῦ ἀργυρίου. εἰ μὲν γὰρ αὐτῷ ἐμοὶ ἐδίδους·
καλῶς ἂν μοι καὶ τὸν σταθμὸν ἔλεγες. εἰ δὲ τῷ θεῷ ταῦτα προσήνεγκας τῷ καὶ
τοὺς δύο ὀβολοὺς μὴ παρειδόντι ἀλλὰ πλέον πάντων τούτους τιμήσαντι·
σιώπα· σὺ ἡσύχαζε.

Οὗτος ὁ σὸς οἰκονόμος ἐμοί φησιν ἡ χάρις τοῦ κυρίου· ἐν τῷ εἰσελθεῖν με εἰς Ἰσίδωρος· μετ' ὀ- κε
λίγον χρόνον κεκοίμηται ὁ δοῦλος τοῦ θεοῦ· μὴ νοσήσας μηδὲ ἀλγήσας τι τῶν τοῦ
σώματος μελῶν· ἀλλὰ τὴν σπυρίδα καταράπτων μετήλλαξε· καὶ τοῦ
τελευταίου κεντήματος προσαπαρτιζομένου· λέγει μοι· δέξαι ταύτην
τὴν σπυρίδα ἐκ τῶν ἐμῶν χειρῶν ἵνα μνημονεύσῃς μου· ἄλλο γάρ σοι οὐκ ἔ-
χω τί καταλιπεῖν. ἐκοιμήθη δὲ ὑπερέχων ἐτῶν ἑβδομήκοντα· πα-
ραθέμενος τῷ κυρίῳ τὸ πνεῦμα· ὃν ἐνταφιάσασα ἐγὼ καὶ ὀθόναις τοῦ σώμα-
τος τοῦ ἁγίου ἑλίξασα καὶ ἀποθεμένη. οὕτως ἀναχωρήσασα τῆς ἐρήμου· καὶ ἕως ἡ-
μέρας θανάτου τὴν σπυρίδα ἐκείνην μεθ' ἑαυτῆς εἶχεν·

Οὗτος ὁ παμμακάριος τελευτᾶν μέλλων κατὰ τὴν ὥραν τοῦ ἐκλιμπάνειν αὐτὸν· π κϛ

ρευθεῖσι μὲν ὡριγένει τῷ πρεσβυτέρῳ καὶ οἰκονόμῳ καὶ ἀμμωνίῳ ἀνδράσι πε-
ριβοήτοις· σὺν καὶ λοιποῖς ἀδελφοῖς· τοῦτο λέγεται εἰρηκέναι· ὅτι ἀφ' οὗ
ἦλθον εἰς τὸν τόπον τοῦτον τῆς ἐρήμου καὶ οἰκοδόμησα μου τὴν κέλλαν καὶ ᾤκη-
σα ἐνθάδε· οὐκ ἐκτὸς ἔργου τῶν ἐμῶν χειρῶν πεποίηκα ἡμέραν μίαν·
οὐδὲ μέμνημαι δωρεὰν ἄρτον φαγὼν ἀπό τινος· οὐδὲ μεταμέλημαι ἕως
τῆς ἄρτι ὥρας· ἐφ' ᾧ λόγῳ ἐλάλησα· καὶ οὕτως ἀπέρχομαι πρὸς τὸν θεόν·
ὡς μηδὲ ἀρξάμενος θεοσεβεῖν.

κζ Προσεμαρτύρουν δὲ αὐτῷ οἱ δοῦλοι τοῦ χριστοῦ ὡριγένης καὶ ἀμμώνιος ἀφηγούμενοι
ὅτι μηδέποτε ἐρωτηθεὶς λόγον παρά τινος· ἢ γραφικὸν ἢ ἄλλον τινὰ πραγ-
ματικόν· εὐθὺς παραυτὰ ἀπεκρίνατο· ἀλλ' ἔλεγεν μηδέπω τὴν ἀπό-
κρισιν εὑρηκέναι· πολλάκις δὲ παρῆλθον καὶ τρίμηνον, καὶ οὐκ ἐδίδου ἀπό-
κρισιν λέγων μηδέπω καταληφέναι· οὕτω μέντοι τῆς ἀποφάσεως ἐδί-
δου τελέως κεκινημένας κατὰ θεόν· ὡς ἀπ' αὐτοῦ τοῦ θεοῦ μετὰ πάσης τοῦ φόβου τοὺς
πάντας δέχεσθαι ταύτας· ταύτην γὰρ τὴν ἀρετὴν ἐλέγετο καὶ ὑπὲρ
τὸν μέγαν ἀντώνιον· καὶ ὑπὲρ πάντας τοὺς ἁγίους ἐσχηκέναι· τὴν τοῦ λόγου
ἀκρίβειαν.

κη Φέρεται δὲ πρὸς τοῖς ἄλλοις καὶ αὕτη ἡ πρᾶξις τοῦ ἁγίου παμ-
βῶ· ὅτι ὁ μακάριος πιὼρ ὁ ἀσκητής· παραβαλὼν αὐτοῦ τῇ κέλλῃ πο-
τέ· ἴδιον βαστάσας ἄρτον ἀπήνεγκεν· ἐγκληθεὶς δὲ παρ' αὐτοῦ· τίνος ἕ-
νεκεν τοῦτο πεποίηκας. ἀπεκρίνατο ὁ πιώρ· ἵνα μὴ σε βαρήσω· σιω-
πήσας, οὕτως ἀπέλυσεν· μετὰ δέ τινα χρόνον παραβάλλει ὁ μέγας
παμβὼ τῇ κέλλῃ τοῦ πιώρ· καὶ βρέξας τὸν ἄρτον αὐτοῦ· οὕτως ἀπή-
νεγκεν· ἐρωτηθεὶς δὲ παρ' αὐτοῦ· διὰ ποίαν αἰτίαν βεβρεγμένον ἀπήνεγκε
τὸν ἄρτον· ἀπεκρίνατο ὁ παμβὼ ἵνα μὴ καὶ τὸ σὲ βαρήσω ἔβρεξα.

κθ Ἀμμώνιος τις μαθητὴς ἐγεγόνει τοῦ μεγάλου παμβῶ ἅμα τε λοιποῖς ἀδελφοῖς
ἑτέροις καὶ δυσὶν ἀδελφαῖς· εἰς ἄκρον φιλοθείας ἐλάσαντες κατῴκη-
σαν τὴν ἔρημον· καὶ ἀμφότεροι μονὰς κατ' ἰδίαν ποιήσαντες· τῶν τε ἀν-
δρῶν καὶ τῶν γυναικῶν· ὡς ἱκανὸν ἀπέχειν ἀπ' ἀλλήλων διάστημα.

λ Ἐπειδὴ δὲ καθ' ὑπερβολὴν φιλόλογος ἦν ὁ ἄριστος οὗτος ἀνὴρ ἀμμώνιος· πό-
λις τις τοῦτον ἱερωθῆναι ἐν λόγῳ ἐπισκόπου· καὶ προσελθόντες τῷ μακαρίῳ
τιμοθέῳ τῷ ἐπισκόπῳ· παρεκάλουν αὐτὸν χειροτονῆσαι αὐτοῖς ἐπί-

οπον τὸν ἀμμώνιον. ὁ δὲ λέγει αὐτοῖς· φέρετέ μοι αὐτὸν καὶ χειροτονῶ αὐτόν·
ἀπελθόντων οὖν αὐτῶν μετὰ βοηθείας πολλῆς ἐπὶ τοῦ συλλαβέσθαι αὐτόν, λα
εἰς φυγὴν οὗτος ἐτράπη. ἰδὼν δὲ ὅτι λοιπὸν κατελήφθη· σφόδρα παρεκάλει
αὐτούς. μὴ πειθομένων δὲ αὐτῶν· διομνυμένου μὴ καταδέχεσθαι τὸ πρᾶγμα
μηδὲ διδόναι ἐξελθεῖν τῆς ἐρήμου· ὡς δὲ οὐ συνεχώρουν αὐτῷ, βλεπόντων
πάντων ἀφαρπάσας ψαλίδα· τὸ ἀριστερὸν οὖς αὐτοῦ ἕως τοῦ πυθμένος
ἀπέκοψε λέγων αὐτοῖς· κἂν ἀπὸ τοῦ νῦν πεπληροφορῆσθαι· ὅτι ἀδύνατόν
μοί ἐστι γενέσθαι λοιπόν· ὅπερ αὐτοὶ ἀναγκάζετε· ἐπειδὴ ὁ νόμος ἀπα
γορεύει ὠτότμητον εἰς ἱερωσύνην μὴ προάγεσθαι. οὕτως οὖν ἀ
φέντες αὐτὸν ἀνεχώρησαν· καὶ ἀπελθόντες ἀπήγγειλαν ταῦτα τῷ ἐπισ
κόπῳ. ὁ δὲ λέγει αὐτοῖς· οὗτος ὁ νόμος παρὰ Ἰουδαίοις πολιτευέσθω. ἐ
μοὶ δὲ εἰ καὶ ῥινότμητον ἐὰν ἐνέγκητε· μόνον ἄξιον τοῖς τρόποις ὄντα
χειροτονῶ. ἀπελθόντες οὖν πάλιν παρεκάλουν αὐτόν. μὴ πειθομένου
δὲ τοῦ ὁσίου ἀνδρός· ἐπεχείρουν καὶ βίαν προσαγαγεῖν αὐτόν. ὁ δὲ διώμο
σεν αὐτοῖς εἰπών· ὅτι ἐὰν ἀναγκάσητέ με· καὶ τὴν γλῶσσάν μου ἀπο
τέμνω. ἐπὶ τούτοις ἀφέντες αὐτὸν ἀνεχώρησαν.

Τούτου τοῦ ἁγίου ἀμμωνίου φέρεται τὸ θαῦμα. οὐδέποτε φησὶν τοῦ σώμα λβ
τος αὐτοῦ ἡδονῆς ἐπαναστάσης ἀπὸ τοῦ σαρκίου αὐτοῦ ἐφείσατο· ἀλλὰ
σίδηρον ἐκπυρακτώσας προσετίθει τοῖς μέλεσιν αὐτοῦ· ὥστε πάντοτε αὐ
τὸν εἱλκωμένον μένειν. ἡ μέντοι τράπεζα αὐτοῦ ἡ αὐτὴ γέγονεν ἐκ νεότη
τος ἕως θανάτου· ὠμοφαγία· οὐδὲν γὰρ ὃ διὰ πυρὸς διήρχετο ἔφαγεν ποτὲ
ἐκτὸς ἄρτου. παλαιάν τε καὶ καινὴν γραφὴν ἀπεστήθιζεν· καὶ ἐκ συγγράμ
ματων ἀνδρῶν λογάδων· ὠριγένους τε καὶ διδύμου καὶ πιερίου καὶ στεφάνου
διῆλθεν μυριάδας ἑξακοσίας· ταῦτα δὲ μαρτυροῦσιν αὐτῷ καὶ οἱ μεγάλοι
τῆς ἐρήμου πατέρες· τοῦτο καὶ προφητείαν φέρονται· παρακλητικὸς δὲ ἦν
τοσοῦτον τοῖς ἐν τῇ ἐρήμῳ ἀδελφοῖς εἰ καί τις ἄλλος.

Τούτου ἐπὶ φωσὶ ἐδίδου ὁ μακάριος εὐάγριος ἀνὴρ πνευματοφόρος καὶ διακριτι λγ
κὸς λέγων· ὅτι οὐδέποτε αὐτοῦ ἀπαθέστερον ἑώρακα ἄνθρωπον.

Οὗτος ὁ μακάριος πολλαῖς ἱκεσίαις καταιδεσθεὶς πεισθεὶς· παρὰ ῥουφίνου τοῦ κα λδ
τ' ἐκείνους καιροὺς ἐπάρχου τῶν πραιτωρίων· κατ' ἐκείνους καιροὺς ἐκάμνους·

ἐλθόντος τοῦ μεγάλου ἀμμωνίου ἱερῶν κόσμον τίμιον πολλῷ διὰ χρημάτων τῶν τῆς
ἐρήμου πολιτῶν· ἱκανῶς παρακληθεῖσα καὶ παρὰ τῶν ἄλλων ἐπισκό-
πων ἐκ διαφόρων ἐπαρχιῶν· καὶ αὐτῆς τῆς ἐρήμου ἐληλυθότων
τὰ καταθέσια τῶν ἄλλων· ὥσπερ αὐτὸς ἐκ τῆς ἐν μαρτυρίου· ἐν αὐτοῖς
τοῖς καταθεσίοις· ἀποδέχεται τὸν ῥουφῖνον· ὅλος αὐτὸς ἀπ' ἀρχῆς τοῦ
βαπτίσματος παρὰ τῶν ἐπισκόπων ἐσεβάσθη ἀξίως παρὰ τῆς
αὐτοῦ πολιτείας· πάντα ὑπακούσας τῷ ὁσίῳ ἀνδρὶ ἀμμωνίῳ
ὃν μετ' ὀλίγον χρόνον κοιμηθέντα ἐτάφη ἐν τῷ μαρτυρίῳ τῷ λεγομέ-
νῳ ῥουφινιανές· οὗτος μὲν ἦν μὲν λέγεται ἐλευθέρᾳ πνεύματι πάντας τοὺς
ῥιπιζομένους·

λε Ἐν τούτῳ τῷ ὄρει τῆς νιτρίας γέγονεν ἀνήρ τις θαυμαστὸς ὀνόματι βενιαμὶν
ζήσας βιώσας ἔμπρακτον ἔτη ὀγδοήκοντα· καὶ ἄκρως ἀσκήσας
τὴν ἀρετήν· κατηξιώθη χαρίσματος ἰαμάτων· ὃς πάντα ὃν ἂν
χεῖρας ἐπετίθει ἢ ἔλαιον εὐλογήσας ἐδίδου πάσης ἀπηλλάττετο ἀρρωστίας
ὀχλούμενος· οὗτος ὁ τηλικούτου χαρίσματος καταξιωθείς· πρὸ ὀκτὼ
μηνῶν τῆς κοιμήσεως ὑδρωπίασεν· καὶ ἐπὶ τοσοῦτον ὤγκωσεν αὐτοῦ
τὸ σῶμα τῇ οἰδήσει· ὡς ἄλλον ἰὼβ ταῖς ἀλγηδόσιν ἀναδειχθῆναι ἐν τοῖς ἡμε-
τέροις καιροῖς·

λϛ Παραλαβὼν οὖν ἡμᾶς διόσκορος ἐπίσκοπος ὁ τότε πρεσβύτερος ὢν τοῦ ὄρους
τῆς νιτρίας· ἐμέ τε καὶ τὸν μακάριον εὐάγριον λέγει ἡμῖν· δεῦτε βλέπε-
τε νέον ἰὼβ ἐν τοσούτῳ ὄγκῳ σώματος καὶ πάθει ἀνιάτῳ· ἄμετρον κεκτη-
μένον εὐχαριστίαν· ἀπελθόντες οὖν ἐθεασάμεθα τοσοῦτον τὸν ὄγκον τοῦ
σώματος αὐτοῦ· ὡς μὴ δύνασθαί τινα τὸν μικρὸν δάκτυλον τῆς χειρὸς αὐτοῦ
περιλαμβάνειν ταῖς δύο χερσίν· τῶν δακτύλων· μὴ δυναμένων οὖν δὲ
ἡμῶν ἐναπενίζειν τῇ τοσαύτῃ θεοῦ δεινότητι· τοὺς ὀφθαλμοὺς ἡμῶν ἀπο-
στρεφομένων· τότε λέγει ἡμῖν ὁ μακάριος ἐκεῖνος βενιαμίν· εὔξασθε τέ-
κνα· ἵνα μή μου ὁ ἔσωθεν ἄνθρωπος ὑδροπιάσῃ· τοῦτο γὰρ τὸ σῶμα· οὔτε ἐμὲ
εὖ παθόντι ὠφέλησεν· οὔτε δυσπαθοῦντι παρέβλαψεν· τοὺς ὀκτὼ οὖν μῆ-
νας ἐκείνους· ὁ δίφρος αὐτοῦ πλατύτατος ἐτέθη ἐν ᾧ διηνεκῶς ἐκαθέ-
ζετο· μηκέτι ἐν κλίνῃ ἀναπεσεῖν δυνάμενος· διὰ τὰς λοιπὰς χρείας τοῦ

σώματος· καὶ ἐν τούτῳ τὸ ἀνίατον πάθος· ἀλλ' οὖν αὐτὸς τοῖς ἑτέροις δὴ ἀπο-
σώμασι νοσήμασι κατεχομένοις· ἀρχαῖον ποιῶν κτήσασθαι μὴ ἐξηγήσασθαι
τοῦτο τὸ ἄλλο τὸ πάθος· ἵνα μὴ ξενιζόμεθα ὅταν τι περιστατικὸν δὴ καὶ
οἷς ἀνδράσι συμβαίνῃ· τελευτήσαντος δὲ τοῦ γενναίου ἐκείνου· τὰς φλιὰς τῆς
θύρας ἐπῆραν καὶ τὰς παραστάδας· ἵνα δυνηθῇ τὸ σῶμα ἐξενεχθῆναι τῆς κέ-
λλης· τοσοῦτον ἦν ὁ ὄγκος τοῦ σώματος τοῦ μακαρίου καὶ ἀοιδίμου Βενιαμίν·
Ἀπολλώνιός τις ὀνόματι ἀπὸ πραγματευτῶν· ἀποταξάμενος καὶ οἰκήσας· λζ
τὸ ὄρος τῆς Νιτρίας· μήτε τέχνην λοιπὸν μαθεῖν δυνάμενος· μήτε ἐπι-
άσκησιν γραφῆς κἂν διὰ τὸ παρηβηκέναι τὴν ἡλικίαν· ζήσας ἐν τῷ ὄρει
εἴκοσιν ἔτη ταύτην εἶχεν τὴν ἄσκησιν· ἐκ τῶν ἰδίων χρημάτων καὶ τῶν
κόπων· παντοῖα ἰατρικὰ καὶ κελλαρικὰ ἀγοράζων ἐν τῇ Ἀλεξαν-
δρείᾳ πᾶσαν τὴν ἀδελφότητα ἐπεσκέπτετο νοσοῦσαν· καὶ ἦν ἰδεῖν αὐτὸν ὄρθρου
μέχρις ἐνάτης ὥρας· σκυλλόμενον τὰ ἀσκητήρια καὶ πᾶσαν τὰς κελλί-
ας ἐκ κατὰ θύραν περιερχόμενον καὶ ἐπισκοποῦντα μή τις ἀσθενῶν κεῖ-
ται· ἐβάσταζεν δὲ σταφίδας· ῥοάς· ᾠά· σιλίγνια· καὶ τῶν ἐπιτηδείων
τοῖς ἀρρωστοῦσι· ταύτην ἑαυτοῦ λυσιτελοῦσαν εὑρὼν τὴν πολιτείαν·
μετὰ τὸ γῆρας ὁ τοῦ Χριστοῦ δοῦλος· ὅστις τελευτᾶν μέλλων· ὅμοιον ἑαυτοῦ καταλ-
λιπὼν ἀφῆκε τὰ ἀρυτάρια παρακαλέσας αὐτὸν ταύτην ἐκτελεῖν τὴν διακονί-
Πεντακισχιλίων γὰρ οἰκούντων μοναζόντων μετὰ τὸ ὄρος ἐκεῖνο· χρεία ἦν λη
τῆς τοιαύτης ἐπισκέψεως· διὰ τὸ ἔρημον εἶναι τὸν τόπον·
Ἕτεροι τινὲς Παΐσιος καὶ Ἡσαΐας οὕτω καλούμενοι· ἀδελφοὶ ὑπῆρχον πατρὸς ἐμ- λ
πόρου σπανοδρόμου· οἵτινες μετὰ τὸ τοῦ πατρὸς αὐτῶν τελευτῆσαι· ἐμερίσαν-
το τὰ ὑπάρχοντα αὐτοῖς ἐν κινητοῖς ἃ εἶχον· ἐν νομίσμασι πεν-
τακισχιλίοις· ἐν ἱματίοις δὲ καὶ κτήσεσι τὰ εὑρεθέντα·
Οὗτοι μετ' ἀλλήλων σκεπτόμενοι· καὶ συμβουλεύοντες ἑαυτοῖς· ἔλεγον πρὸς
ἀλλήλους· ἐπὶ ποίαν μέθοδον τοῦ βίου ἔλθωμεν ἀδελφέ· ἐὰν ἔλθωμεν
ἐπὶ τὴν ἐμπορίαν ἣν μετῆλθεν ὁ πατὴρ ἡμῶν· καὶ ἡμεῖς ἑτέροις ἔχομεν
καταλεῖψαι τοὺς πόνους ἡμῶν· ἴσως δὲ καὶ κινδύνοις περιπέσομεν
πάντως· ἢ λῃσταῖς καὶ ἐν θαλαττίοις· δεῦρο οὖν ἀδελφὲ ἐπὶ τὸν μο-
νήρη βίον ἔλθωμεν· ἵνα καὶ τὰ τοῦ πατρὸς ἡμῶν κερδήσωμεν· καὶ τὰς ψυχάς·

ἡμῶν μὴ καταπολέσωμεν· ἤρεσε μὲν οὖν ἀμφοτέροις ὁ σκοπὸς τοῦ μονήρους
βίου· ᾑρέθησαν δὲ ἄλλος κατ' ἄλλον διαφωνούντως· μερισάμενοι δὲ τὰ χρή-
ματα καὶ τὰ λοιπὰ πάντα· τοῦ μὲν σκοποῦ εἴχοντο ἑκάτεροι τοῦ ἀρέσαι
θεῷ· ἐνηλλαγμένην δὲ τὴν πολιτείαν· ὁ μὲν γὰρ πάντα διασκορπίσας
ἔδωκεν ἀσκητηρίοις καὶ ἐκκλησίαις καὶ φυλακαῖς· καὶ τεχνύδριον ἐκμαθ-
ὼν ὅθεν τὸν ἄρτον πορίσηται· καὶ τῇ ἀσκήσει προσέχειν καὶ τῇ προσευχῇ·
ὁ δὲ ἕτερος τούτων μηδὲν διασκορπίσας· ἀλλὰ ποιήσας αὐτῷ μοναστήριον
καὶ προσλαβόμενος ἀδελφοὺς ὀλίγους πάντα ξένον ἐδεξιοῦτο· τοῦτῳ
τῷ τρόπῳ τὸν ἑαυτοῦ βίον κατηνάλωσεν· τούτων οὖν ἀμφοτέρων
τελευτησάντων· διάφοροι μακαρισμοὶ ἑκατέρων ἐγίνοντο παρὰ τῶν ἀ-
δελφῶν· ὡς οὖν ἀμφοτέρων τελειωθέντων ἐν τῇ ἀρετῇ ἀρεσθέντων· καὶ τοῖς μὲν
ἤρεσκεν ὁ τοῦ ἅπαξ ἀποταξαμένου βίος· τοῖς δὲ ὁ κοινωνικὸς πρὸς πάν-
τας τοὺς δεομένους· φιλονεικίας οὖν ἐμπεσούσης ἐπὶ τῇ διαφόρῳ
πολιτείᾳ τούτων τῶν μακαρίων τῇ ἀδελφότητι· μάλιστα ἐπὶ τοῖς
διαφόροις ἐπαίνοις· ἀπέρχονται πρὸς τὸν μακάριον ἀββᾶν Παμβώ
καὶ ἀνατίθενται αὐτῷ τὴν περὶ τούτων ἀπόκρισιν· ἀξιοῦντες μαθεῖν
παρ' αὐτοῦ τὴν ἀμείνονα πολιτείαν· ὁ δὲ λέγει αὐτοῖς· ἀμφότεροί εἰσι τέ-
λειοι πρὸς κύριον· ὁ μὲν γὰρ ἀβραμιαῖον ἐξετέλεσεν ἔργον πάντας δεξιού-
μενος· ὁ δὲ τοῦ προφήτου Ἠλιοὺ τὸ ἀκαμπὲς τοῦ ζήλου τῆς πρὸς θεὸν ἀ-
ρεσκείας ἐπεδείξατο· καὶ τῶν μὲν λεγόντων· πῶς ποθοῦμεν ἁπτόμεθα
πῶς δυνατὸν εἶναι τούτους ἴσους· προτιμώντων τὸν ἀσκητὴν
καὶ λεγόντων· ὅτι οὗτος τὸ εὐαγγελικὸν πεπλήρωκε πρᾶγμα πάντα πωλή-
σας καὶ δεδωκὼς πτωχοῖς· καὶ πρὸ καρτερῶν ταῖς εὐχαῖς καθ' ἑκάστην ἡ-
μέραν καὶ νύκτα καὶ ὥσπερ τὸν σταυρὸν βαστάζει καὶ ἀκολουθεῖ τῷ σωτῆρι· τῶν δὲ
πάλιν τοῦ ἑτέρου ἀντιφιλονεικούντων· ὅτι καὶ αὐτὸς δεόμενος σοῦ· τοσαῦτα καὶ ἐπιδίδωσι-
ται· σπλάγχνα ὑπεδείξατο πρὸς πάντας τοὺς δεομένους· ὥστε καὶ φέρειν αὐτὰς τε-
λεσφόρους ἐξεργόμενος καθίστασθαι καὶ τοὺς θλιβομένους συναγαγεῖν· καὶ
ἐπαρκῶν· καὶ οὐ μόνον τὴν ἰδίαν ψυχὴν ἐπέπαυσεν· ἀλλὰ καὶ ἄλλων πο-
λλῶν νοσοκομῶν καὶ ἐπισκοπῶν· λέγει αὐτοῖς ὁ μακάριος Παμβώ· πά-
λιν ἐν ἡμέρᾳ· ἀμφότεροι εἰσὶν πρὸς κύριον· ἕκαστον δὲ ὑμῶν πληροφο-

ῥήσας περὶ αὐτῶν· οὗτος εἰ μὴ ἤσκησε τοσαύτην ἀκρότητα, οὐκ ἂν ἐπεμένθη ἄξι-
ος τῆς τοῦ σωτῆρος ἡμῶν ἀγαθότητι συγκελευσθῆναι· ἕκαμνος πάλιν ἀναπαυόμενος τοῖς
ζήμοις· καὶ τοῖς δεομένοις διακονῶν ἰσορρόπως κατὰ δύναμιν τοῦ κυρίου ἀναδέ-
δεκται· αὐτὸς γὰρ λέγει· ἐγὼ οὐκ ἦλθον διακονηθῆναι ἀλλὰ διακονῆσαι· δι-
ακονῶν οὖν καὶ οὗτος καὶ δοκῶν τὸ ἐκ τοῦ κόπου ἔχειν φορτίον· ἀλλὰ καὶ τὴν τῶν
ρ αὐτοῦ ἔχειν ἀναπαῦσιν· ἐκδεξάσθω δὲ μικρὸν ἵνα καὶ παρὰ τοῦ θεοῦ δεξώμεθα
τὴν περὶ αὐτῶν ἀποκάλυψιν· καὶ μετὰ ταῦτα ἐλθόντων τῶν μαθητῶν ἔσωθεν· δι-
αλγούντων ὀλίγας ἡμέρας ἦλθον πάλιν περὶ τούτων τὸν μέγαν πα-
ρακαλοῦντες· ὁ δὲ μακάριος ἀπεκρίνατο λέγων· ὡς ἐνώπιον θεοῦ ἀμφοτέ-
ρους ἀμφοῖν ἴδον ἑστῶτας ἐν τῷ παραδείσῳ.

Νεώτερός τις τῇ ἡλικίᾳ ὀνόματι Μακάριος, ὡς ἐτῶν δέκα καὶ ὀκτώ, ἐν τῷ μα
παίζειν αὐτὸν μετὰ τῶν συνηλικιωτῶν αὐτοῦ παρὰ τὴν λίμνην τὴν λε-
γομένην Μαρίαν, πεπραγματευμένων· ἀκούσιον ἐργασάμενος φόνον· οὐ-
δενὶ μηδὲν εἰρηκὼς καταλαμβάνει τὴν ἔρημον· καὶ εἰς τοσοῦτον ἤ-
λασεν φόβον θεόν τε καὶ ἄνθρωπον· ὡς ἀμελῆσαι αὐτὸν τριετίαν ἀγείτονα μέ-
ναντα ἐν τῇ ἐρήμῳ. ἄβροχος δὲ ἡ γῆ ἐκείνη ὑπάρχει· καὶ τοῦτο ἴσασι
πάντες· καὶ οἱ διὰ λόγου γενόμενοι, καὶ οἱ διὰ τῆς πείρας αὐτῆς· ὁ αὐτὸς
οὗτος μακάριος ὕστερον οἰκοδομήσας ἑαυτῷ κελλίον· καὶ ζήσας ἐν αὐτῷ
ἄλλα εἴκοσι πέντε ἔτη· τοιούτου χαρίσματος ἠξιώθη, ὡς καταπτύειν δαι-
μόνων ἐν τρυφῇ τῆς μονότητος· τοῦτο πολλάκις χρονίσας ἐγὼ ἔμα-
θον παρ' αὐτοῦ· πῶς αὐτοῦ ὁ διαλογισμὸς διάκειται ἐπὶ τῇ τοῦ φόνου
ἁμαρτίᾳ· ὃς τοσοῦτον ἔλεγεν ἀπέχειν λύπης· ὡς καὶ προσευχαριστεῖν τῇ
τοῦ φόνου αἰτίᾳ· γέγονε γάρ μοι, φησίν, ὑπόθεσις σωτηρίας ὁ ἀκούσιος φόνος·
ἔλεγεν δὲ ἀπὸ γραφῶν φέρων τὴν μαρτυρίαν τὴν κατὰ τὸν μέγαν θε-
ράποντα τοῦ θεοῦ Μωσέα τοῦ κατ' αἴγυπτον φόνου· ὅτι εἰ μὴ διὰ τὸν φόβον
τοῦ φόνου, οὐκ ἂν Μωσῆς ἠξιώθη τῆς δεσποτικῆς θεοπτίας· καὶ τῆς τοσαύ-
της δωρεᾶς καὶ τῆς συγγραφῆς τῶν θείων λογίων τοῦ πνεύματος· εἰ μὴ τῷ
δέει τοῦ φαραὼ διὸ ἐδραπέτευσεν ἐν αἰγύπτῳ κατέλαβε τὸ ὄρος τὸ Σινα-
ταῦτα δὲ ἔλεγεν· οὐχ ὁδοποιῶν εἰς φόνον τινάς· ἀλλ' ἀναμανθάνων ὑπο-
δεικνύων· ὅτι εἰσὶ περιστατικαὶ ἀρεταί· ὅταν μὴ ἑκουσίως ἀγαθοὶ ὦμεν τῷ

ἀγαθῶν τις προελθεῖν βουληθῇ· τῶν γὰρ ἀρετῶν· αἱ μὲν εἰσὶ προαιρε-
τικαί· αἱ δὲ περιστατικαί·

μβ Ἕτερός τις τῶν ἀρχαίων λεγομένων τῶν παλαιῶν μακαρίων ἀθλητὴς τοῦ Χριστοῦ ὀνόματι
Ναθαναήλ· τοῦτον μὲν τὸν ἔνσαρκον οὐ κατέλαβον· κεκοίμηται γὰρ πρὸ
τῆς ἐμῆς εἰσόδου ἐν τῷ ὄρει πρὸ ἐτῶν δεκαπέντε· τοῖς δὲ συνασκήσα-
σιν αὐτῷ καὶ συγχρονίσασιν περιτυχών· φιλοπόνως ἠρώτων·
περὶ τῆς τοῦ ἀνδρὸς ἀρετῆς· ἔδειξαν δέ μοι αὐτοῦ καὶ τὴν κέλλαν· εἰς ἣν
ᾤκει μὲν οὐκέτι οὐδεὶς διὰ τὸ ἐγγύτερον εἶναι τῆς οἰκουμένης· ἐκεῖνος γὰρ
ὁ μακάριος τότε αὐτὴν ἔκτισεν· ὅτε σπάνιοι ἦσαν οἱ ἀναχωρηταί· δι-
ηγοῦντο δέ μοι τοῦτο περὶ αὐτοῦ ἐξαίρετον τῆς ἀσκήσεως· ὅτι τοσαύτην
ἔσχε τὴν ὑπομονὴν ἐν τῷ κελλίῳ· ὡς μὴ σαλευθῆναι ὥστε τοῦτον ἀπὸ
τῆς προθέσεως· ἐμπαιχθεὶς κατ' ἀρχὰς παρὰ τοῦ πᾶσιν ἐμπαί-
ζοντος καὶ ἀπατῶντος· τοῦ καὶ τοῦτον τῇ ἀκηδίᾳ περιβαλλομένου ἐν τῇ κέ-
λλῃ αὐτοῦ ἐξελέσαντος· ἔδοξε γὰρ ἀκηδιᾶν εἰς τὴν πρώτην κέλλαν· καὶ
ἀναχωρήσας ἐκεῖθεν· ἀπελθὼν ἄλλην ἔκτισεν πλησιέστερον κώμης·
μετὰ οὖν τὸ τελέσαι τὴν κέλλαν καὶ ἐν αὐτῇ ἐνοικῆσαι· μετὰ τρεῖς μῆνας
ἢ τέσσαρας· παραγίνεται ὁ δαίμων ἐν νυκτὶ ταυρέαν κατέχων· ὥσπερ οἱ
δήμιοι· σχῆμα ἔχων στρατιώτου ῥακκοδυτοῦντος· ψόφον ἐργαζόμε-
νος τῇ ταυρέᾳ· πρὸς ὃν ἀχθόμενος ὁ μακάριος ἔλεγε Ναθαναήλ·
τίς ὑφ' ὅτου ταῦτα δρῶν ἐν τῇ ἐμῇ ξενίᾳ· ὁ δὲ δαίμων ἀπεκρίνατο· ἐ-
γώ εἰμι ὁ ἐκ τῆς πρώτης κέλλας ἐλάσας σε· καὶ νῦν ἦλθον καὶ ἐκ ταύτης φυ-
γαδεῦσαί σε· ὑποστρέψας αὖθις εἰς τὴν πρώτην κέλλαν· καὶ πληροφορήσας
τεσσαράκοντα καὶ ἑπτὰ ἔτη οὐχ ὑπερέβη τὸν βατῆρα· φιλονεικήσας τῷ
δαίμονι· ὃς τοσαῦτα αὐτῷ ἐνεδείξατο ἵνα αὐτὸν ἀναγκάσῃ ἐξελθεῖν
ἐκ τῆς κέλλης· ὅσα οὐκ ἔστι νῦν διηγήσασθαι· ἐν οἷς καὶ τοῦτο· ἐπιτηρήσας
ὁ μισόκαλος· ἐπειράσαι τοῦτον ἐσπούδασεν· εἰς ἔκκοπὴν τῆς προθέ-
σεως· ἑπτὰ ἐπισκόπων ἰόντων ἐπὶ τοῖς κεκτημένοις τὸν ἄλλον· ἢ ἐκ θεοῦ προ-
νοίας· ἢ ἐξ ὑποθέσεως τοῦ πειρασμοῦ ἐκείνου· παρ' ὀλίγον αὐτὸν ἐξώκειλαν
τῆς προθέσεως· τῶν γὰρ ἐπισκόπων μετὰ τὴν ἐπίσκεψιν δεξαμένων
καὶ μετὰ τὴν εὐχὴν ἐξιόντων· οὐ προέπεμψεν αὐτοὺς ὁ γενναῖος οὐδὲ βῆ-

μαστώδης· ἵνα μὴ δῷ χώραν τῷ μισοκάλῳ. λέγουσιν οὖν αὐτῷ οἱ διά-
κονοι τοῦ ἐπισκόπου· ὑπερήφανον πρᾶγμα ἐργάζῃ ἀββᾶ, μὴ προ-
πέμπων τοὺς ἐπισκόπους. ὁ δὲ λέγει αὐτοῖς· ἐγὼ καὶ τοὺς κυρίους μου
τοὺς ἐπισκόπους σέβω· καὶ πάντα τὸν κλῆρον τιμῶ· καὶ πάντων ὑ-
μῶν ἐγὼ ὁ ἁμαρτωλὸς περίκειμαι· πᾶσιν δὲ τούτοις καὶ ὅλῳ τῷ βί-
ῳ ὅσον τὸ ἐπ' ἐμοὶ τῇ προθέσει ἀπέθανον· ἔχω γὰρ κεκριμένον σκοπὸν
ὃν οἶδεν ὁ ἐμὸς Χριστὸς ὁ ταύτης ἐμῆς καρδίας ἀδελφοί· διά τι οὐ προέπεμψα·
ἀποτυχὼν δὲ ὁ δαίμων καὶ ἐκ τούτου τοῦ δράματος· σχήματι πάλιν πο-
τὲ ἐπέρχεται πρὸ ἐννέα μηνῶν τῆς κοιμήσεως τοῦ ἀθλητοῦ· μετα-
μορφοῦται γὰρ εἰς παιδάριον δεκαετές· ὡς ἐλαύνων ὄνον· ἄρτους
ἐν σαργάνῃ βαστάζοντα· καὶ γενόμενος ἑσπέρας βαθείας πλησίον τῆς
τούτου κέλλης· ἐσχηματίσατο ὡς πεπτωκέναι τὸν ὄνον καὶ κράζειν τὸ
παιδάριον· ἀββᾶ Ναθαναὴλ ἐλέησόν με καὶ δός μοι χεῖρα· ἤκουσε
δὲ ἐκεῖνος τῆς φωνῆς τοῦ παιδαρίου δῆθεν· καὶ ἀνοίξας τὴν θύραν τῆς
κέλλης ἔσωθεν ἑστώς· ἐγώ εἰμι τοῦ δεῖνος μοναχοῦ τὸ μειράκιον καὶ ἄρτους αὐ-
τῷ φέρω· ἐπειδὴ ἀγάπη ἐστὶν τοῦ σοῦ γνωρίμου τοῦ δεῖνος ἀδελφοῦ· καὶ
αὔριον σάββατον· τοῦ διαφαύοντος χρεία ἐστὶ προσφορῶν· δέομαί σου
σοι μή με παρίδῃς· μή πως καὶ ὑπὸ ὑαινῶν βρωθῶ· πολλαὶ γὰρ
εἰσὶν ὕαιναι ἐν τοῖς τόποις ἐκείνοις· ἔμμενος οὖν ἑστηκὼς ὁ μακάριος Να-
θαναὴλ ὑπὸ πολλῆς συμπαθείας· σφόδρα ἰλιγγιάσας ταραττόμενος
τοῖς σπλάγχνοις· καὶ ἐλογίζετο τί ποιήσω λέγων· ἢ τῆς ἐντολῆς ἐκ-
πέσω· ἢ τῆς προθέσεως ἐξολισθήσω· ὕστερον δὲ ἐπιλογισάμενος
τῷ εὐσεβεῖ λογισμῷ· εἶπεν ἐν ἑαυτῷ· ἄμεινόν ἐστιν τὸ μὴ ἐκλῦσαι
τοσούτων ἐτῶν πρόθεσιν· ἵνα αἰσχύνῃ καὶ ἡττήσῃ τὸν διάβολον· προσ-
ευξάμενος τοίνυν τῷ Χριστῷ· λέγει τῷ προσκαλοῦντι δῆθεν παιδαρίῳ·
ἄκουσον παιδάριον ἢ ὅστις δήποτε εἶ· πιστεύω εἰς τὸν θεὸν ᾧ λατρεύω τῷ
δυναμένῳ ζῶντι πάσης κτίσεως· ὅτι εἰ χρῄζεις οὖν ὡς βοηθείας· πέμψει σοι ὁ
θεός μου βοήθειαν· καὶ οὔτε ὕαιναι οὔτε τις ἄλλος· οὐ μή σε ἀδικήσει· εἰ δὲ πει-
ρασμὸς εἶ καὶ ἐκ τοῦ θεοῦ μου ἐντεῦθεν ἤδη τὸ δρᾶμα ἀποκαλύψει·
καὶ κλείσας τὴν θύραν τῆς κέλλης· ἔνδον ἠρέμα ἔμενεν· αἰσχυνθεὶς δὲ ὁ

ὁ δαίμων· καὶ ἐπὶ ταύτῃ τῇ αὐτοῦ τῇ νίκῃ· ᾧ καὶ λοιπὰ πάντα ἀνελύθη· καὶ τοὺς ἀγρίους
σκιρτῶντας καὶ φεύγοντας· καὶ τῷ φόβῳ ἀφ' ἑαυτῶν ἀπολύοντας· ἔξω γὰρ ὢν θεοῦ
οὗτος ἄφαντος γέγονεν· τοῦ τοῦτο ἆθλον τοῦ μακαρίου ἀββᾶ Ναθαναήλ·
καὶ αὗται αὐτοῦ αἱ ἀρεταὶ τῆς ἀσκήσεως· καὶ ἡ κατὰ τοῦ μάχη πρὸς τὸν ἀντίπαλον·
καὶ αὕτη αὐτοῦ ἡ διαγωγή καὶ τὸ ... αὐτὸν τοῦ ἀοιδίμου βίου τέλος·

μγ'

Π αἰ κατὰ τοὺς ἄλλους καὶ ἀθανάτους πατέρας· μακάριον τὸν αἰγύπτιον· καὶ μα-
κάριον τὸν ἀλεξανδρέα· τοὺς γενναίους ἄνδρας· καὶ ἀκαταγωνίστους ἀ-
θλητάς· τοὺς ἐν ἀρεταῖς βίου· ἆθλα πολλὰ ὄντα καὶ μεγάλα· καὶ μικροῦ δεῖν
ἄπιστα τοῖς ἀπίστοις· ὀκνῶ καὶ δυσπιστήσας καὶ γραφῆναι παρ' ἐμοῦ· μή
πως τε καὶ ψεύδους δόξαν ἀπενέγκωμαι· ὅτι δὲ ἀπολεῖ κύριος πάντας τοὺς
λαλοῦντας τὸ ψεῦδος· σαφῶς ἐστιν ἰδεῖν τὸ πνεῦμα τὸ ἅγιον· ἐμοῦ τοίνυν
μὴ ψευδομένου διὰ τὴν χάριν τοῦ κυρίου· πιστὸς τοίνυν τῶν ἀνδρῶν λέγω σε· καὶ
αὐτὸς μὴ ἀπιστήσῃς τοῖς τῶν ἁγίων ἀνδρῶν ἄθλοις· ἀλλὰ μᾶλλον ἐγκαλλω-
πίζου τούτων τῶν ἀοιδίμων καὶ ὄντως μακαρίων διηγήματι· τῶν κα-
ταξίαν ἄθλων αὐτῶν τῆς ἀσκήσεως καὶ τὰ ὀνόματα ἐκτιθέμενος·
ὁ μὲν πρῶτος ἀθλητὴς τοῦ χριστοῦ μακάριος ὀνόματι· αἰγύπτιος τὸ γένος
ὑπῆρχεν· ὁ δὲ δεύτερος τῇ ἡλικίᾳ· πρῶτος δὲ τοῖς περιτερίμασι τῶν
μοναχῶν· καλούμενος αὐτῷ ὀνόματι· ἀλεξανδρεὺς πολίτης γενόμενος·
τραγήματα πωλῶν [illegible]· καὶ τὰ μὲν πρῶτα διηγήσομαι τοῦ αἰγυπτίου
μακαρίου τὰς ἀρετάς· ὃς ἔζησεν τὰ σύμπαντα ἔτη ἐνενήκοντα·
ἀπὸ τούτων μὲν τῇ ἐρήμῳ ἐποίησεν ἑξήκοντα ἔτη· τριάκοντα ἐτῶν
ἀνελθὼν νεώτερος τὴν ἡλικίαν σφρίζων· τοσαύτῃ οὗτος ἐχρήσατο καρ-
τερίᾳ ἀγωνισάμενος ἀσκητικῶς· ἐν ὅλοις δέκα ἔτεσι· ὡς πολλῆς καὶ μεγάλης
τοῦτον ἀξιωθῆναι διακρίσεως· ὥστε καλεῖσθαι αὐτὸν παιδαριογέροντα·
ἐπειδὴ ὑπὲρ τὴν ἡλικίαν προέκοπτεν ταῖς ἀρεταῖς· τεσσαράκοντα
ἐτῶν γενόμενος· καὶ κατὰ πνευμάτων ἔλαβεν ἐξουσίαν καὶ δύναμιν·
καὶ χάρισμα ἰαμάτων καὶ πνεῦμα προρρήσεων· κατηξιώθη δὲ καὶ τῆς ἐν πνεύ-
ματι ἱερωσύνης· τούτῳ συνῆσαν δύο μαθηταί· εἰς τὴν ἔρημον τὴν ἐνδο-
τάτην τὴν καλουμένην σκῆτιν· ὁ μὲν εἷς αὐτῶν ἦν αὐτοῦ ὑπηρέτης
πλησίον αὐτοῦ διὰ τοὺς παραβάλλοντας ἀρρώστους διὰ τοὺς ἐρχομένους θεραπευθῆναι·

νεσθαι. ὁ δὲ ἕτερος ἀνεχώρησε κατ' ἰδίαν εἰς κέλλαν. χρόνου δὲ προκόψαντος

διορατικῷ ὄμματι λέγει τῷ ὑπηρετοῦντι αὐτῷ ὀνόματι Ἰσαὰμ, μικροῦ

τέρου δὲ προμένου πρεσβυτέρου εἰς τὸν τόπον τοῦ ἁγίου μακαρίου. πρεσ-

βυτερίου γὰρ ἠξιώθη ὁ μέγας μακάριος. ὅτι ἀκουσόμενος ἀδελφὲ Ἰσαὰμ ἢ

καὶ ἀνάσχου μοι τῆς νουθεσίας καὶ συνεργεῖ καὶ σοὶ ἔχει παρελθεῖν γάρ φησιν. καὶ

παρελθὼν τὸ πάθος τῆς φιλαργυρίας. οὕτως γὰρ ἐγὼ ἔσομαι ... καὶ οἶδα

ὅτι ἐὰν μου ἀναδέχῃ τῆς παρακλήσεως, τελείως θήσῃ ἐν τῷ ἔργῳ τοῦ θεοῦ·

ἐν τῷ τόπῳ τούτῳ καὶ δοξασθήσῃ καὶ ... οὐκ ἔτι ἐν τῷ σχήματι σου·

ἐὰν δέ μου παρακούσῃς τοῦ Γιεζῆ καὶ σὲ ἐπισχεῖ τὰ τέλη· οὐ καὶ τὸ πάθος νο-

σήσεις. ὥσπερ δὲ αὐτὸν τοῦ μὲν ἁγίου τοῦ παρακοῦσαι· μετ' αὐτὴν καὶ

μνήσιν τοῦ ἀββᾶ Ἀθανασίου μακαρίου. ὑπακούσαι δὲ τῷ τὸν ... φι-

λαργυρίᾳ προσανέθετο. καὶ μετ' ὀλίγον δὲ καὶ ὡς ἐν πέντε ἤ που εἴκοσι. οὐ

τοσοῦτον ἐλεφαντιάσει νοσήσας μόνος τὰ τῶν πτωχῶν. ὡς μὴ

εὑρεθῆναι ἐν τῷ σώματι αὐτοῦ ἄκαιρον τόπον ἐν ᾧ τις δάκτυλον πῆ-

ξαι. καὶ αὕτη τοίνυν ἐστὶν ἡ προφητεία τοῦ ἁγίου μακαρίου. περὶ μὲν οὖν

βρώσεως καὶ πόσεως. περὶ τῶν ἐστὶ καὶ τὸ διηγήσασθαι περὶ τούτων.

ὁ ποταπὸς οὐδὲ παρὰ τοῖς ῥαθυμοτέροις τῶν ἔξω μοναχῶν ἐστὶν εὑρεθῆναι

ἀδιαφορίαν ἢ ἀλλ' ἢν τιμῶν ἀδιαφορίαν. ἢ παρὰ τοῖς οὖσιν ἐν τοῖς τόποις

ἐκείνοις. καὶ διὰ τὴν ... ἀνὴρ τῶν χρειῶν καὶ διὰ τὸν κατὰ θεὸν ζῆλον. τῶν κα-

τοικούντων ἐκεῖ. ἀφ' ἑτέρων ἀλλήλοις ἕκαστον φιλονεικούντων. ὑπερβαίνειν

τὸν πλησίον ταῖς διαφόροις πολιτείαις. περὶ δὲ τῆς ἄλλης ἀσκήσεως

τοῦ ὁσίου ἀνδρὸς μακαρίου λέγεται. ἐλέγετο οὕτως ὅτι ἀδιαλείπτως ἐξίστα-

σθαι καὶ μᾶλλον τὸ πλεῖστον χρόνον πρὸς διατριβὴν θεοῦ. ἢ τοῖς ὑπὸ σῶμα

πράγμασι. οὗ καὶ διάφορα ἐφέροντο θαύματα. ἀνήρ τις Αἰγύ-

πτιος ἀστοῦ τινος ἐρασθεὶς γυναικὸς ἐλευθέρας ὑπάνδρου. καὶ μὴ δυνάμενος

αὐτὴν δελεάσαι διὰ τὴν σωφροσύνην ταύτης τῆς πρὸς τὸν σύνευνον

αὐτῆς ἀνδρείαν. προσωμίλησεν γόητι ὁ κακόζηλος λέγων αὐτῷ. ἢ ἐλέ-

γχον ταύτην ὥστε ἀγαπῆσαί με. ἢ ἐργάσαι τὴν τέχνην σου ἵνα ἀποστῇ ἀπ'

τὸν ὁ ἀνὴρ αὐτῆς. λαβὼν οὖν ὁ γόης τὸ ἱκανὸν παρ' αὐτοῦ. ἐχρήσατο

ταῖς παρ' ἑαυτοῦ γοητείαις καὶ μαγγανίαις. καὶ μὴ δυνηθεὶς αὐτῆς ἐκ τῆς

τὸμ μονῶν φησὶ τοῦ τοσούτου θεοῦ· παρεκβάλεν αὐτὴν ὡς φορβάδα φανῆναι τοῖς
αὐτοῖς θεωμένοις ἔξωθεν· τοίνυν ἐλθὼν ὁ ἀνὴρ αὐτῆς ἐν σχήματι φορβάδος·
τὴν ἑαυτοῦ γυναῖκα ἔβλεπεν· καὶ ἐπὶ τῆς ἑαυτοῦ κοίτης κατακλιθεῖσα· ἐξεμίζε
τὸ ὄπισθεν τὸν κέρατον αὐτοῦ φορβάδος ἀνέκαπτο· κλαίων οὖν ὁ ἀνὴρ αὐτῆς
καὶ ὀδυρόμενος μὴ ἀρέσκον τὸ πρᾶγμα· καὶ ὡς μονάζων ζῷον περισσομιλῶν· ἀπο-
κεῖσθαι ὡς οὐκ ἐπιτυχὼν ἐμὸν ὁρκιζομένην τῆς γυναικός· ἐπὶ τούτοις παρακα-
λέσας τοὺς πρεσβυτέρους τῆς κώμης εἰς τὸν οἶκον ἤγαγεν· καὶ δείκνυσιν ταύ-
την αὐτοῖς· οἱ δὲ ἰδόντες αὐτὴν συνῆκαν τὴν συμφορὰν τὴν καταλαβοῦσαν
αὐτούς· ἐπὶ τρεῖς τοίνυν ἡμέρας· οὔτε χόρτον μετέλαβεν ὡς φορβάς· οὔ-
τε ἄρτον ὡς ἄνθρωπος· ἀμφοτέρων ἐστερημένη τῶν τροφῶν· τέλος ἰμάδος
θεόθεν καὶ φανείσης ἀρετῆς τοῦ ἁγίου Μακαρίου· ἀνέβη ἐπὶ τὴν καρδίαν τοῦ ἀνδρὸς
αὐτῆς ἀγαγεῖν αὐτὴν εἰς τὴν ἔρημον πρὸς τὸν ὅσιον ἄνδρα· καὶ φορβεύσας
αὐτὴν ὡς ἵππον· οὕτως αὐτὴν ἤγαγεν εἰς τὴν ἔρημον· ἔνθα ὤκει ὁ τοῦ θεοῦ
ἄνθρωπος· ἐν δὲ τῷ εἰσιέναι αὐτοὺς ἱστήκησαν οἱ ἀδελφοὶ πλησίον τῆς κέλλης
τοῦ ἁγίου Μακαρίου ἀπομαχόμενοι τῷ ἀνδρὶ αὐτῆς καὶ λέγοντες· τί ἤγαγες
ὧδε τὴν φορβάδα ταύτην· ἀποκρίνεται λέγων αὐτοῖς· ἵνα ἐλεηθῇ τῇ
πρὸς ἀρχὴν τοῦ ἁγίου· οἱ δὲ πρὸς αὐτόν· τί γὰρ ἔχει κακόν· λέγει αὐτοῖς ἐκεῖνος·
ἣν ὁρᾶτε φορβάδα· αὕτη γυνή μου ἦν ἡ ἀθλία· καὶ οὐκ οἶδα πῶς μετεβλή-
θη εἰς ἵππον· καὶ σήμερον ἔχει τρίτην ἡμέραν μηδὲν ὡς γευσαμένη· οἱ δὲ
ἀκούσαντες ταῦτα· ἀναφέρουσιν τῷ θεράποντι τοῦ Χριστοῦ Μακαρίῳ· ἔν-
δον προσευχομένῳ περὶ αὐτῆς· ἀπεκαλύφθη γὰρ αὐτῷ ἀπὸ θεοῦ· ἀπερ-
χομένων αὐτῶν πρὸς αὐτόν· καὶ διὰ τοῦτο προσηύχετο ἀποκαλυφθῆναι τὴν αἰ-
τίαν δι' ἣν τοῦτο ἐγένετο· ἅπερ καὶ ἤκουσε μὲν τῇ προσευχῇ ὡς καὶ ἐγένετο·
ἀπεκρίνατο δὲ ὁ ἅγιος Μακάριος τοῖς ἀπαγγείλασιν αὐτῷ ἀδελφοῖς· ὅτι
φορβάδα τί ποτε ὧδε ἠγάγετε· λέγων αὐτοῖς· ὑμεῖς ἵπποι ἐστέ· οἱ τῶν ἵπ-
πων ἔχοντες τοὺς ὀφθαλμούς· ἐκείνη γὰρ γυνή ἐστιν ὡς καὶ ἐκτίσθη μὴ μετα-
σχηματισθεῖσα· ἀλλὰ μόνον τοῦτο φαινομένη τοῖς ὀφθαλμοῖς τῶν ἠπα-
τημένων· καὶ προσαχθείσης αὐτῷ ταύτης· εὐλογήσας ὕδωρ καὶ ἀπὸ κορυ-
φῆς ἐπιχέας αὐτὴν γυμνήν· ἐπηύξατο ἐπὶ τῇ ταύτης κεφαλῇ· καὶ παραχρῆ-
μα ἐποίησεν αὐτὴν πᾶσι τοῖς ὁρῶσι γυναῖκα φανῆναι· κελεύσας δὲ αὐ-

τὴν προσενεχθεῖσαν τροφάς· ἐποίησεν αὐτὴν φαγεῖν· καὶ οὕτως ἰασάμενος
αὐτὴν ἀπέλυσεν μετὰ τοῦ ἰδίου ἀνδρὸς εὐχαριστοῦσαν τῷ θεῷ· ὑπέθετο δὲ
αὐτῇ ὁ τοῦ θεοῦ ἅγιος ἄνθρωπος· μηδέποτε ἀπολειφθῇς τῆς ἐκκλησίας· μηδέ-
ποτε ἀποσχήσῃς τῆς κοινωνίας τῶν τοῦ Χριστοῦ μυστηρίων· ταῦτα γάρ σοι συνέ-
βη. τῷ ἐπὶ πέντε ἑβδομάσι μὴ προσεληλυθέναι σε τοῖς ἀχράντοις τοῖς
μυστηρίοις τοῦ σωτῆρος ἡμῶν. Ἄλλη αὐτοῦ πάλιν πρᾶξις· τῆς μεγάλης αὐτοῦ
ἀσκήσεως ἐν τῷ μακρῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ· ὑπὸ τὴν γῆν ποιήσας
σύριγγα ὀρύγματος ἀπὸ τῆς κέλλης αὐτοῦ ἐξιὼν ἀπῄει εἰς τὸ σπήλαιον·
μέχρι ἡμισταδίου εἰς τὸ ἄκρον ἀπετέλεσεν· καὶ εἴποτε πλῆθος ὤχλει αὐτῷ ὀ-
χλοῦν· κρυπτῶς ἐκ τῆς κέλλης αὐτοῦ ἐξιὼν ἀπῄει εἰς τὸ σπήλαιον καὶ οὐδεὶς
αὐτὸν ηὕρισκεν· διηγήσατο οὖν ἡμῖν εἷς τῶν σπουδαίων αὐτοῦ μαθητῶν
λέγων· ὅτι ἀπιὼν ἕως τοῦ σπηλαίου διὰ τῆς σύριγγος· εἰκοσιτέσσαρας ἐποί-
ει προσευχάς· καὶ ἐρχόμενος πάλιν τὰς αὐτάς· περὶ αὐτοῦ ἐξῆλθεν φήμη·
ὅτι καὶ νεκρὸν ἤγειρεν ἵνα αἱρετικὸν πείσῃ μὴ ὁμολογοῦντα ἀνάστασιν
εἶναι σωμάτων· καὶ αὕτη ἡ φήμη ἐκεκράτει περὶ αὐτοῦ ἐν τῇ ἐρήμῳ· τούτῳ
τῷ ἁγίῳ ἀνδρὶ προσηνέχθη ποτὲ νεανίσκος δαιμονιῶν παρὰ τῆς ἰδίας
μητρὸς ὀλοφυρομένης περὶ αὐτοῦ· δυσὶ νεανίσκοις δεδεμένος ἐξ ἑκα-
τέρων μερῶν· ὃς ταύτην τὴν ἐνέργειαν εἶχεν ὁ δαίμων· τελῶν μο-
δίων ἄρτους ἤσθιεν· καὶ ἔπινεν ἀμφορέα κιλικήσιον ὕδατος· ἀνα-
περευγόμενος εἰς ἀτμὸν ἀνέλυεν τὰ βρώματα· οὕτως γὰρ ἀνηλίσ-
κοντο τὰ βρωθέντα παρ' αὐτοῦ καὶ ποθέντα ὡς ἀπὸ πυρός· ἔστιν
δὲ καὶ τάγμα τῶν δαιμόνων τὸ λεγόμενον πύρινον· διαφοραὶ γάρ εἰ-
σι τῶν δαιμόνων· ὥσπερ καὶ τῶν ἀνθρώπων· οὐ κατ' οὐσίαν ἀλλασσομένης· ἀλ-
λὰ γνώμης ἀλλοιουμένης· οὗτος τοίνυν ὁ νεανίσκος μὴ ἐπαρκουμένων
παρὰ τῆς ἰδίας μητρός· πολλάκις τὴν ἰδίαν ἤσθιεν κόπρον· καὶ τὸ ἑαυ-
τοῦ ἔπινεν οὖρον· κλαιούσης οὖν τῆς μητρὸς αὐτοῦ καὶ σφόδρα ἀνιωμένης
ἐπὶ τῇ ἀπορρήτῳ συμφορᾷ τοῦ υἱοῦ αὐτῆς· καὶ πολλὰ παρακαλούσης
τὸν ἅγιον καὶ δεομένης· λαβὼν ἐκεῖνον ὁ ἀήττητος ἀθλητὴς τοῦ Χριστοῦ Μα-
κάριος· ἐπηύξατο αὐτῷ τὸν θεὸν ἱκετεύων· καὶ μετὰ μίαν καὶ δευτέραν ἡ-
μέραν· ὑπελώφησεν τοῦ δριμυτάτου πάθους ὁ δαίμων· λέγει οὖν τῇ

πέτη τῆς μητρὸς ὁ ἅγιος· πόσον θέλεις ἐσθίειν σου τὸν υἱόν· ἡ δὲ ἀπεκρίνατο
λέγουσα· δέομαι σου δέκα λυτρῶν κέλευσον ἄρτου· ἐπιτιμήσας δὲ αὐτῇ
σφοδρῶς· ὡς πολὺ ἀφηκυίας εἰπών· τί τοῦτο ἐπλεόνασας· καὶ ἐπευξάμενος
τὸν νεανίσκον ἑπτὰ ἡμέρας μετὰ νηστείας· καὶ ἐξελάσας ἀπ' αὐτοῦ τὸν ἀλά-
στορα δαίμονα τῆς πολυφαγίας· ἔστησεν αὐτοῦ τὴν δίαιταν τῆς τροφῆς
εἰς τρεῖς λίτρας ἄρτου· ὡς ὀφείλειν αὐτὸν ἐργαζόμενον τοῦτο ἐσθίειν· καὶ τοῦ
τοιούτου τεράστιου τῇ τοῦ θεοῦ χάριτι· καὶ τῇ θεοφόρῳ αὐτοῦ πολιτείᾳ ἀπο-
θεραπεύσας τὸν παῖδα· ἀπέδωκεν τῇ μητρί· ὁ πάσης δαιμονικῆς ἐνερ-
γείας· ἀντίπαλος τοῦ Χριστοῦ ἀθλητὴς μακάριος· τοιαῦτα παράδοξα
θαύματα· πεποίηκεν ὁ θεὸς δι' αὐτοῦ· ἑαυτοῦ γνησίου φίλου Μακαρίου· οὐκ ἠ-
θανάτου τυχεῖν· νῦν μετὰ ἀγγέλων ἐστίν· τὸ ἄλλο τοῦτο ἐγὼ οὐ συνέτυχον
καὶ πρὸ ἐνιαυτοῦ γὰρ τῆς εἰς τὴν ἔρημον ἐμῆς εἰσόδου· οὗτος ὁ πολέμιος
τῶν ἀλόγων παθῶν ἐκεκοίμητο· γ'

μα Τὸν δὲ ὁμολογητὴν τοῦτον τοῖς ἔργοις τῆς πίστεως· καὶ τὸν ὁμώνυμον τοῦ σεβασμί-
ου ὀνόματος· λέγω δὴ τὸν ἄλλον Μακάριον τὸν Ἀλεξανδρέα ὡς ἐτύχηκα· πρεσ-
βύτερον ὄντι τῶν λεγομένων κελλίων· εἰς ἃ κελλία ἐγὼ παρῴκησα ἐννέα
ἔτη· ἐν οἷς τελευτήσαντι μοι ἐπέζησεν ὁ μακάριος οὗτος καθεζόμενος ἐν ἡσυχίᾳ
καὶ τὰ μὲν ὁρώμενα ἐγὼ παρ' αὐτοῦ τῆς ἀρίστης αὐτοῦ πολιτείας ἔργα ἐπεσημηνάμην
τὰ δὲ παρὰ τῶν τούτων συμβιωσάντων μεμάθηκα· τὰ δὲ καὶ παρ' ἑτέ-
ρων πλειόνων ἀκήκοα· ἡ μὲν οὖν ἄσκησις τοῦ μεγάλου Μακαρίου ἣν ἐγὼ
καὶ πολλοὶ παρ' αὐτὰ ἠκριβώσαμεν· ἦν αὕτη· εἴ ποτε ἀκήκοεν πώποτέ τι-
να πεποιηκότα ἔργον ἀσκήσεως· διὰ πρὸς πᾶν τὸ τοιοῦτο κατορθῶ-
σαι· ἀκούσας οὖν παρά τινων· ὅτι οἱ ταβεννησιῶται δι' ὅλης τῆς τεσ-
σαρακοστῆς ἐσθίουσιν ἄπυρον· ἔκρινεν οὗτος ὁ ἅγιος ἑπτὰ ἔτη διὰ πυ-
ρὸς διερχόμενον μὴ φαγεῖν· πλὴν λαχάνων ὠμῶν εἰ εὑρεθείη ἐν ἐκείνοις τοῖς ἑ-
πτὰ ἔτεσιν· κατορθώσας οὖν τοῦτο κατέπαυσεν ταύτης τῆς πολιτείας
ἤκουσεν δὲ περί τινος ἄλλου· οὗτος ὁ ἄριστος ὢν τῶν μοναχῶν· ὅτι λίτραν του
λύτρα ἐσθίει· καὶ τοῦτον ζηλώσας· κλάσας τὸ βουκέλλατον ὅπερ ἔχειν· καὶ
τῇ γαστρὶ εἰς κεράμιον· κρίνας τοσοῦτον ἐσθίειν ὅσον ἂν ἡ χεὶρ αὐτοῦ ἀνε-
νέγκῃ· μεγάλη δὲ καὶ αὕτη τοῦ σώματος σκληραγωγία· διηγεῖτο γὰρ ἡμῖν

χαριεντιζόμενος· ὅτι περιεδρασσόμην μὲν πλειόνων κλασμάτων· οὐ συ-
νεχώρουν μηδὲ ἐξενεγκεῖν ὑπὸ τοῦ στενοῦ τῆς ὀπῆς· ὁ τελώνης γάρ μοι
οὐ συνεχώρει φησὶν τὸ παντελὲς μὴ ἐσθίειν· ἐπὶ ὅλα οὖν ὡς τρία ἔτη ταύ-
την ἤσκησεν τὴν ἐγκράτειαν· τέσσαρας ἢ πέντε οὐγκίας ἐσθίων· καὶ τὸ ἀν-
τίρροπον τούτων πίνων ὕδατος· ξέστην δὲ ἐλαίου εἰς τὸν ἐνιαυτὸν ἀναλῶν
εἰς τροφήν· ἀλλ' ἡ ἄσκησις τοῦ ἀθλητοῦ· ἐκρινε μόνος ὁ ἀδάμας· ὕπνου πε-
ριγενέσθαι καὶ τοῦτο αὐτὸς διηγήσατο· ὅτι οὐκ εἰσῆλθον ὑπὸ στέγην· ἐν ὅ-
λοις εἴκοσι νυχθημέροις ἵνα νικήσω ὕπνον· τοῖς μὲν καύμασι φλεγό-
μενος τὴν ἡμέραν· τῇ δὲ νυκτὶ περιμένων φθειρόμενος τῷ ψύχει· καὶ
ἔλεγεν οὕτως· ὅτι εἰ μὴ τάχιον ὑπὸ στέγην εἰσῆλθον· καὶ ἐχόρτασα μὴν ὕπνῳ·
οὕτω μου ἐξηράνθη ὁ ἐγκέφαλος· ὡς εἰς ἔκστασιν μέλλειν ἑλκύσαι λοιπόν·
τὸ ὅσον μὲν ἐμοί φησιν, ἐνίκησα ὕπνον· τὸ δὲ ὅσον ἐπὶ τῇ φύσει τῇ
χρείαν ἐχούσῃ τοῦ ὕπνου· παρεχώρησα ταύτῃ· τοῦ ἄλλου τοῦ καθεζο-
μένου ὑπὸ πρωῒ ἐν τῷ κελλίῳ· κώνωψ στὰς ἐπὶ τοῦ ποδὸς αὐτοῦ ἐκέντησ-
ἀλγήσας δὲ κατέαξεν αὐτὸν τῇ χειρὶ μετὰ τὸ κορεσθῆναι τοῦ αἵματος·
καταγνοὺς οὖν ὥσπερ ἑαυτοῦ, ὡς ἑαυτὸν ἐκδικήσαντα· καταδικά-
ζει ἑαυτόν· ὥστε εἰς τὸ ἕλος τῆς Σκήτεως ὅ ἐστιν ἐν τῇ πανερήμῳ καθεσθῆ-
ναι γυμνὸν ἐπὶ μῆνας ἕξ· ἔνθα οἱ κώνωπες διώλλυνται· καὶ συάγρων δέρμα-
τα πέρα· ὡς σφῆκες ὄντες μεγάλοι· οὕτως ὅλος ὑπ' αὐτῶν κατεπρήσθη
ὡς καὶ σφοδρῶς ὅλως ἐξενεγκεῖν καθ' ὅλου τοῦ σώματος· ὡς καί τινα νομίσαι
ὅτι ἐλεφαντιᾷ ἐστιν· ἐπανελθὼν οὖν εἰς τὸ κελλίον αὐτοῦ μετὰ τοὺς ἓξ μῆνας
ἀπὸ τῆς φωνῆς ἐγνωρίζετο μόνον· ὅτι οὗτός ἐστι Μακάριος· ἐπεθύ-
μησεν ποτὲ οὗτος αὐτὸς ὡς αὐτὸς ἡμῖν διηγήσατο· εἰς τὸ κηποτάφιον εἰσ-
ελθεῖν· Ἰαννοῦ καὶ Ἰαμβροῦ τῶν μάγων τῶν ἐπὶ Φαραώ· χάριν ἱστο-
ρίας καὶ συντυχίας τῶν ἐκεῖσε δαιμόνων· ἐλέγετο γὰρ πάνυ πολλοὺς καὶ
χαλεποὺς ἀποκεκλεῖσθαι παρ' αὐτῶν ἐκεῖ μόνον τῷ τόπῳ δαίμονας δι' ὑπερ-
βολὴν τῆς αὐτῶν τέχνης αὐτῶν· τοῦτο δὲ τὸ κηποτάφιον γεγόνει π-
ρὸ τοῦ Ἰαννῆ καὶ Ἰαμβρῆ τῶν ἀδελφῶν δι' ὑπερβολὴν μαγικῆς τέχνης· τὰ
πρωτεῖα ἐχόντων κατ' ἐκεῖνον καιρὸν παρὰ τῷ Φαραώ· ὡς οὖν κεκτημέ-
νοι τὴν δυναστείαν τὴν ἐν Αἰγύπτῳ ἐν τῷ τῆς ζωῆς αὐτῶν χρόνῳ·

ἐκ τε τῶν ἀποδόμων λίθων ἔκτισαν τὸ ἔργον ἐκείνων· ἐμαυτοῦ τῶν μνήμα-
τι πεποιηκότων καὶ χρυσὸν πολὺ ἀποθέμενοι· ἐφύτευσαν δὲ καὶ δένδρα
σαν τινα· καὶ φρέαρ ὕδατος μέγιστον ὤρυξαν· ὑπήκοος τ' ἀρέτι μὸ τότε
ταῦτα δὲ πάντα ἐποίησαν· ἐλπίζοντες μετὰ τὴν ἐμὴν ἐντεῦθεν ἐκάστου
φίξιν ἐν τούτῳ τῷ παραδείσῳ τρυφᾶν· τέλος τοίνυν ὕμνων τὴν ὁδὸν
τὴν ἀπάγουσαν ἐπὶ τοῦτον τὸν κῆπον· ὁ τοῦ Χριστοῦ δοῦλος μακάριος· φυ-
χας μου μόνῳ ἠκολούθη τοῖς ἄστροις· καθάπερ μαντικοὶ διαβαίνον-
τες ταῦτα ἐπελύθη· οὗτος, οὗτος ὁ ἄλλος τὴν ἔρημον πᾶσαν διώδευσεν· ἐλά-
βων δὲ μὲν καλάμων· ἐν ᾧ κατὰ μίλιον ἵστα χάριν σημάδου· ἵνα δι᾽
δι' αὐτῆς ὑποστρέψαι· διοδεύσας οὖν ἐκείνην τὴν ἔρημον πᾶσαν εὗ-
ρεν δρομέων ἐν μέσῳ· καὶ γενόμενος πλησίον τοῦ κήπου ἐκείνου· ἐπεὶ κατα-
βούσης νυκτὸς· μικρὸν ἐκαθεύδησεν· ὁ οὖν ἄγγελος δαιμόνων ὁ ἀποστάτης
ἀθληταῖς τοῦ Χριστοῦ ἀντιπεράτων· συναγαγὼν ὅλους τοὺς καλάμους ἐκεί-
νους τοῦ μακαρίου καθεύδοντος ὡς ἀπὸ σημάδου ἐμὸς τοῦ κηποταφίου
πρὸς τῇ κεφαλῇ αὐτοῦ τέθεικας ἀπήλλαγα· ἀναστὰς οὖν εὗρεν τοὺς
καλάμους οὖν δεδεμένους· οὓς αὐτὸς χάριν σημάδου κατέπηξεν·
ταχὺ δὲ ἐκ τῆς τοῦ θεοῦ συγχωρήσαντος ἐγὼ μάζομαι τὴν γυμνασίαν·
ἵνα μὴ καλάμοις ἐλπίζῃ ὁδηγοῖς ἡμᾶς αὐτοῦ· ἀλλὰ τῇ χάριτι τοῦ θεοῦ τοῦ
διὰ στύλου νεφέλης ὁδηγήσαντος τὸν Ἰσραὴλ τεσσαράκοντα ἔτη· ἐν τῇ
φοβερᾷ ἐρήμῳ ἐκείνῃ· ἔλεγεν δὲ ὁ ἄλλος· ὅτι ἐκένωσαν τότε με μόνον
ἐν τῷ κηποταφίῳ· ἀπ' αὐτοῦ ἐξῆλθον πρὸς τὴν αὐτὴν σὺν ἐμοὶ ὡς ἀδο-
μήκοντα δαιμόνων· παντοίῳ σχήματι· οἱ μὲν βοῶντες· οἱ δὲ
πηδῶντες· οἱ δὲ μετὰ μεγάλου βρυγμοῦ τρίζοντες κατ' ἐμοῦ τοῖς ὀδοῦ-
σι· ἕτεροι δὲ ὡς κόρακες περιπτυσσόμενοι ἐτόλμων κατὰ τῆς ὄψε-
ως μου λεγόντων· τί θέλεις μακάριε πρὸς ἡμᾶς μετὰ τῶν μοναχῶν· τί
πρὸς ἡμᾶς παρεγένου· μὴ καὶ ἡμᾶς θέλεις ποιῆσαι τοὺς μοναχοὺς ἐν μνήμη
σαμεν ταῖς ἡμέραις· ἔχεις ἐκ κάμε μετὰ τῶν ἰδίων ὁμοίων τὴν ἔρημον· καθ-
κάθεν τοῦ συγγενοῦς ἡμῶν ἐξεδιώξατε· οὐδὲ κοινὸν ἡμᾶς ἔχομεν με-
τὰ σοῦ· τί ἐπιβαίνεις ἡμῶν τοῖς τόποις· ὡς ἀναχωρητὴς ἄρχεις
θηπιτὴν ἔρημον· ἡμεῖς τοῦτον τὸν τόπον οἰκίσαντες ἀπεκληρώ-

σαν· οὐ δυνάμενοι αὐτὸν μιᾶναι ἐνθάδε· τί ζητεῖς εἰσελθεῖν εἰς τὸ κτίσμα ἡμῶν· ἔφη ὁ
οὐδεὶς τῶν ἁγίων τῶν ζώντων εἰσῆλθεν· ἀφ᾽ οὗπερ οἱ τοῦτο κτίσαντες ἀδελ
φοὶ ὑφ᾽ ἡμῶν ἐνθάδε κατεκηδεύθησαν· καὶ ἔτι πολλὰ τῶν δαιμόνων παρα
πομένων καὶ ὀλοφυρομένων· εἶπεν αὐτοῖς φησὶν ὁ μακάριος· ὅτι εἰσελθὼν
μόνον καὶ ἱστορίσας καὶ ἀπέρχομαι ἐντεῦθεν· οἱ δὲ δαίμονες· τοῦτο ἡμῖν ὁ
μολόγησον ἐπὶ τῆς συνειδήσεως· ὁ δὲ τοῦ Χριστοῦ δοῦλος τοῦτο ποιήσας· οἱ δὲ δαί
μονες ἄφαντοι γεγόνασιν· εἰσελθὼν οὖν φησιν ἐθεασάμην πάντα·
ἐν οἷς εἶδον καὶ κάδον χαλκοῦν ἁλύσει σιδηρᾷ κρεμάμενον κατὰ τοῦ
φρέατος λοιπὸν τῷ χρόνῳ ἀναλωθέντα· καὶ καρπὸν ῥοῶν οὐκ ἔχου
σῶν ἔνδον οὐδὲν ἐξηραμμένον τὸ γὰρ αὐτῶν ἡλίου· ἀτάραχος οὖν ἐκεῖθεν ἀνα
χωρήσας ὁ ἅγιος· διὰ εἴκοσιν ἡμερῶν ὑπέστρεψεν εἰς τὰς ἑαυτοῦ κέλλας·
ἐκλιπόντων δὲ τῶν ἄρτων καὶ τοῦ ὕδατος οὗ ἐπεφέρετο· ἐν πολλῇ στενώ
σει ἐγένετο· ἐν γὰρ ταῖς ἡμέραις ἐκείναις ὁδεύων τὴν ἔρημον σχεδὸν οὐ
δόλως ἐγεύσατο· ὡς δὲ τὸ πρᾶγμα ἔδοξεν ταλαίπωρος καὶ ὑπομονὴν ἐπερ
γάζετο· καὶ ὡς ἔτι μέλλειν ἔπεσεν κλάσαι· ὤφθη αὐτῷ τις ἐν σχήματι κόρης
ὡς αὐτὸς διηγήσατο· καθαρὰν ὀθόνην φοροῦσα· καὶ κατέχουσα βαυκά
λιον ὕδατος στάζον· ἦν δὲ λέγει ὁ μακάριος ἀπὸ μήκοθεν αὐτοῦ ἡμισυ ὡς
ἀπὸ σταδίου· καὶ ἐπὶ ἡμέρας τρεῖς ὁδεύσας βλέπων αὐτὴν μετὰ τοῦ
βαυκαλίου ὥσπερ ἑστῶσαν καὶ τοῦτον προσκαλουμένην· καταλαβεῖν δὲ τού
την ταύτην μὴ δυνάμενον· ὥσπερ ἐπὶ τῶν ἱερέων καὶ τῶν μυστηρίων ἔστιν
ἰδεῖν· τῇ δὲ ἐλπίδι τοῦ πιεῖν· τὸν κάματον τῶν τελευταίων ἡμερῶν ὑπο
μείναντος τῇ εὐτονίᾳ· μετὰ δὲ ταῦτα ἐφάνη πλῆθος βουβάλων ἐξ ὧν μία
ἔχουσα μόσχον ἔστη κατέναντι τοῦ μοναχοῦ· εἰσὶν γὰρ πολλαὶ ἐν τοῖς τόποις
ἐκείνοις· καὶ ὡς ἔλεγεν ὁ μακάριος ὅτι ἔρρει αὐτῆς τὸ οὖθαρ τοῦ γάλακτος· ὑ
πελθὼν οὖν ἐγώ φησιν ὑπ᾽ αὐτὴν καὶ θηλάσας ἠρκέσθην· ἵνα δὲ ἐπὶ
πλεῖον δείξῃ τὴν αὐτοῦ χάριν ὁ κύριος· παιδεύων τὴν ἐμὴν ὀλιγότητα·
κελεύει τὴν βούβαλον ἕως τῆς κέλλης ἀκολουθῆσαί μοι· ἡ δὲ τῷ περ
ιττώματι ἀπαρχήσασα· ἠκολούθησέ μου μὲν θηλάζοντι αὐτήν· τὴν δὲ
μόσχον αὐτῆς μὴ δεχομένη· ἄλλοτε πάλιν ὀρύσσων φρέαρ ὁ ἐ
μαρτυροῦντος· ἕως ἀναπαύσειν μοναχῶν· τὸ δὲ ἦν πλησίον θρύων καὶ φρυ

γάμον μὲν καταλείπομεν· ὑπὸ ἀσπίδος ἐδήχθη, ἀναιρετικὸν δὲ ἔχει ἰὸν τὸ τοιοῦτον
ον· δραξάμενος οὖν τῆς ἀσπίδος ὅλος ταῖς ἀμφοτέραις χερσὶν ἀπὸ τῶν
αὐτῆς χειλέων μίαν· ταύτην διέρρηξεν εἰπὼν πρὸς αὐτήν· μὴ ἀποσταλέν-
τος σε τοῦ κυρίου μου πῶς ἐτόλμησας σὺ ἐλθεῖν πρός με· οὗτος εἶχεν διαφόρους κέλλας
ἐν τῇ ἐρήμῳ ἐν αἷς τοῖς ἄθλοις τῆς ἀρετῆς ἐξηργάζετο· μίαν μὲν ἐν τῇ Σκήτει ἐν
τῇ πανερήμῳ τῇ ἐνδοτέρᾳ· μίαν δὲ εἰς Λίβυν· μίαν δὲ εἰς τὰ λεγόμενα Κελλία·
μίαν δὲ εἰς τὸ ὄρος τῆς Νιτρίας· καί τινες μὲν εἰσὶν ἀθυρίδωτοι εἰς ἃς ἐλέγετο καθ-
έζεσθαι ὁ μακάριος ἐν τῇ τεσσαρακοστῇ ἐν σκοτίᾳ· ἡ δὲ ἄλλη κέλλα στενωτέρα
τῇ παρὰ ἣν ὑπῆρχεν· εἰς ἣν ἐκτεῖναι τοὺς πόδας οὐκ ἦν· ἡ δὲ τρίτη κέλλα ἦν
πλατυτέρα· ἐν ᾗ καὶ συνετύγχανεν τοῖς πρὸς αὐτὸν φοιτῶσιν· οὗτος ὁ φι-
λόθεος· τοσοῦτον πλῆθος ἐθεράπευσε δαιμονιζομένων· ὡς μὴ ὑπ' ἀριθμὸν ὑ-
ποβάλλεσθαι τούτους· παρόντων δὲ ἡμῶν περὶ τὸν τόπον ὅσιον ἄνδρα
παρθένος τις φορεῖ δημεκομίσθη ἀπὸ Θεσσαλονίκης ἐν ὡραίας τῆς Ἀχα-
ΐας· πλουσία ἐν τοῖς βίοις πολλοῖς ἔτεσιν ἔχουσα ἐν παραλύσει· καὶ τοῦτον
προσενεχθεῖσα· ἔρριψαν πλησίον τῆς αὐτοῦ κέλλης· ὃς ἰδὼν σπλαγχνισθεὶς
καὶ ἐπευξάμενος ἐλαίῳ τε ἁγίῳ ἀλείφων αὐτὴν ταῖς ἑαυτοῦ χερσὶν· καὶ συνεχῶς
μᾶλλον δὲ μονομερῶς ὑπὲρ αὐτῆς προσευχόμενος ἐν εἴκοσι ὅλαις ἡμέραις
ταύτην ἡ γυνὴ εἰς τὴν ἑαυτῆς ἐξαπέστειλεν πόλιν· ἥτις τοῖς ἰδίοις ποσὶν
ἀπελθοῦσα· πολλὴν καρποφορίαν ἀπέστειλεν τοῖς ἁγίοις·
με Τοῦτος οὗτος ἀκούσας ὁ μακάριος· ὅτι μεγάλην ἔχουσι πολιτείαν οἱ Ταβεννη-
σιῶται· μεταμφιασάμενος καὶ λαβὼν σχῆμα ἐργάτου· διὰ πεντεκαί-
δεκα ἡμερῶν ἀνῆλθεν εἰς τὴν Θηβαΐδα διὰ τῆς ἐρήμου ὁδεύσας· καὶ ἐλ-
θὼν ἐν τῷ ἀσκητηρίῳ τῶν Ταβεννησιωτῶν· ἐπεζήτει τὸν ἀρχιμαν-
δρίτην αὐτῶν Παχώμιον ὀνόματι· ἄνδρα δοκιμώτατον καὶ χά-
ρισμα ἔχοντα προφητικόν· ᾧ ἀπεκρίθη τότε τῷ ἁγίῳ ἐκείνῳ τὰ
κατὰ τὸν μέγαν Μακάριον· περιτυχὼν οὖν αὐτῷ λέγει αὐτῷ ὁ μακάρι-
ος· δέομαί σου κύριε δέξαι με εἰς τὴν μονήν σου· λέγει αὐτῷ ὁ μέγας Παχώ-
μιος· λοιπὸν εἰς γῆρας ἤλασας· ἀσκεῖν οὐ δύνασαι· ἀδελφοί εἰσιν
ἀπὸ νεότητος ἀσκήσαντες· καὶ τοῖς πόνοις ἀνατραφέντες καὶ φέρουσι
τὸν κάματον· σὺ δὲ ἐν ταύτῃ τῇ ἡλικίᾳ οὐ δύνασαι ἐνεγκεῖν τοὺς π(ειρασμούς)

ἀσκήσεως τῶν ἀδελφῶν μου· καὶ σκανδαλισθεὶς ἐξέρχῃ καὶ κακολογεῖς ἡμᾶς·
καὶ οὐκ ἐδέξατο αὐτὸν οὔτε τὴν πρώτην ἡμέραν οὔτε τὴν δευτέραν μέ-
χρις ἡμερῶν ἑπτά· ὅτε δὲ ἐκαρτέρει παραμένων νῆστις· ὕστερον δὲ
λέγει αὐτῷ ὁ μέγας γέρων Μακάριος· δέξαι με ἀββᾶ· καὶ ἐὰν μὴ νηστεύσω
κατ' αὐτοὺς καὶ ἐργάζομαι ὡς ἐργάζονται· τότε κέλευσόν με ἐκριφῆναι τῆς μονῆς·
πείθει δὲ τοὺς ἀδελφοὺς ὁ μέγας Παχώμιος δέξασθαι αὐτόν· ἔστιν δὲ τὸ
σύστημα τῆς μονῆς ἐκείνης χίλιοι τετρακόσιοι ἄνδρες μέχρι τὴν σήμερον·
εἰσῆλθεν δὲ εἰς αὐτὴν ὁ μέγας Μακάριος· παρελθόντος δὲ χρόνου ὀλίγου· ἐπέ-
στη ἡ τεσσαρακοστή· καὶ εἶδεν ὁ γέρων Μακάριος ἕκαστον διαφόροις πολιτείαις
ἀναλαβόντας· τὸν μὲν ἐσθίοντα ἑσπέρας· τὸν δὲ διὰ δύο· τὸν δὲ δι-
ὰ πέντε· ἄλλον πάλιν ἑστῶτα δι' ὅλης νυκτός· τὴν δὲ ἡμέραν καθή-
μενον εἰς ἔργον· οὗτος δὲ βρέξας θαλλοὺς τοὺς ἐκ φοινίκων εἰς πλῆθος·
ἔστη ἐν μιᾷ γωνίᾳ· καὶ μέχρις οὗ αἱ τεσσαράκοντα ἡμέραι ἐπληρώθησαν
καὶ τὸ πάσχα παραγέγονεν· οὐκ ἄρτου μετέλαβεν· οὐδὲ ὕδατος· ἢ κάτω τὸ
γόνυ ἔκαμψεν· οὐκ ἐκαθέσθη· οὐκ ἀνέπεσεν· οὐδενὸς ἄλλου ἐγεύσατο πα-
ρεκτὸς φύλλων κράμβης ὠμῶν· ὧν μετελάμβανεν κατὰ κυριακήν· ἵνα
δόξῃ ἐσθίειν καὶ μὴ εἰς οἴησιν ἐμπέσῃ· καὶ εἴ ποτε ἐξέβαινεν εἰς τὴν χρείαν
αὐτοῦ· θᾶττον εἰσιὼν ἵστατο εἰς τὸ ἔργον χερῶν μὴ ἀνοίγων τὸ στόμα· μὴ λα-
λήσας ἢ μικρὸν ἢ μέγα, ἀλλ' ἑστὼς ἐσιώπα· μηδὲν ἄλλο ποιῶν παρεκτὸς
τῆς ἐν καρδίᾳ προσευχῆς καὶ τῶν θαλλῶν ὧν εἶχεν ἐν ταῖς χερσίν· θεα-
σάμενοι δὲ τοῦτον πάντες οἱ ἀσκηταὶ τῆς μονῆς ἐκείνης· ἐστασία-
σαν κατὰ τοῦ ἡγουμένου αὐτῶν λέγοντες· πόθεν ἡμῖν ἤγαγες τὸν ἄσαρκον
τοῦτον ἄνθρωπον· εἰς ἡμετέραν κατάκρισιν· ἢ ἔκβαλε τοῦτον ἐντεῦθεν·
ἢ εἰ δὲ μή, ἔχεις ὅτι πάντες ἡμεῖς ἀναχωροῦμεν σήμερον· ἀ-
κούσας δὲ ταῦτα ὁ μέγας Παχώμιος παρὰ τῶν ἀδελφῶν· ἠρώτησε
τὰ κατ' αὐτόν· καὶ μαθὼν τὰ παρ' αὐτῆς αὐτοῦ πολιτείας· προσηύξατο τῷ
θεῷ ἵνα αὐτῷ ἀποκαλυφθῇ τίς ἐστιν οὗτος· ἀπεκαλύφθη δὲ αὐτῷ· ὅτι
οὗτός ἐστιν Μακάριος ὁ μοναχός· τότε κρατήσας αὐτοῦ τὴν χεῖρα ὁ κύριος Παχώ-
μιος καὶ ἐξάγει αὐτὸν ἔξω· καὶ εἰσαγαγὼν αὐτὸν εἰς τὸ εὐκτήριον οἶκον ἔνθα
ἀνέκειτο αὐτῶν τὸ θυσιαστήριον· καὶ ἀσπασάμενος αὐτὸν λέγει αὐτῷ

δεῦρο καλόγηρε· σὺ εἶ Μακάριος καὶ ἀπέκρυψας ἀπ' ἐμοῦ· ἐκ πολλῶν σε ἐτῶν
ἐπεπόθουν ἰδεῖν· ἀκούων τὰ περὶ σοῦ· χάριν σοι ἔχω ὅτι ἐκονδύλισας τὰ
παιδία μου ἵνα μὴ μέγα φρονῶσιν ἐπὶ τῇ ἑαυτῶν ἀσκήσει· παρακαλῶ
σε ἄπελθε εἰς τὸν τόπον σου· αὐτάρκως γὰρ ᾠκοδόμησας ἡμᾶς καὶ εὔχου ὑπὲ-
ρ ἡμῶν· τότε δεξιωθεὶς ὑπ' αὐτῶν δεηθέντων αὐτοῦ καὶ πάντων τῶν ἀδελφῶν
ἀνεχώρησεν. ἄλλοτε πάλιν διηγεῖτο ἡμῖν οὗτος ὁ ἅγιος πατήρ· ὅτι πᾶσαν
πολιτείαν ἀσκητικὴν ἣν ἐπεθύμησα κατώρθωσα· τότε δὲ ἄλλην ἐπεθύμη-
σα ἦλθον πνευματικήν· ἐμοῖς ἐκείνοις ἀποτελέσαι τὴν τῶν ἔργων ἐπιθυμίαν ἐλ-
θεῖν· ἠθέλησα φησὶν ποτὲ ἡμέρας πέντε μόνον τὸν νοῦν μου ἀπὸ τοῦ θεοῦ ἀπερίσ-
πασ(τ)ον ποιῆσαι· καὶ μηδὲν ἄλλο τι ἐννοῆσαι· ἀλλ' ἐκεῖ μόνῳ προσανασχεῖν
καὶ τοῦτο κρίνας ἐν ἑαυτῷ· ἀπέκλεισά μου τὴν κέλλαν· καὶ ἔξωθεν τὴν αὐλήν·
ὥστε μὴ δοῦναι ἀνθρώπῳ ἐλθόντι ἀπόκρισιν· καὶ ἔστην ἀρξάμενος ἀπὸ δευτέρας·
παρήγγειλά μου τῷ νοῒ καὶ εἶπον αὐτῷ· βλέπε μὴ κατέλθῃς ἐκ τῶν οὐρα-
νῶν· ἔχεις ἐκεῖ ἀγγέλους ἀρχαγγέλους τὰς ἄνω πάσας δυνάμεις· τὰ χε-
ρουβὶμ καὶ τὰ σεραφὶμ τὸν θεὸν τῶν ἁπάντων τὸν τούτων ποιητήν· ἐκεῖ
διάτριβε· μὴ κατέλθῃς ὑποκάτω τοῦ οὐρανοῦ· μὴ ἐμπέσῃς εἰς λογισμοὺς
ψυχικούς· καὶ διαρκέσας φησὶν ἡμέρας δύο καὶ νύκτας οὕτως παρώξυνα
τὸν δαίμονα· ὡς φλόγα πυρὸς γενέσθαι τοῦ πυρός· καὶ κατακαῦσαί μου πάντα
ἐν τῷ κελλίῳ· ὡς καὶ τὸν ψίαθον ἐφ' οὗ ἵστατο κατακαῆναι φλεχθῆναι· καὶ οὕτω νομί-
σαί με· ὅτι κἀγὼ ὅλος ἐμπίπραμαι· τέλος πληγεὶς ἐγὼ τῷ φόβῳ ἀ-
πέστην τῆς προθέσεως ταύτης τῇ τρίτῃ ἡμέρᾳ· μὴ καὶ δυνηθεὶς
λοιπόν· ἀπερίσπαστόν μου ποιῆσαι τὸν νοῦν· ἀλλὰ κατῆλθον εἰς θεωρίαν
αν τοῦ κόσμου τούτου· ἵνα μὴ γένη μοι τοῦτο λογισθῆναι εἰς τῦφον· τοῦτον τὸν
πνευματικοῖς λοιπῶν ἀδελφῶν τοῦ μεγάλου Μακαρίου· παρέβαλον ἐγὼ καὶ ἄλλοι
ἔξω τῆς κέλλης αὐτοῦ πρεσβύτερον κώμης τινὸς κατακείμενον· οὗ ἡ κε-
φαλὴ πᾶσα ἐβεβρώθη ὑπὸ τοῦ πάθους τοῦ λεγομένου καρκίνου· ὡς καὶ
τὸ ὀστοῦν ἀπὸ τῆς κεφαλῆς φαίνεσθαι ἅπαν· οὗτος παρεγένετο πρὸς
αὐτὸν ἰαθῆναι· καὶ οὐκ ἐδέχετο τοῦτον εἰς συντυχίαν· παρακαλέσας αὐτὸν
ποιμῶν ἐγὼ λέγω· δέομαί σου κατοικτήρισον τοῦτον τὸν ἄθλιον, καὶ δὸς
αὐτῷ κἂν ἀπόκρισιν· καὶ αὐτὸς ἀποκριθεὶς λέγει μοι· ὅτι ἀνάξιός ἐστιν

τοῦ ἰαθῆναι· παιδίον γὰρ αὐτοῦ αὐτῇ ἀπεστάλη· ἦλθε δὲ ἐλθεῖν αὐτὸν ἰαθῆναι·
ποιήσομαι αὐτὸν ἀποστῆναι τῆς λειτουργίας τῶν μυστηρίων· ἐγὼ δὲ λέ-
γω αὐτῷ διατί δέομαί σου; λέγει μοι· πορνεύσας ἐλειτούργησα· καὶ διὰ τοῦτο παι-
δίον ἔπεμψαν· ἐὰν οὖν ἀπὸ τοῦ φόβου οὐ καταφέρων οὐκ ἀπετόλμη-
σεν· ὁ θεὸς αὐτὸν ἰᾶται· εἶπον οὖν ἐγὼ πάντως τῷ κακουμένῳ· ὁ δὲ ἔσω ἐ-
θεο ὀμόσας ἐπὶ θεοῦ μηκέτι ἱερατεῦσαι· καὶ τότε τοῦτον ἐδέξατο καὶ λέγει
αὐτῷ· πιστεύεις ὅτι ἐστὶν ὁ θεὸς ὃν οὐ λανθάνεις; ἀποκρίνεται ἐκεῖνος· ναὶ
δέομαί σου· εἶτα λέγει αὐτῷ ὁ μακάριος· μὴ ἠδυνήθης διαπαῖξαι τὸν θεόν;
λέγει ἐκεῖνος· οὐκ ἠδυνήθην κύριέ μου· λέγει αὐτῷ ὁ μέγας μακάριος· εἰ
γνωρίζεις οὖν τὴν ἁμαρτίαν σου καὶ τὴν τοῦ θεοῦ παιδείαν δι᾽ ἣν ταῦτα ὑπέ-
στης· διόρθωσαι λοιπὸν ἐκ τοῦ ἐξῆς· καὶ ἐξομολογήσατο τὴν ἁμαρτίαν· καὶ ἔδωκεν
λόγον τοῦ μηκέτι ἁμαρτῆσαι μήτε λειτουργῆσαι τῷ θυσιαστηρίῳ· ἀλλὰ
τὸν λαϊκὸν ἀσπάσασθαι κλῆρον· εὐθέως ἐπέθηκεν αὐτῷ χεῖρας ὁ ἅγιος
καὶ ἐν ὀλίγαις ἡμέραις ἰάθη καὶ ἐπερρώσθη· καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ ὑγι-
ὴς· δοξάζων τὸν θεὸν καὶ εὐχαριστῶν δὲ καὶ τῷ μεγάλῳ· ἐπὶ ἐκείνην πόλιν
ἐμαῖς· προσηνέχθη τῷ πνευματικῷ· καὶ παρὰ τῶν τῶν ἀλόγων παθῶν
πρὸς τὸν ἅγιον μακάριον· παιδαρίσκος ἐνεργούμενος ὑπὸ πνεύματος πονηροῦ·
ἐπιθεὶς δὲ αὐτοῦ τὴν δεξιὰν ἐπὶ τῆς κεφαλῆς καὶ τὴν εὐώνυμον ἐπὶ τὴν καρδίαν
ἐπὶ τοσοῦτον ὁ ἅγιος οὕτως ἐπηύξατο· ἕως αὐτὸν ἀπὸ ἀέρος ἐποίησε κρε-
μασθῆναι· οἰδήσας οὖν ὁ παῖς ὡς ἀσκὸς ὅλος τῷ σώματι τοσοῦτον ἐφλέγμαι-
νεν· ὥστε γενέσθαι πολυτάλαντον τῷ σώματι καὶ ἀφνίδιον ἀνακράξας
διὰ πασῶν τῶν αἰσθήσεων· καὶ ὕδωρ ἤνεγκεν· καὶ λωφήσας γέγονεν εἰς τὸ
μέτρον ὃ ἦν ἀπαρχῆς· παραδίδωσι μὲν οὖν αὐτὸν τῷ πατρὶ αὐτοῦ· ἀλείψας
αὐτὸν ἐλαίῳ ἁγίῳ· ἐπιχέων αὐτῷ ὕδωρ εὐλογημένον· παραγγείλας τῷ πατρὶ
αὐτοῦ μὴ κρεῶν γεύσασθαι αὐτόν· μηδὲ οἴνου ἐπὶ ἡμέρας τεσσαράκοντα·
καὶ οὕτως αὐτὸν ἀπέλυσεν ἰασάμενος· ὀχλήσαν ποτὲ τῷ μεγάλῳ
μακαρίῳ λογισμοὶ κενοδοξίας· ὑφορώμενοι τὸν ἐκβαλεῖν τῆς κέ-
λλης· καὶ ὑποτιθέμενοι οἰκονομίας χάριν καταλαμβάνειν τὴν ῥώ-
μην· ὡς ἐπὶ ὠφελείᾳ δῆθεν ἐν εὐεργεσίᾳ τῶν ἐκ ἀρρωστούντων·
ἄκρως γὰρ κατὰ τῶν πνευμάτων αὐτὸν ἐνήργει ἡ χάρις τοῦ κυρίου· καὶ ὡς ἐ-

ποι πολὺ ὀχλοῦντες οὐχ ὑπήκουσαν τό· σφόδρα περὶ αὐτοῦ πρὸς πελά-
σαν τῷ τοῦτο μὲν ἐξηλάμνον· θεὶς οὖν ἐπὶ τὴν φλιὰν τῆς ἑαυτοῦ κέλ-
λης ὁ ἅγιος τοὺς πόδας ἐκτείνας· ἀφῆκεν ἐπὶ τὰ ἔξω· λέγων τοῖς τῆς κενο-
δοξίας δαίμοσιν· ἕλκετέ με σύροντες δαίμονες ἐὰν δύνασθε· ἐγὼ γὰρ
τοῖς ἐμοῖς ποσὶν ἀλλαχοῦ οὐκ ἀπέρχομαι· ἐὰν οὖν δύνασθέ με οὕτως ἀ-
πενέγκατε ὅπου λέγετε ἀπελθεῖν· διομνύμενος δὲ αὐτοῖς καὶ λέγων ὅτι οὕτως ἐά-
σομαι καθήμενος ἕως ἑσπέρας· ἐὰν μὴ με σαλεύσητε οὐ μὴ ὑμῖν ὑπακού-
σω· ἐπὶ πολὺ δὲ πεσὼν καὶ μείνας ἀσάλευτος· ἀνέστη λοιπὸν ἑσπέρας οὔσης
βαθείας· ἐπιγενομένης δὲ τῆς νυκτὸς πάλιν αὐτὸν διαπύρως ἐνοχλ-
ἀναστὰς οὖν ὁ ἅγιος λαβὼν σπυρίδα ὡς δύο μοδίων· καὶ ἄμμου ταύτην
ἐπλήρωσεν· καὶ ἐπιθεὶς αὐτὴν ἐπὶ τὸν ἑαυτοῦ ὦμον· διέκαμπτε τὴν ἔρημον
οὕτως τοῦ Ποσειδωνίου τις συναντήσας Θεοσέβιος ὁ κοσμήτωρ· ἀντιοχεὺς τὸ γένος
καὶ λέγει αὐτῷ· τί βαστάζεις ἀββᾶ· παραχώρησόν μοι τὸ φορτίον καὶ μὴ
σκύλλου αὐτός· ὁ δὲ ἔλεγεν· σκύλλω τὸν σκύλλοντά με· ἄνετος ὢν· ἀπο-
μίας μοι ὑποβάλλει· καὶ ἐπὶ πολὺ διακομίσας οὕτως εἰς τὴν κέλλαν ἀπῆλ-
θεν συντρίψας τὸ σῶμα· τοῦτο τὸ παράδοξον ὁ θαυμάσιος οὗτος ἀ-
νὴρ Μακάριος ἡμῖν διηγήσατο· ἦν γὰρ τῇ χειροτονίᾳ τῶν ἐπισκόπων
πρεσβύτερος λέγων· ἐν ταῖς ἡμέραις μου κατὰ τὸν καιρὸν τῆς διαδό-
σεως· τῶν τοῦ Χριστοῦ μυστηρίων ὅτι Μάρκος ὁ ἀσκητὴς· οὐδέποτε ἐδέ-
χθη ἐγὼ προσφοράν· ἄγγελος αὐτῷ ἐπεδίδου ἀπὸ τοῦ θυσιαστηρίου
λαμβάνων· μόνον δὲ τὸν ἀστράγαλον τῆς χειρὸς ἐθεώρουν ἐγώ· τοῦ ἐπι-
διδόντος αὐτῷ τὴν κοινωνίαν·

ιϛ Μάρκος δὲ οὗτος νεώτερος ὤν· παλαιὰν καὶ καινὴν γραφὴν ἀπεστήθιζεν·
περισσῶς καθυπερβολήν· σώφρων ἐκεῖ ὡς ἄλλος· μιᾶς δὲ τῶν ἡμερῶν
ἀχερούμενος εἰς τὸ ἔσχατον αὐτοῦ γῆρας· λοιπὸν ἀπέρχομαι πρὸς
αὐτὸν καὶ παρακαθέζομαι τῇ θύρᾳ τῆς κέλλης αὐτοῦ ὡσανεὶ ἐγὼ ἀρχαί-
ων· νομίζων αὐτὸν ὑπὲρ ἄνθρωπον περισσῶς· καὶ ἠκροώμην τί ἄρα λαλ-
εῖ ἢ τί διαπράττεται· καὶ μονώτατος ὢν ἔνδον περὶ τὰ ἑκατὸν ἔτη ἐλαύ-
ἤδη καὶ τοὺς ὀδόντας ἀπολέσας· ἑαυτῷ διεμάχετο καὶ τῷ διαβόλῳ ἔλεγε
τί θέλεις λυπηρὲ κακόγηρε· ἰδοὺ καὶ οἶνον ἔλαβες· καὶ ἐλαίου ἥψω· λοιπὸν

τί θέλεις ποιήσω σοι· πολιόφθαρτε κοιλιόδουλε ἑαυτὸν μὲν ἐξυβρίζων· εἶτα
καὶ τὸν διάβολον λέγων· ἄπελθε λοιπὸν ἀπ' ἐμοῦ διάβολε· συγγεγήρακάς μοι
ἐν ἀδιαφορίαις· ἀνθ' ἐμφαγών μοι τοῦ στόματος ἐπιρρίψας· οἴμου μὲ ἐποί-
ησας μικρὰ ἀλλ' ἔφαγον καὶ ἐλαίου φιλήδονον με ἀπεργασάμενος· μὴ ἀκμὴν
σοι τί χρεωστῶ· οὐδὲν εὑρίσκεις ἐν ἐμοὶ ὃ θέλεις συλῆσαι· ἄπελθε λοιπὸν ἀπ'
ἐμοῦ μισάνθρωπε· καὶ ὥσπερ τερετίζων ἑαυτῷ ἔλεγεν διαλεγόμενος· δεῦρο λοιπὸν
λῆρε πολιόφθαρτε φθορογῆρε· ἕως πότε ἔσομαι μετὰ σοῦ·
διηγήσατο δὲ ἡμῖν καὶ ὁ δοῦλος τοῦ Χριστοῦ Παφνούτιος· ὁ τοῦ γενναίου τοῦ ἀθλητοῦ μη
μαθητής· ὅτι μιᾷ τῶν ἡμερῶν· καθεζομένου τοῦ μακαρίου καὶ ἀθανάτου
Μάρκου ἐν τῇ αὐλῇ καὶ τῷ θεῷ προσομιλοῦντος· ὕαινα λαβοῦσα αὐτῆς
τὸν σκύμνον τυφλὸν ὄντα ἤνεγκεν· καὶ τῇ κεφαλῇ κρούσασα τὸ θυρί-
διον τῆς αὐλῆς· εἰσῆλθεν ἐπὶ αὐτοῦ καθεζομένου· καὶ ῥίπτει αὐτὸν ὑπὸ τοὺς
πόδας αὐτοῦ· τοῦτον τὸν σκύμνον λαβὼν ὁ ἅγιος Μάρκος· καὶ ἐπιπτύσας
τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐπηύξατο· καὶ παραχρῆμα ἀνέβλεψεν· καὶ θηλά-
σαντα αὐτὸν· λαβοῦσα ἡ μήτηρ αὐτοῦ ἀπῆλθεν· καὶ τῇ ἑξῆς ἡμέρᾳ κῴ-
διον μεγάλου προβάτου ἤνεγκεν τῷ ἁγίῳ καὶ μακαρίῳ Μάρκῳ· ὅπερ κῴ-
διον οὗτος ὁ τοῦ Χριστοῦ δοῦλος καταλέλοιπεν τῷ ἁγίῳ καὶ μακαρίῳ Ἀθανασίῳ
τῷ ἐπισκόπῳ· ὡς δὲ καὶ ἡ μακαρία δούλη τοῦ Χριστοῦ Μελάνιον μοι εἶπεν
ὅτι παρ' αὐτοῦ τοῦ ἁγίου καὶ θαυμαστοῦ ἀνδρὸς Ἀθανασίου εἴσω ἔλαβον τὸ κῴδιον
ἐκεῖνο· ξένιον τῆς ὑαίνης ἐπιλεγόμενον· καὶ τί τοῦτο θαυμαστὸν ὑπὲ-
ρ ἀνδράσι τοῦ κόσμου ἐστρεμμένοις· ὕαιναν ἔφερε τιθεῖσαν εἰς δόξαν
τοῦ θεοῦ καὶ εἰς τιμὴν τῶν δούλων αὐτοῦ· ξένια τούτοις κομίσαι· ὁ γὰρ τοὺς
λέοντας ἐπὶ τοῦ προφήτου Δανιὴλ ἡμερώσας· καὶ ταύτῃ τῇ ὑαίνῃ κοι-
μεσιν ἐχαρίσατο· ἐλέγετο δὲ περὶ τοῦ ἁγίου Μάρκου· ὅτι ἀφ' οὗ ἐβαπτίσθη
οὐκέτι ἔπτυσεν χαμαί· ἑξήκοντα ἔτος ἔχων ἀφ' οὗ ἐβαπτίσθη· τεσσαράκοντα
γὰρ ἐτῶν ἐτύγχανεν ὅτε ἐβαπτίσθη ὁ γνήσιος τοῦ Χριστοῦ δοῦλος καὶ ἀθάνατος Μάρ-
κος· ἦν δὲ τὸ εἶδος τοῦ ἁγίου τοῦ Μάρκου τῆς ἡλικίας τοιοῦτον· ὁ ἀμὴν
γὰρ καὶ περὶ τοῦ τοῦ σημαίνουσι δοῦλοι τοῦ Χριστοῦ ἀκριβῶς ἐμοὶ τοῦτον γινώσκον-
τος· ὥσπερ καὶ μετ' αὐτοῦ τὴν μὲν ἡμῶν βραχύτητα συγχωρήσαντα· ἦν οὖν
τὸ εἶδος τῆς ἡλικίας αὐτοῦ ὑπὸ κολοβόν· ὡς ἄνω ἐπὶ τοῦ χείλους μόνον

ἔχων τρίχας· καὶ ἐπὶ τὸ ἄκρον δὲ τοῦ γενείου εἶχεν ὀλίγας· ὑπερβολῇ γὰρ τῆς ἀσκή-
σεως· οὐδὲ αἱ τρίχες τῆς γενειάδος αὐτοῦ ἐξεφύησαν· τοῦτον ἐγὼ προσκλ-
θὼν· μιᾶς τῶν ἡμερῶν λέγων αὐτῷ· ἐν ἀκηδίᾳ ὢν σφόδρα διάγοντος· ἀβ-
βᾶ Μακάριε τί ποιήσω· ὅτι θλίβουσί με οἱ λογισμοὶ λέγοντές μοι· ὅτι οὐ-
δὲν ποιεῖς ἄπελθε ἐντεῦθεν· ἀποκριθεὶς δέ μοι λέγει ὁ ἅγιος πατὴρ Μάρκος·
εἰπὸν σὺ τοῖς λογισμοῖς σου· ὅτι διὰ τὸν Χριστὸν τοὺς τοίχους τηρῶ· παντάπασι φιλό-
χριστος ἦν καὶ φιλομαθὴς δοῦλος Χριστοῦ· ἐκ τῶν πολλῶν καὶ μεγάλων σημείων καὶ ἄθλων
[μζ] τοῦ ἀοιδίμου· καὶ ἐναρέτου πατρὸς Μάρκου ἐσημάναμεν.

Μωσῆς οὕτω καλούμενος· Αἰθίοψ τὸ γένος μέλας· οἰκέτης ὑπῆρχεν πολι-
τευομένου τινός· ὃν διὰ πολλὴν δυστροπίαν καὶ λῃστρικὴν αἰτίαν· ἐρρί-
ψεν ὁ ἴδιος δεσπότης· ἐλέγετο γὰρ καὶ μέχρι φόνων φθάνειν αὐτόν· ἀνα-
γκάζομαι γὰρ λέγειν αὐτοῦ τὰ ἔργα τῆς πονηρίας· ἵνα δείξω αὐτοῦ τὴν
μετὰ ταῦτα ἀρετὴν τὴν ἐκ μετανοίας· διηγοῦνται τοίνυν τινὲς ὅτι καὶ
ἀφηγούμενος ἦν λῃστηρίου μεγίστου· οὗ καὶ τοῦτο φέρεται ἐν τοῖς ἔργοις
τοῖς λῃστρικοῖς· ὅτι ποιμένι τινὶ ἐμνησικάκησεν παρεμποδίσαντι
αὐτῷ πρὸς πρᾶγμα ἀνόσιον τι μετὰ τῶν τῆς ποίμνης κυνῶν ἐν νυκτί·
ὃν ἀποκτεῖναι θελήσας· περιέρχεται τὸν τόπον ἔνθα τὴν στάσιν εἶχεν
τῶν προβάτων· ἐμηνύθη δὲ αὐτῷ· ὅτι πέραν τοῦ Νείλου ἐστίν·
καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον· πλημμυροῦντος τοῦ ποταμοῦ· καὶ ὄν-
τος ἐπὶ ἐν σημεῖον τοῦ πλάτους διακοσίων τὴν μάχαιραν αὐτοῦ ἐν τῷ στό-
ματι καὶ τὸν χιτωνίσκον οὗ ἐνεδέδυτο ἐπιθεὶς τῇ ἑαυτοῦ κεφαλῇ διεπέ-
ρασεν οὕτως τὸν ποταμόν· ἐν δὲ τῷ τοῦτον διακολυμβᾶν· ἠδυνήθη λαθεῖν
ὁ ποιμὴν καὶ κρύφιον ἄρας ἑαυτὸν καταχώσας· ἀποτυχὼν οὖν οὗτος ὁ
Μωσῆς τοῦ ἐγχειρήματος· τοὺς ἐξ ἐπιλοίπους τέσσαρας κριοὺς σφάξας καὶ δή-
σας σχοινίοις· καὶ φαγὼν τὰ κάλλιστα τῶν κρεῶν· καὶ εἰς οἶνον διαπω-
λήσας τὰ κώδια· σαΐτην πιὼν ὡς ἰταλικῶν δέκα ὀκτώ· ὡς ἐν πεντήκον-
τα σημείοις ἀπῆλθεν ὅπου τὸ κολλήγιον αὐτοῦ ὑπῆρχεν· οὗτος ὁ μετὰ πολὺ
τοῦ καιροῦ ὅτι οὗτος λῃστάρχος κατανυχθεὶς ἔκ περιστάσεώς τινος ἐπι-
δέδωκεν ἑαυτὸν μοναστηρίῳ· καὶ οὕτως προῆλθε τῷ πράγματι τῆς μετα-
νοίας· ὡς καὶ αὐτὸν τὸν συμπράκτην αὐτοῦ καὶ ὑποβολέα τῶν κακῶν

ἐκ μεσότητος δαιμόνων τὸν θεὸν πάντα αὐτὸς σὺν ἁμαρτωλῶν τοῦ θεοῦ ἐπιτιμῶν
σιν ὑψοῦμεν τοῦ Χριστοῦ. μη

Ἐν ὕμνοις λέγεται ὅτι ποτὲ τούτου ἐπερρίφησαν λῃσταὶ τέσσαρες καθεζομένου ἐν τῷ
κελλίῳ· ἀγνοήσαντες ὅτι Μωσῆς ἐστιν οὗτος. οὓς δήσας ὁ μακάριος πάντας
καθάπερ σάκκον πλήρης ἀχύρων, τοῖς ὤμοις αὐτοῦ ἐπιθεὶς ἤνεγκεν εἰς
τὴν ἐκκλησίαν τῶν ἀδελφῶν εἰπών· ἐπειδὴ οὐκ ἔξεστί μοι ἀδικεῖν
οὐδένα· λῃστῶν δὲ τούτων ἐπελθόντων μοι· τί κελεύετε περὶ τού-
των· συλληφθέντες οὖν οὗτοι τὸ πρότερον ὑπὸ τοῦ φίλου Μωσέως ἐξομολο-
γήσαντο τῷ θεῷ· καὶ γνωρίσαντες τοῦτον ὅτι Μωσῆς ἐστιν ὁ ποτὲ ὀνομα-
στὸς καὶ περιβόητος λῃστάρχος· δοξάσαντες ἐπ' αὐτῷ τὸν Χριστόν· καὶ κἀμοὶ
ἀπετάξαντο διὰ τὴν τούτου μεταβολὴν καὶ γεγόνασι μοναχοὶ δοκιμώτατοι·
λογισάμενοι μὲν τοῦτο ὅτι εἰ οὗτος ὁ τηλικοῦτος καὶ καλῶς ἐν δυνάμει καὶ κατα-
κρὸν πεποιημένος τοῖς ἔργοις τοῖς λῃστρικοῖς· οὕτως κοσμίως ἐφοβήθη τε
τὸν θεόν· τί ἡμεῖς ἀναβαλλόμεθα τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν.

Τοῦτον τὸν μακάριον Μωσῆν διηγοῦνται γὰρ λοιπὸν αὐτοῦ οὕτω προαγορεύεσθαι· ἐπέ- μθ
θεντο οἱ τῆς ἀσωτίας δαίμονες πρὸς τὴν ἀρχαίαν συνήθειαν τὴν τῆς ἀ-
κολασίας τῆς πορνικῆς αὐτὸν κατελαύνοντες· ὡς ἐπὶ τοσοῦτον ὑπ' αὐ-
τῶν ἐπειράσθη ὡς αὐτὸς διηγήσατο· ὡς μικροῦ δεῖν τῆς προθέσεως αὐτὸν ἐξοκεῖλαι·

Παραγενάμενος οὖν οὗτος πρὸς τὸν μέγαν Ἰσίδωρον τὸν ἐν τῇ Σκήτει κα- ν
θήμενον· ἀνήνεγκεν αὐτῷ τὰ περὶ τοῦ τῆς πορνείας πολέμου· πρὸς
ὃν ἀπεκρίθη ὁ γέρων· μηδὲν θροηθῇς ἀδελφέ· ἀρχαὶ γάρ εἰσιν· διὰ τοῦτο
σφοδρότερόν σοι ἐπέθεντο τὴν προτέραν ἐπιζητοῦντες συνήθειαν·
ὥσπερ γὰρ κύων ὁ ταῖς ἐν μακέλλῳ ἀεὶ θεὶς κολλέσας τὸ πρὶν ὀρυχὴν τῆς συνη-
θείας· οὐκ ἂν ἀναχωρῇ· ἐὰν δέ τις κλείσῃ τὸ κελλίον καὶ μηδεὶς αὐτῷ μηδὲν
ἐπιδῷ· ἢ λιμαγχονηθεὶς οὐκέτι εἰσπίζει μηδεμίαν ἔχων βοήθειαν· οὕτως
καὶ σὺ ἐὰν ἐπιμείνῃς οὕτως ἀσκήσει τῆς ἐγκρατείας· νεκρώσας σου τὰ μέ-
λη τὰ ἐπὶ τῆς γῆς· ἀποκλείσας τὴν εἴσοδον τῇ γαστριμαργίᾳ αὐτῇ κτού-
σῃ τὴν ἀκολασίαν ἀκηδιάσας ὁ τῆς πορνείας δαίμων· μὴ ἔχων ἀπὸ
βρωμάτων τὰ τοῦτον ἐξάπτοντα· οὕτως σοῦ ἀποστήσεται· ἀναστὰς
οὖν ὁ τοῦ Χριστοῦ δοῦλος Μωσῆς· ἀπὸ τῆς ὥρας ἐκείνης· καὶ κατακλείσας ἑ-

αὐτὸν μὲν τὴν κέλλην ὑπομονῆς φοβερὸν ταύτῃ· ἤσκητο ἐν πᾶσι μάλιστα ἀπὸ
βρωμάτων· οὐδὲν ὅσα ἄλλου μεταλαμβάνων· πλὴν ἄρτου ξηροῦ ἐν οὐγγίαις
δέκα δύο· πλεῖστον μὲν ἐργαζόμενος ἔργον καὶ περὶ τὴν κόμην ταῖς ἐκτελῶν πρὸς εὐχὰς
τὴν ἡμέραν· καταπτήξας οὖν αὐτοῦ τὸ σῶμα τι ἔμεινεν ὑπὸ πιεζούμενος·
καὶ διαφόρως ἐνυπνιαζόμενος· πάλιν οὗτος ποτὲ ἔβαλλε μᾶλλον τινὶ μοναχῷ
τῶν ἄγαν εὐδοκίμων καὶ λέγει αὐτῷ, τί ποιήσω ἀββᾶ; ὅτι σκοτίζουσί μου
τὸν λογισμὸν τὰ ἐνύπνια τῆς ψυχῆς κατὰ τὴν μαχαίραν σωμάτων ὡς φθό-
μενος αὐτοῖς· λέγει αὐτῷ ἐκεῖνος ὁ ἄλλος· ὅτι ἐπειδὴ τὸν νοῦν σου οὐκ ἀπέχεις
τῶν περὶ ταῖς φαντασίαις· τούτου χάριν τὴν ἡμέραν ἐργάζῃ τὴν ὑφίστα-
σαι ἐπιθυμίαν· ποίησον ὡς σοι λέγω δὸς ἑαυτὸν ἐγρυπνεῖν κατὰ μικρὸν
καὶ πρὸ τῆς εὐχῆς μὴ φροντίσας καὶ ἐλευθεροῖσθαι ἀπὸ τοῦ τάχους· ἀκούσας δὲ ὁ γέρων
καὶ ταύτης τῆς ὑποθέσεως ὡς παραπέχειν αὐτοῦ τὴν ὥραν· ἀπελθὼν μὲν τὴν κέ-
λλην· ἐδόκει λόγῳ τῷ ἑαυτοῦ νῷ εἰδότι· μὴ κοιμηθῆναι δι' ἁπάσης νυκτός·
μὴ κλίνεσθαι γόνυ ὡς ἐπὶ προφάσει προσευχῆς· ἐπὶ τῇ φυγῇ τὴν τυραννίδα
τοῦ ὕπνου· μείνας οὖν ἐν τῷ κελλίῳ ἐπὶ ἔτη ἓξ τὰς νύκτας ὥσπερ με-
σον τῆς κέλλης ἱστάμενος καὶ ἀδιαλείπτως τῷ θεῷ προσευχόμενος καὶ μὴ ἐπικαμ-
μύων τοῖς ὀφθαλμοῖς· καὶ ταῦτα ποιῶν τοῦ πράγματος τῆς ἀκολάστου ἐ-
πιθυμίας· περιγενέσθαι οὐκ ἠδυνήθη· τὸ οὖν τί γὰρ ἀληθῶς· ἀκόλαστον
ἡ ἐπιθυμία· ἑαυτὸν γὰρ ἐκτήξας τοῖς πόνοις ἐκείνῳ τὸ ἔσχατον πάθος ὑποτά-
ξαι οὐκ ἴσχυσεν· μετὰ ταῦτα οὖν ὡς ἀνῆλθε ἑαυτῷ ἄλλην πάλιν πολιτείαν σκλη-
ρὰν ὥς τι ὑπέθετο· ἐξερχόμενος οὗτος ὁ πύκτης· τοὺς ἀπαντῶντας διαφόρως
γὰρ οὗτος ἐπύκτευσεν· τὰς νύκτας ἀπιὼν δὲ τὰς κέλλας τῶν τοῖς πόνοις πεπει-
ρακότων τῆς ἀσκήσεως μοναχῶν· καὶ λοιπὸν μὴ δυναμένων τὴν τοῦ ὕδα-
τος χρείαν δι' ἑαυτῶν ἀποκομίζειν· καὶ λαμβάνων τὰς ὑδρίας αὐτῶν, ἀμφοτέρων
ἐκάμνων ἐπλήρου τοῦ ὕδατος· αἱ πολλοὶ γὰρ ἔχουσιν ἐν μακροῖς τοῖς τό-
ποις τὸ ὕδωρ· οἱ μὲν ἀπὸ δύο, οἱ δὲ ἀπὸ πέντε σημείων· ἄλλοι ἀπὸ ἡ-
μίσεως· μετὰ οὖν τῶν νυκτῶν ἐν μέσῳ τούτου ποιεῖ ἐπιτηρήσας ὁ δαίμων
καὶ μηκέτι φέρων τοῦ ἀθλητοῦ τὴν καρτερίαν· ἐγκύψαντι αὐτῷ δὲ τὸ
φρέαρ ἐν τῷ τὴν ὑδρίαν πληρῶσαι· τινὸς μοναχοῦ· δέδωκεν αὐτῷ
κατὰ τῶν ψυῶν ῥοπάλῳ τινί· καὶ ἀφῆκεν αὐτὸν τῷ τόπῳ κεῖσθαι νεκρ-

μηδόλως ἐσθόμενον· μήτε τὸ πέπονθε· μήτε παρά τινος τοῦτο ὑπέστη·
τηνικαῦτα· ἀλλ' ἡμέρα ἐλθὼν τις τῶν μοναχῶν ἀντλῆσαι ὕδωρ· εὗρεν αὐ-
τὸν ἐκεῖ κείμενον ὑπὸ τῷ χορηγοῦντι· καὶ ἐλθὼν ἀπήγγειλε τῷ μεγάλῳ
Ἰσιδώρῳ τῷ πρεσβυτέρῳ τῆς σκήτεως· ἀπελθὼν δὲ ἐκεῖνος μετὰ πά-
ντων· λαβόντες αὐτὸν ἤνεγκαν ἐν τῇ ἐκκλησίᾳ· καὶ ἐπὶ ἐνιαυτὸν πλήρη οὕ-
τως ἐνόσησεν· ὡς μόλις ἐν ἑαυτῷ τὸ σῶμα αὐτοῦ ἐνισχῦσαι· τότε λέγει
αὐτῷ ὁ μέγας τοῦ Χριστοῦ ἱερεὺς Ἰσίδωρος· παῦσαι λοιπὸν τοῖς δαί-
μοσι φιλονεικῶν ἀδελφὲ Μωϋσῆ· καὶ μὴ αὐτοῖς οὕτως ἐπεμβαίνε·
μέτρον γάρ εἰσι καὶ τῆς ἀνδρείας τῆς πρὸς τοὺς δαίμονας ἐν τῇ ἀσκήσει·
ὁ δὲ ἀδάμας τοῦ Χριστοῦ Μωϋσῆς λέγει αὐτῷ· οὐ μὴ παύσομαι τοῦ μάχεσθαι
μετ' αὐτῶν· ἕως ἂν παύσηται μου ἡ φαντασία τῶν ἐνυπνίων· τό-
τε λέγει αὐτῷ ὁ τοῦ Χριστοῦ φίλος Ἰσίδωρος ὁ πρεσβύτερος· ἐν τῷ ὀνόματι
τοῦ Ἰησοῦ Χριστοῦ ἀπὸ τοῦ νῦν πέπαυταί σου τὰ ἀπρεπῆ ἐνύπνια· λοιπὸν
μετὰ παρρησίας τοῖς θείοις πρόσελθε· καὶ κοινώνησον μυστηρίοις·
ἵνα γὰρ μὴ καυχήσῃ τῆς ἀσκήσεως περιγενόμενος τοῦ τοιούτου πά-
θους· διὰ τοῦτο σφοδρῶς ὑπ' αὐτοῦ κατεδυναστεύθης πρὸς τὸ συμ-
φέρον· ἵνα μὴ ὑπερεπαρθεὶς καταπέσῃς· ταῦτα ἀκούσας·
ἀπῆλθε πάλιν ἐπὶ τὴν κέλλαν· λοιπὸν προσέχων μεθ' ἡσυχίας
τῇ τῆς ἀσκήσεως πολιτείᾳ· μετὰ δὲ μῆνας δύο ἢ τρεῖς· ἐρωτη-
θεὶς παρὰ τοῦ μακαρίου πρεσβυτέρου τοῦ Ἰσιδώρου ὁ ἀσκητὴς
Μωϋσῆς· μήτι αὐτὸν ὤχλησεν ἐκεῖνο τὸ πάθος· εἶπεν· ὅτι ἀπ' ἐ-
κείνης τῆς ὥρας ὡς ἐπηύξω μοι ὁ τοῦ Θεοῦ δοῦλος· οὐκέτι οὐδέν μοι τοι-
οῦτον συμβέβηκεν· κατηξιώθη δὲ οὗτος ὁ ἀλλ' ὡς χαρίσματι κατὰ
δαιμόνων οὕτως· ὡς ἡμεῖς τὰς μυίας ἐν τῷ χειμῶνι καταφρο-
νοῦμεν· τοσοῦτον μὲν μᾶλλον οὗτος ὁ μέγας πάλαι τῆς καὶ μικρῆς τῆς
τῶν δαιμόνων· ὁ μακάριος Μωϋσῆς· αὕτη ἡ ἔνθεος τῆς ἀσκήσεως
αὐτοῦ πολιτεία· τοῦ ἀκαταγωνίστου ἀθλητοῦ Μωϋσέως τοῦτο γέγονε
θεῖος πως· τὴν δὲ ψυχὴν θεότητος πεπληρωμένος ὡς καὶ αὐτὸς ἦν·
ἐν τοῖς μεγάλοις τῶν πατέρων κατορθώμασι συναριθμούμενος

τελευτᾷ δὲ οὗτος ἐν τῷ ἑβδομηκοστῷ ἔτει· ἐν τῇ σκήτῃ γενόμενος πρεσ-
βύτερος· καταλιπὼν μαθητὰς ἑβδομήκοντα.

Ὄρος ἐστὶ τῆς αἰγύπτου ἀπάγον ἐπὶ σκῆτιν τὴν πανέρημον· ὃ καλεῖται φέρ-
μη· ἐν τούτῳ τῷ ὄρει καθέζονται ὡς πεντακόσιοι ἄνδρες ἀσκούμενοι·

μα Ἐν οἷς καὶ παῦλός τις οὕτω καλούμενος μοναχὸς ἄριστος· ὃς ἐν παντὶ τῷ χρόνῳ
αὐτοῦ· ταύτην ἔσχε τὴν πολιτείαν· οὐκ ἔργου ἥψατο ποτὲ, οὐ πραγματείας
τινός· οὐκ ἔλαβέ τι παρά τινος πλὴν τοῦ παρακειμένου οὗ ἤμελλεν ἐν αὐτῇ τῇ ἡμέ-
ρᾳ ἐσθίειν· ἔργον δὲ αὐτοῦ τῆς ἀσκήσεως γέγονεν· τὸ ἀδιαλείπτως προσεύχεσ-
θαι· οὗτος ἐπὶ τοσοῦτον μὲν εἶχεν εὐχὰς τριακοσίας· ἃς οὕτως ἠρίθμει· τό-
σας τῶν λίθων ψήφους συνάγων καὶ ἐν τῷ κόλπῳ κατέχων· καὶ ῥίπτων καθ᾽ ἑ-
κάστην εὐχὴν ἔξω τοῦ κόλπου ψῆφον μίαν·

μβ Οὗτος ὁ ἔνθεος ἀνὴρ παραβαλὼν συντυχίας ἕνεκεν καὶ ὠφελείας τῷ ἁγίῳ
μακαρίῳ τῷ λεγομένῳ πολιτικῷ λέγει αὐτῷ· ἀββᾶ μακάριε·
θλίβομαι σφόδρα· ἠνάγκασεν οὖν αὐτὸν εἰπεῖν ὁ τοῦ χριστοῦ φίλος τὴν αἰτί-
αν δι᾽ ἣν λυπεῖται· ὁ δὲ λέγει αὐτῷ·

μγ Ἐν κώμῃ τινὶ παρθένος τις κατοικεῖ· τριακοστὸν ἔτος ἤδη ἔχουσα ἀσκουμένη·
περὶ ἧς μοι πολλοὶ διηγήσαντο· ὅτι παρεκτὸς σαββάτου καὶ κυριακῆς οὐδέ-
ποτε γεύεται ἄλλην ἡμέραν· ἀλλὰ τὸ συνιστῶσαν ταχέως μὲν ἕλκουσα τῶν ἑβδομά-
δων· καὶ δι᾽ ἡμερῶν πέντε ἐσθίουσα· ποιεῖ ἀλλ᾽ εὐχὰς ἑπτακοσίας· καὶ ἀπευδόκη-
σα ἐγὼ ἐμαυτὸν τοῦτο μαθών· καὶ λογισάμενος ὅτι παρ᾽ ἀνδρὸς δυνατώτερος κα-
πεκάμνην τὴν ῥώμην τοῦ σώματος δημιουργηθεὶς ὑπὲρ τῶν τριακοσίων εὐχῶν
ποιῆσαι οὐκ ἠδυνήθην· ἀποκρίνεται αὐτῷ ὁ ἅγιος μακάριος λέγων αὐτῷ· ἐγὼ
ἑξηκοστὸν ἔτος ἔχω ἀφ᾽ οὗ πεπληρωμένας ἑκατὸν εὐχὰς ποιῶ καὶ τὴν πρὸς τροφὴν
ἐργαζόμενος ταῖς χερσίν· καὶ τοῖς ἀδελφοῖς τὴν ὀφειλομένην τῆς συντυχίας ἀπο-
διδούς· καὶ οὐ κρίνει με ὁ λογισμὸς ὡς ἀμελήσαντα· σὺ δὲ τριακοσίας εὐχὰς
ποιῶν κρίνῃ ὑπὸ τοῦ συνειδότος· δῆλος εἶ καθαρὰς αὐτὰς μὴ εὐχόμενος·

μδ Κρόνιος μοι διηγήσατο ὁ πρεσβύτερος τῆς νιτρίας· ὅτι νεώτερος ὢν τὸ
κατ᾽ ἀρχὰς καὶ ἀκηδίας χάριν φυγὼν ἐκ τῆς μονῆς τοῦ ἀρχιμανδρίτου
ἀλώμενος ἔφθασα ἕως τοῦ ὄρους τοῦ ἁγίου ἀντωνίου·

με Ἐκαθέζετο δὲ οὗτος ὁ ἅγιος μεταξὺ βαβυλῶνος καὶ ἡρακλέους εἰς τὴν πανέ-

ρημον τὴν φέρουσαν κατὰ τὴν ἐρυθρὰν θάλασσαν· ὡς ἀπὸ τεσσαράκοντα σημείων
τοῦ ποταμοῦ· ἐλθόντων οὖν αὐτῶν εἰς τὸ μοναστήριον τὸ παρὰ τὸν ποταμὸν
ἔνθα οἱ τοῦ ἁγίου μαθηταὶ ἐκαθέζοντο ὅ τε λεγόμενος πατὴρ Μακάριος καὶ Ἀ-
μάτας· οἱ καὶ ἔθαψαν αὐτὸν τὸν μακάριον Ἀντώνιον κοιμηθέντα· ἐξεδέξαμεν
ἡμέρας πέντε· ἵνα συντύχωμεν τῷ μεγάλῳ Ἀντωνίῳ· ἐλέγετο δὲ παραβάλλειν
τῷ μοναστηρίῳ· διαφόροις οὖν ἐσυνήχθημεν φησὶν ἀδελφοὶ διάφορον
ἔχοντες χρείαν· Ἐν οἷς καὶ Εὐλόγιός τις Ἀλεξανδρεὺς μονάζων καὶ μετ᾽ αὐ- μϛ
τοῦ ἄλλος λελωβημένος· οἵτινες παρεγένοντο διὰ χρείαν τοιάνδε· οὗτος
ὁ Εὐλόγιος σχολαστικὸς ὑπῆρχεν ἐκ τῶν ἐγκυκλίων παιδευμάτων· ὃς ἔρω-
τι θείῳ πληγεὶς ἐπιθυμίᾳ ἀθανασίας ἀπετάξατο τῶν θορύβων· καὶ πάντα
διασκορπίσας τὰ ὑπάρχοντα· κατέλιπεν ἑαυτῷ βραχέα νομίσματα
ἐργάζεσθαι μὴ δυνάμενος· ἀκηδιῶν δὲ καὶ καθ᾽ ἑαυτὸν· καὶ μήτε εἰς συνοδί-
αν βουλόμενος εἰσελθεῖν· μήτε δὲ μόνος πληροφορούμενος εἶναι·
Εὗρεν τινὰ ἀνὰ τὴν ἀγορὰν ἐρριμμένον λελωβημένον· ὃς οὔτε χεῖρας εἶχεν μζ
οὔτε πόδας· τούτου μόνη ἡ γλῶττα ἀκατάκριτος ὑπῆρχεν πρὸς ἐμ-
φορὰν τῶν παρατυχόντων· ὁ δὲ Εὐλόγιος στὰς ἐνατενίζει αὐτῷ· καὶ προσ-
εύχεται τῷ θεῷ· καὶ ἐπιτίθεται διαθήκην μετὰ τοῦ θεοῦ ποιῶν· ὅτι κύριε ἐπὶ τῷ
σῷ ὀνόματι λαμβάνω τοῦτον τὸν λελωβημένον· καὶ διαναπαύσω αὐ-
τὸν· ἕως ἡμέρας θανάτου αὐτοῦ· ἵνα δι᾽ αὐτοῦ κἀγὼ σωθῶ· χάρισαί μοι
οὖν Χριστὲ τὴν ὑπομονὴν τῆς εἰς αὐτὸν ὑπηρεσίας· καὶ προσελθὼν τῷ λελω-
βημένῳ λέγει αὐτῷ· θέλεις ὦ μέγας λαμβάνω σε εἰς τὴν οἰκίαν μου·
καὶ ἀναπαύω· λέγει αὐτῷ ἐκεῖνος· [illegible]· ἀλλ᾽ ἐγὼ ἀνάξιός εἰμι· λέ-
γει αὐτῷ ὁ Εὐλόγιος· οὐκοῦν ἀπέρχομαι φέρω ὄνον καὶ λαμβάνω σε ἐντεῦθεν·
συνέθετο ὁ λελωβημένος μετὰ πολλῆς χαρᾶς· ἐνεγκὼν οὖν ὄνον ἐκεῖνος·
ἀπῆρεν αὐτὸν καὶ ἤνεγκεν εἰς τὸ ἴδιον ξενίδιον· καὶ ἦν αὐτοῦ ἐπιμελούμενος κα-
τὰ πᾶσαν αὐτοῦ χρείαν· διαρκέσας οὖν ὁ λελωβημένος ἐπὶ ἔτη δεκαπέντε·
ἐνοσοκομεῖτο παρ᾽ αὐτοῦ ὡς πατὴρ φιλοφρόνως· ἀξίαν μὲν ἐκείνου δο-
ρυφορούμενος· κἀπ᾽ ἀλλήλων δὲ τῆς νόσου ἀναπαυόμενος· μετὰ δὲ
πεντεκαίδεκα ἔτη· ὁ δαίμων ἀνέσκευσεν τὸν λελωβημένον θέλων ταχὺ
καὶ τὸν Εὐλόγιον τῆς ἐντολῆς καὶ τῆς προθέσεως στερῆσαι· καὶ τὸν λελωβημέ-

νον τῆς ἀναπαύσεως καὶ τῆς εὐχαριστίας τοῦ κυρίου· καὶ στασιάζει οὗτος πρὸς τὸν
Εὐλόγιον· καὶ ἤρξατο λέγειν κατ' αὐτοῦ πολλὰ δυσφημίας· ὡς καὶ λοιδορί-
αις λοιπὸν πλύνειν τὸν ἄνδρα αὐτόν· σχέτλιε σχέτλιε λοιπὸν φησὶ κύρι(ε)
ἀλλότρια χρήματα ἔκλεψας· καὶ ταχὺ δοῦλος ὑπάρχων τὸν ἴδιον δεσπό-
την ἐσύλησας· καὶ τῇ ἐμῇ προφάσει βούλει πλανηθῆναι ὡς ἐμὲ προφάσει δι-
θεν ποιήσας· τὸ ἐμὸν ἴδιον σου λαβὼν μετ' ἐμοῦ θέλεις σωθῆναι·
ὁ δὲ Εὐλόγιος παρεκάλει αὐτὸν θεραπεύων αὐτοῦ τὴν καρδίαν λέγων·
μὴ κύριε μὴ λέγε τοιαῦτα· ἀλλ' εἰπὲ τίς σε ἐλύπησεν καὶ διορθοῦμαι· ὁ δὲ
λελωβημένος ἔλεγεν ἐμβριθῶς· οὐ θέλω ταύτας τὰς κολακεί(ας)·
ἀπένεγκέ με εἰς τὴν ἀγοράν· παραιτοῦμαι τῆς ἀγάπης σου· ὁ δὲ Εὐλό-
γιος παρακαλῶν ἐθεράπευεν· εἴ τι σε ἐλύπησα κύριε μου· ὁ δὲ λελωβημέ-
νος ἀγριαίνων θυμῷ πρὸς αὐτὸν ἔλεγεν· οὐκ ἀνέχομαι τῆς ὑπούλου
σου καὶ ἡρωικῆς κολακείας· οὐκ ἀρέσκομαι τῇ ζωῇ ταύτῃ τῇ τεταραγ-
μένῃ καὶ φειδωλῷ· ἐγὼ κρέας θέλω ἐσθίειν· ὁ δὲ μακρόθυμος Εὐλόγιος
ἤνεγκεν αὐτῷ τὰ κρέα· ἰδὼν δὲ ταῦτα ἀνακράζει πάλιν ὀδυνώμενος·
οὐ πληροφοροῦμαι εἶναι μετὰ σοῦ μόνου· ὄχλους θέλω βλέπειν·
λέγει αὐτῷ ὁ Εὐλόγιος· ἐγώ σοι φέρω ἄρτι πλῆθος ἀδελφῶν· ὁ δὲ πά-
λιν ἀγανακτῶν δυσπετῶν λέγει· οὐαί μοι τῷ ταλαιπώρῳ τὴν σὴν ὄψιν
οὐ θέλω ἰδεῖν· καὶ ἄγεις μοι τοὺς ὁμοίους σου ἀρτοφάγους· καὶ παραλύσας
αὐτὸν ἀτάκτῳ φωνῇ· ἀνέκραξεν λέγων· οὐ θέλω οὐ θέλω φί-
την ἀγορὰν θέλω· βίᾳ ῥῖψόν με ὅπου με εὗρες· λέγω ὅτι εἰ εἶχεν
χεῖρας ταχὺ ἂν ἑαυτὸν ἀπῆγξεν ἢ ξίφει ἑαυτὸν ἐχειρώ-
σατο· οὕτως αὐτὸν τοῦ δαίμονος ἐξαγριώσαντος.

μη Μετὰ ταῦτα ἀπέρχεται ὁ Εὐλόγιος πρὸς τοὺς πλησίον αὐτοῦ ἀσκη-
τὰς καὶ λέγει αὐτοῖς· τί ποιήσω ὅτι εἰς ἀπελπισμόν με ἤγαγεν ὁ λελωβημένος
οὗτος· λέγουσιν αὐτῷ διατί· ὁ δὲ πρὸς αὐτούς· διηγεῖταί μοι διατίθε-
ται καὶ τί ποιήσω οὐκ οἶδα· ῥῖψαι αὐτὸν ἀλλὰ τῷ θεῷ δεξιὰν ἔ-
δωκα καὶ φοβοῦμαι· ἀλλὰ μὴ ῥίψω αὐτόν· κακὰς μοι ἡμέρας
καὶ νύκτας δίδωσιν· οὐκ οἶδα τί αὐτὸν ποιήσω· λέγουσιν αὐτῷ ἐκεῖνοι·
ὡς ἔτι ζῇ ὁ μέγας οὕτως γὰρ ἐκάλουν τὸν μέγαν Ἀντώνιον· ἀνελ-

παρ' αὐτῶν λαβὼν τὸν λελοβημένον εἰς πλοῖον· καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ μο-
ναστήριον· καὶ ἐκδέξασθε ἕως οὗ ἔλθῃ ὁ μέγας ἐκ τοῦ σπηλαίου· καὶ ἀνένεγκε αὐτῷ
τὸ κρίμα· καὶ ὅσα ἂν εἴπῃ σοι αὐτὸς ποίησον αὐτοῦ τῇ ἐπικρίσει· ὁ γὰρ θεὸς σοι λέγει
δι' αὐτοῦ· ὁ δὲ εὐθυμηθεὶς Εὐλόγιος καὶ μὴ ἔχων αὐτῷ· καὶ κολακεύων τὸν λελοβημέ-
νον· ἐμβαλὼν αὐτὸν εἰς σκάφος βουκολικὸν ἐξῆλθεν τῆς πόλεως ἐν νυκτί·
καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ μοναστήριον τῶν μαθητῶν τοῦ μεγάλου Ἀντω-
νίου· συνέβη δὲ τὴν ἄλλην ἡμέραν· ἐλθεῖν τὸν μέγαν ἑσπέρας βαθείας
ὡς ὁ Κρόνιος διηγήσατο ἐμπεφιβλημένον χλανίδα δερματίνην φορῶν·
ἐρχόμενος οὖν εἰς τὸ μοναστήριον αὐτοῦ ἔθος ἤρχετο· καὶ τοῦτο τῇ ἀρχῇ ἐν ἡσυχίᾳ·
Καλεῖν τὸν μακάριον καὶ ἐρωτᾶν αὐτόν· ἀδελφὲ μακάριε· ἦλθον τινὲς μθ
ἀδελφοὶ ἐνθάδε· ἀπεκρίνατο ὁ μακάριος· ἦλθον· καὶ ὁ μέγας· Αἰγύπτιοι
εἰσὶν ἢ Ἱεροσολυμῖται· δέδωκε γὰρ αὐτῷ σημεῖον ὁ μέγας λέγων· ὅταν ἀ-
περιττοτέρους ἴδῃς τινὰς ἐλθόντας λέγε ὅτι Αἰγύπτιοί εἰσιν· ὅταν δέ τι-
νὰς ἀλλὰ βεβαιοτέρους καὶ λογιωτέρους· λέγε ὅτι Ἱεροσολυμῖταί εἰσιν· ἠρώ-
τα οὖν κατὰ τὸ εἰωθὸς ὁ ἀλλὸς λέγων τῷ μαθητῇ Μακαρίῳ· Αἰγύπτιοι
εἰσὶν ἢ Ἱεροσολυμῖται· ἀπεκρίνατο ὁ Μακάριος λέγων αὐτῷ· ὅτι μεῖ-
γμα εἰσίν· ὅταν οὖν ἔλεγεν αὐτῷ ὅτι Αἰγύπτιοί εἰσιν ἔλεγεν αὐτῷ ὁ μέγας· ποί-
ησον αὐτοῖς φακὸν καὶ δὸς αὐτοῖς φαγεῖν καὶ ἐποίει αὐτοῖς εὐχὴν μίαν·
καὶ ἀπέλυεν αὐτούς· ὅταν δὲ ἔλεγεν ὅτι Ἱεροσολυμῖται ἐκαθέζετο διηγού-
μενος ἕως νυκτός· ἔλεγεν αὐτοῖς τὰ πρὸς σωτηρίαν· ἐν ἐκείνῃ οὖν τῇ ἑσπέρᾳ
καθεσθεὶς φησὶν προσκαλεῖται πάντας ὁ μέγας· καὶ μηδενὸς αὐτῷ εἰρη-
κότος τὸ ποῖον ὄνομα ἔχει· ὁ σχολαστικὸς Εὐλόγιος οὐκ ἀπεκρίνατο· οἰόμε-
νος ἄλλον τινὰ καλεῖσθαι τῷ ὀνόματι τούτῳ· λέγει αὐτῷ ἐκ δευτέρου πάλι
σὺ λέγω Εὐλόγιε τὸν ἀπὸ Ἀλεξανδρείας ἐλθόντι· τότε λέγει αὐτῷ ὁ Εὐλόγιος
τί κελεύεις δέσποτα δέομαί σου· λέγει αὐτῷ ὁ μέγας· τί ἦλθες ἐνθάδε· ἀπεκρίνατο
ὁ Εὐλόγιος λέγων αὐτῷ· ὁ ἀποκαλύψας σοι τὸ ὄνομά μου καὶ τὸ πρᾶγμά σοι
ἀποκαλύψει διὸ ἦλθον; λέγει αὐτῷ ὁ Ἀντώνιος· ἐπίσταμαι διὸ ἦλθες·
ἀλλ' ἔτι πάντων τῶν ἀδελφῶν εἰπὲ ἵνα καὶ οὗτοι ἀκούσωσιν· κελευσθεὶς
οὖν ἀπὸ τοῦ μεγάλου ὁ τοῦ Χριστοῦ δοῦλος Εὐλόγιος· εἶπεν ἐπὶ πάντων· τοῦτον
τὸν λελοβημένον ηὗρον ἐπὶ τῆς ἀγορᾶς ἐρριμμένον καὶ ἀμελούμενον·

καὶ ἀπελεήσας δὲ αὐτόν· τῷ θεῷ προσευξάμενος ἐδόθη μοι χάρις ὑπομονῆς εἰς αὐ-
τόν· δέδωκα μὲν δὲ καὶ δεξιὰς τῷ Χριστῷ ἵνα αὐτὸν νοσοκομήσω· ὅπως καὶ σωθῶ δι'
αὐτοῦ· καὶ αὐτὸς ἀναπαυθῇ παρ' ἐμοῦ· ἐξ οὗ δὲ ἐσμὲν ἐπὶ τὸ αὐτὸ ἔτη ἤδη δε-
καπέντε· ὥσπερ ἐκ τῆς γλώσσης σου ἀπεκαλύφθη τὰ πάντα· ἀλλ' οὐκ οἶδα
τί δ' ἄνομον πεπονθὼς παρ' ἐμοῦ· μετὰ τοσαῦτα ἔτη εἰς ἄκρον με μωκχλευάζει·
ἐνεθυμήθην οὖν αὐτὸν ῥίψαι ἀπὸ τοῦ τόπου· ἐπεὶ αὐτός με καταναγκάζει τοῦτο· καὶ τούτου
χάριν ἦλθον πρὸς τὴν σὴν ἁγιωσύνην ἵνα μοι συμβουλεύσῃς τί ὀφείλω ποιῆσαι
καὶ προσεύξῃ ὑπὲρ ἐμοῦ· δεινῶς γὰρ χειμάζομαι· λέγει αὐτῷ ὁ μέγας Ἀντώνιος· εἰ ἐμέ-
ψεσαι τῆς αὐτῆς ἐκφορμῆς· ἐρρίψας αὐτὸν αὐτὸν Εὐλόγιε; ἕτερος ὁ θεὸς τὸν καλ-
λίονά σου εὑρήσει αὐτόν· καὶ ἐφησυχάσας ὁ Εὐλόγιος κατέπτηξεν ταῦτα
ἀκούσας· καταλείψας δὲ τὸν Εὐλόγιον ὁ μέγας Ἀντώνιος ἄρχεται τῇ γλ-
ώσσῃ μαστίζειν τὸν λελωβημένον καὶ βοᾶν πρὸς αὐτόν· λελωβημένε· πεπηρω-
μένε· ἀνάξιε τοῦ οὐρανοῦ καὶ τῆς γῆς· οὐ παύῃ θεομαχῶν καὶ παροργίζων τὸν ἀδελ-
φόν· οὐκ οἶδας ὅτι Χριστός ἐστιν ὁ ὑπηρετῶν σοι· πῶς τολμᾷς κατὰ τοῦ Χριστοῦ τοιαῦτα
φθέγγεσθαι· οὐ διὰ τὸν Χριστὸν ἑαυτὸν ἐδούλωσεν εἰς τὴν σὴν ὑπηρεσίαν· ταύ-
τας οὖν καὶ τούτων τοῖς ἐπιπλήκτοις λόγοις· ἀφίησιν αὐτούς· καὶ διαλεχθεὶς
τοῖς ἀδελφοῖς πᾶσιν τὰ πρὸς τὴν χρείαν ἑκάστου· ἀπολαμβάνεται πά-
λιν τὸν Εὐλόγιον καὶ τὸν λελωβημένον ὁ γέρων οὕτως καὶ λέγει αὐτοῖς· περιάγεσθε μὴ τέ-
κνα οὐδαμόθεν· ἀλλ' ἀπέλθατε μετ' εἰρήνης καὶ μὴ χωρισθῆτε ἀλλήλων·
ἀποθέμενοι πᾶσαν λύπην ἣν ὁ δαίμων ὑμῖν ἐνέβαλεν· καὶ μετὰ καθ-
αρᾶς ἀγάπης ὑποστρέψατε εἰς τὴν κέλλαν εἰς ἣν καὶ ἐχρονίσατε· ἤδη γὰρ ἀπο-
στέλλει ὑμᾶς ὁ θεός· ὁ πειρασμὸς γὰρ οὗτος ἐπεσάλευθη ὑμῖν ἀπὸ τοῦ σατανᾶ·
ἐπειδὴ ᾔδει ὅτι ἀμφότεροι περὶ τὸ τέλος ἐστέ· καὶ μέλλετε ἀξιοῦσθαι παρὰ
τοῦ Χριστοῦ· καὶ αὐτὸς διὰ σοῦ καὶ σὺ δι' αὐτοῦ· μηδὲν οὖν ἄλλο τι φρονήσητε· καὶ ἐλθὼν ὁ ἄγγε-
λος μὴ εὕρῃ ὑμᾶς ἐπὶ τὸ αὐτό· καὶ μέλλετε τῶν στεφάνων στερῆσθαι·
σπεύσαντες οὖν θᾶττον ὁδεύσαντες καὶ ἦλθον εἰς τὴν κέλλαν αὐτῶν ἐν τελεία
ἀγάπῃ· καὶ ἐντὸς τεσσαράκοντα ἡμερῶν τελευτᾷ ὁ μακάριος Εὐλόγιος
ἀναλύσας πρὸς κύριον· καὶ ἐντὸς ἄλλων τριῶν ἡμερῶν τελευτᾷ ὁ τὸ σώμα-
τι λελωβημένος τὴν δὲ ψυχὴν ἐρρωμένος· καὶ αὐτὸς παραθέμενος εἰς τὰς
χεῖρας τοῦ θεοῦ τὸ πνεῦμα αὐτοῦ· χρονοτριβήσας οὖν ὁ Κρόνιος εἰς τοὺς

θηβαΐδα τόπου· κατῆλθεν εἰς τὰ μοναστήρια Ἀλεξάνδρεια· καὶ συνέβη τοῦ
μὲν μακαρίου Εὐλογίου τὰ τεσσαρακοστὰ ἐπιτελεσθῆναι· τοῦ δὲ λελωβημένου
τὸ σῶμα παρατρίτα παρὰ τῆς ἀδελφότητος· μεμαθηκὼς δὲ τοῦτο ὁ Κρόνιος
ἐξέστη· καὶ λαβὼν ἀγγέλιον εἰς Πισπὴρ τῶν μακαρίων τῶν τεθνηκότων ἐν μέσῳ τῶν
ἀδελφῶν διηγήσατο αὐτοῖς· ἀφηγούμενος τὴν πρόγνωσιν τοῦ μεγάλου Ἀν-
τωνίου περὶ αὐτῶν· καὶ περὶ πάντων τῶν συμβεβηκότων· ὅτι τούτων ὅλων
τῶν λόγων ἑρμηνεὺς αὐτοῦ γέγονα τοῦ μακαρίου Ἀντωνίου ἑλληνιστὶ μὴ εἰδότος·
ἐγὼ γὰρ ἐπίσταμαι ἀμφοτέρων τὰς γλώσσας· καὶ ἡρμήνευον αὐτοῖς· τοῖς
μὲν μακαρίοις λοιπὸν διὰ τὴν τοῦ Χριστοῦ χάριν Εὐλογίῳ καὶ τῷ λελωβημένῳ
τὸ σώματι· ἑλληνιστὶ τὰ περὶ τοῦ μεγάλου εἰρημένα· καὶ τοῦτο δή ἐστι τὸ
ὁ Κρόνιος ὅτι ἐν τῇ νυκτὶ ἑρμηνεύσας· ξ

Τοιοῦτο περὶ τὸν μακάριον Εὐλόγιον ἀπέβη· διηγήσατο ἡμῖν ὁ μέγας· ὅτι ἐν
αὐτὸν ὁλόκληρον ηὔξατο μὴν ἀποκαλυφθῆναι μοι· τὸν τόπον τῶν δικαίων
ὧν καὶ τῶν ἁμαρτωλῶν· καὶ ἐθεασάμην μακρὸν γίγαντα μέλανα ὑψού-
μενον μέχρι τῶν νεφελῶν· τὰς χεῖρας ἐκπεταμένας ἔχοντα ἐπὶ τὸν οὐρανόν·
καὶ ἦν ὑποκάτωθεν αὐτοῦ λίμνη θαλάσσης ἔχουσα μέτρον· καὶ ἑώρων ψυχὰς
ἀνιπταμένας ὡς ὄρνεα· καὶ ὅσαι μὲν ὑπερίπταντο τῶν αὐτοῦ χειρῶν καὶ
τῆς κεφαλῆς· διεσώζοντο ὑπὸ τῶν ἀγγέλων· ὅσαι δὲ ἐπλήττοντο τῶν χειρῶν αὐ-
τοῦ ἐκολάζοντο· ἀνέπιπτον εἰς τὴν λίμνην· ἦλθε μοι οὖν φωνὴ λέγουσα· ἀφορῶν
ταύτας ἃς βλέπεις ὑπεριπταμένας τῆς τοῦ γίγαντος κεφαλῆς καὶ τῶν
τούτου χειρῶν ψυχάς· αὗται εἰσὶν αἱ ψυχαὶ τῶν δικαίων· αἵτινες σώζονται
ὑπὸ τῶν ἀγγέλων εἰς τὸν παράδεισον· αἱ δὲ πλησσόμεναι ὑπὸ τοῦ μέ-
λανος χειρῶν· αὗται εἰς τὸν ᾅδην καταποντίζονται· αἱ ὑποσυρεῖσαι
τοῖς θελήμασι τῆς σαρκὸς καὶ τῇ μνησικακίᾳ ἐξακολουθήσασαι· ξα

Διηγεῖτο ὁ τοῦ θεοῦ δοῦλος Ἱέραξ· καὶ Κρόνιος δὲ οὗτος καὶ ἕτεροι πλείους τῶν ἀ-
δελφῶν περὶ ὧν μέλλω λέγειν·

Ὅτι Παῦλος ἀγροικὸς γεωργὸς καθ᾿ ὑπερβολὴν ἄκακος καὶ ἁπλοῦς τὸν τρόπον
ὡραιοτάτῃ συνεζεύχθη γυναικὶ κακοτρόπῳ τὴν γνώμην· ἥ-
τις τοῦτον διέλαθεν ἁμαρτάνουσα ἐπὶ μήκιστον χρόνον· ἐν μιᾷ οὖν
εἰσελθὼν ἐξ ἀγροῦ αἰφνίδιον ὁ Παῦλος εἰς τὸν οἶκον· εὗρεν αὐτοὺς ξβ

αἰσχρῷ προσώπῳ τῆς πόρνης εἰς τὸ συμφέρον μοι ὁδηγούσης τὸν Παῦλον· καὶ
θεασάμενος ταύτην μετὰ τοῦ συνήθους αὐτῆς· γελάσας σεμνὸν ἐπιφω-
νεῖ αὐτοῖς λέγων· καλῶς, καλῶς· ἀληθῶς οὐ μέλει μοι· μὰ τὸν Ἰησοῦν ἐγὼ αὐ-
τοῖς οὐκ ἔτι ἔρχομαι· ὕπαγε ἔχε αὐτήν· ἔχε καὶ τὰ παιδία αὐτῆς· ἐγὼ γὰρ ὑπά-
γω γίνομαι μοναχός· καὶ μηδενὶ μηδὲν εἰρηκὼς ἀνατρέχει τὰς ὀκτὼ μονὰς
καὶ ἀπέρχεται πρὸς τὸν μακάριον Ἀντώνιον καὶ κρούει τὴν θύραν· ἐξελθὼν
οὖν ὁ μακάριος Ἀντώνιος ἐρωτᾷ αὐτόν· τί θέλεις; λέγει αὐτῷ ὁ Παῦλος·
μοναχὸς θέλω γενέσθαι· ἀποκρίνεται αὐτῷ ὁ Ἀντώνιος καὶ λέγει· ἐτῶν ἑξήκοντα
γέρων ὢν ὧδε μοναχὸς γενέσθαι οὐ δύνασαι· ἀλλὰ μᾶλλον ἄπελθε εἰς κώμην
καὶ ἐργάζου καὶ ζῆθι βίον ἐργατικὸν εὐχαριστῶν τῷ θεῷ· ὑπομεῖναι γὰρ τὰς
θλίψεις τῆς ἐρήμου οὐ δύνασαι· ἀποκρίνεται πάλιν ὁ γέρων καὶ λέγει αὐτῷ·
εἴ τι ἄν με διδάξῃς τοῦτο ποιήσω· λέγει αὐτῷ ὁ Ἀντώνιος· εἴρηκά σοι ὅ-
τι γέρων εἶ καὶ οὐ δύνασαι μονάσαι· ἄπελθε εἰ ἄρα θέλεις μοναχὸς εἶναι· εἰς
εἰς κοινόβιον πλειόνων ἀδελφῶν οἵτινες δύνανται σου τῆς ἀσθενείας ἀνέ-
χεσθαι· ἐγὼ γὰρ μόνος κάθημαι ὧδε διὰ πενθημέρου ἐσθίων καὶ τοῦτο λιμώττων·
τοιούτοις καὶ τοιούτοις ῥήμασιν ἀπεσόβει τὸν Παῦλον· καὶ ὡς οὐκ ἠνέσχε-
το αὐτοῦ, κλείσας τὴν θύραν ὁ Ἀντώνιος οὐκ ἐξῆλθεν ἐπὶ ἡμέρας τρεῖς δι᾽ αὐτὸν
οὐδὲ πρὸς τὴν ἰδίαν χρείαν· ὁ δὲ γέρων παρέμενεν οὐκ ἀναχωρῶν· τῇ
οὖν τετάρτῃ ἡμέρᾳ χρείας αὐτὸν καταλαβούσης ἀνοίξας ἐξῆλθε, καὶ ἰδὼν αὐτὸν
πάλιν λέγει τῷ Παύλῳ· ἄπελθε ἐντεῦθεν· τί με ὑποπιάζεις; οὐ δύνασαι ὧ-
δε μεῖναι· λέγει αὐτῷ ὁ Παῦλος· ἀμήχανόν ἐστιν ἀλλαχοῦ με ἀποθανεῖν ἀλ-
λ᾽ ὧδε· περιβλεψάμενος οὖν ὁ Ἀντώνιος καὶ ἰδὼν ὅτι τὰ πρὸς τροφὴν
οὐ βαστάζει· οὐκ ἄρτον οὐχ ὕδωρ· οὐχ ἕτερόν τι· καὶ τετάρτην ἔχει ἡ-
μέραν νηστεύων· ἐλογίσατο ὁ μέγας Ἀντώνιος· ὅτι μή ποτε καὶ ἀποθανὼν
ἀπαραμύθητος μηχανεύσῃ καὶ κηλιδώσῃ μου τὴν ψυχήν· εἰσδέχεται οὖν αὐτὸν
τότε· καὶ τοιαύτην μὲν ἀνέλαβεν πολιτείαν ὁ Ἀντώνιος σκληροτέραν ἐν ταῖς ἡ-
μέραις ἐκείναις οἵαν οὐδέ ποτε ἐν ἀρχαῖς τῆς νεότητος· καὶ βρέξας θαλ-
λοὺς ἐκ φοινίκων λέγει αὐτῷ· δέξαι πλέξαι σειρὰν ὡς βλέπεις με· πλέ-
κει ὁ γέρων μέχρις ἐννάτης ὀργυιὰς δεκαπέντε μετὰ μόχθου πολλοῦ· θεασά-
μενος δὲ ὁ μέγας Ἀντώνιος· τὸ πλέγμα δυσηρέστησε· καὶ ἐπιφερόμενος λέ-

ει αὐτῷ· κακῶς ἔπλεξας· ἀπόπλεξον καὶ ἄνωθεν πλέξον· ἦν γὰρ αὐτῷ
ὄντι τετάρτην ἡμέραν ἀσιτοῦντι· καὶ ἡλικίᾳ τηλικούτῳ αὐτοῦ ἐπήνεγκε
τὸν κόπον· ἵνα δυσφορήσας ὁ γέρων φύγῃ τὸν ἀντώνιον καὶ τὸν βί-
ον τῶν μοναχῶν· ὁ δὲ καὶ ἀπέπλεξε καὶ πάλιν ἔπλεξε τοὺς αὐτοὺς
θαλλούς· πάνυ δυσχερέστερον διὰ τὸ ἤδη καὶ αὐτοὺς ἐκ τῆς πρώτης
πλοκῆς ἐρρυτιδωμένους· θεασάμενος οὖν ὁ μακάριος ἀντώνιος
ὅτι οὔτε ὅπερ ἐφέρετο ἔλυσεν οὔτε ἐμεμψιμοίρησεν· οὔτε κἂν πρὸς βραχὺ
ἠγανάκτησεν· οὐδόλως τὸ πρόσωπον αὐτοῦ διέστρεψεν· κατανυ-
γεὶς ἑαυτοῦ· καὶ δύνοντος τοῦ ἡλίου· λέγει αὐτῷ ὁ ἀντώνιος· παππία
θέλεις φάγωμεν ἄρτου κλάσμα· λέγει αὐτῷ ὁ παῦλος· ὡς δοκεῖ σοι
ἀββᾶ· καὶ τοῦτον πάλιν ἐπὶ πλεῖον ἔκαμψε τὸν ἀντώνιον· τὸ μὴ
προσδραμεῖν προθύμως τῇ τῆς τροφῆς ἀγγελίᾳ· ἀλλ᾽ αὐτὸν ἐπι-
τρέψαι τὴν ἐξουσίαν· θὲς οὖν ὁ ἀντώνιος τῷ γέροντι τὴν τράπεζαν
καὶ ὑπακούσειν· φέρει ἄρτους ὁ ἀντώνιος· καὶ ἐπιτίθησιν τῇ τραπέζῃ
παξαμάδας τέσσαρας· ἔχοντας ἀνὰ ὀγκίας ἓξ· καὶ ἑαυτῷ μὲν ἔβρε-
ξεν ἕνα· ξηροὶ γὰρ ἦσαν· ἐκείνῳ δὲ τρεῖς· βάλλει δὲ ψαλμὸν ὁ ἀντώνιος
ὃν ᾔδει· καὶ δωδεκάτον ψάλλας· δωδεκάτον αὐτῷ ηὔξατο· ἵνα καὶ ἐν τού-
τῳ δοκιμάσῃ τὸν παῦλον· ὁ δὲ γέρων προθυμότερον τοῦ μεγάλου
συνηύξατο· ᾑρεῖτο γὰρ μᾶλλον ὡς οἶμαι σκορπίους ποιμαίνειν· ἢ μοι-
χαλίδι συζῆν· μετὰ δὲ τὰς δώδεκα προσευχὰς ἐκαθέσθησαν τοῦ
φαγεῖν· ἑσπέρας ἤδη βαθείας· φαγὼν οὖν ὁ μέγας ἀντώνιος τὸν πα-
ξαμᾶν τὸν ἕνα· ἄλλου οὐχ ἥψατο· ὁ δὲ γέρων σχολαιότερον ἐσ-
θίων ἔτι εἶχε τὸν παξαμᾶν ὃν ἤρξατο· ἐξεδέξατο οὖν ὁ ἀντώνιος ἕως
οὗ τελέσῃ· καὶ λέγει αὐτῷ· φάγε παππία καὶ ἄλλον παξαμᾶν· λέγει αὐτῷ ὁ
παῦλος· ἐὰν σὺ ἐσθίῃς κἀγώ· σοῦ δὲ μὴ ἐσθίοντος οὐκ ἐσθίω· λέγει
αὐτῷ ὁ ἀντώνιος· ἐμοὶ ἐπαρκεῖ· μοναχὸς γάρ εἰμι· ἀποκρίνεται τῷ
μεγάλῳ ὁ παῦλος· ἀρκεῖ καὶ ἐμοί· κἀγὼ γὰρ μοναχὸς θέλω γενέσθαι·
ἐγείρονται πάλιν καὶ ποιοῦσι δώδεκα προσευχὰς καὶ δώδεκα ψαλ-
μούς· καὶ μετὰ τὰς προσευχάς· καθεύδουσι μικρὸν τοῦ πρώτου ὕπνου·
καὶ πάλιν ἐγείρονται ψάλλειν ἀπὸ μεσονυκτίου ἕως ἡμέρας· ὡς οὖν

ἰδὼν τὸν γέροντα ὁ μέγας ἀντώνιος καὶ ὡς πάντα προθύμως αὐτοῦ ἐπακολου-
θήσαντα εἰς τὴν τῆς ἀσκήσεως πολιτείαν· πάλιν λέγει αὐτῷ· ἴδε ἀδελ-
φὲ ἐὰν δυνάσαι καθ' ἡμέραν οὕτως μένειν μετ' ἐμοῦ· λέγει αὐτῷ ὁ Παῦλος·
ἐὰν μὲν τι πλέον ἔχῃς με διδάξαι οὐκ οἶδα· ἐπεὶ ταῦτα ἴδον σε ποιοῦντα
ποιῶ ἀχέρως κἀγώ· τότε λέγει αὐτῷ ὁ ἀντώνιος· τὴν ἄλλην ἡμέραν· ἐν ὀ-
νόματι τοῦ κ(υρίο)υ ἰδοὺ γέγονας μοναχός· πληροφορηθεὶς οὖν καθ' ὑπερβο-
λὴν ἐν πᾶσι καὶ αὐτὸν ὁ μακάριος καὶ μέγας ἀντώνιος ὅτι τέλειος ἐστὶ πάν-
τῃ χάριτι ὁ τοῦ χ(ριστο)ῦ δοῦλος Παῦλος· ὁ αἰπλαος λίαν ἁπλούστερον· μετὰ μῆνας
ὀλίγους τῆς τοῦ θ(εο)ῦ χάριτος συνεργούσης ἀντωνίου τοῦ μακαρίου ποιεῖ αὐ-
τῷ κελλίον ἀπὸ τριῶν σημείων ἢ τεσσάρων τῆς ἑαυτοῦ κέλλης·
καὶ λέγει αὐτῷ· ἰδοὺ τῇ δυνάμει τοῦ χ(ριστο)ῦ συνεργούσης σοι γέγονας μοναχός·
μένε κατ' ἰδίαν λοιπὸν ἵνα καὶ πεῖραν λάβῃς δαιμόνων· οἰκήσας οὖν καθ'
αὑτὸν Παῦλος ὁ ἁπλοῦς ἔτος ἕν· χαρίσματος ἠξιώθη κατὰ δαιμόνων καὶ νοσημά-
των τοῖς· κατορθώσας καὶ ἄκραν τὴν τῆς ἀσκήσεως ἀρετήν· μιᾷ τοίνυν
τῶν ἡμερῶν καθ' ὑπερβολὴν δεινοτάτῳ δαίμονι· ἤχθη νεανίσκος τῷ ἀν-
τωνίῳ μακαρίτῃ· ἀρχικὸν ἔχων χαλεπώτατον δαίμονα· ὃς καὶ αὐτὸν
οὐρανὸν ἐδυσφήμει· προσεσχηκὼς οὖν ὁ μέγας ἀντώνιος τῷ νεανίσκῳ· λέ-
γει τοῖς ἀγαγοῦσιν αὐτόν· οὐκ ἔστιν τοῦτο ἐμὸν ἔργον· κατὰ γὰρ τούτου τοῦ πράγμα-
τος τοῦ ἀρχικοῦ τούτου δαιμόνων· οὔπω ἠξιώθην χαρίσματος· ἀλλὰ τοῦτό ἐστι
τὸ χάρισμα Παύλου τοῦ ἁπλοῦ· ἀπελθὼν οὖν ὁ μακάριος ἀντώνιος
πρὸς τὸν δόκιμον Παῦλον ἀπήγαγεν αὐτούς· καὶ λέγει αὐτῷ· ἀββᾶ Παῦλε
ἔκβαλε τὸν δαίμονα τοῦτον ἀπὸ τοῦ ἀνθρώπου τούτου· ἵνα ὑγιαίνων ἀπέλθῃ καὶ εἰς τὰ ἴ-
δια καὶ δοξάσῃ τὸν κ(ύριο)ν· λέγει αὐτῷ ὁ Παῦλος· σὺ γὰρ τί· λέγει αὐτῷ ὁ ἀντώ-
νιος· οὐ σχολάζω ἐγὼ ἄλλο ἔχω ἔργον· καὶ καταλείψας τὸν παῖδα ὁ μέγας ἀντώνιος
ὑπέστρεψεν πάλιν εἰς τὴν ἰδίαν κέλλαν· ἀναστὰς οὖν ὁ ἄκακος γέρων καὶ ἐπι-
ευξάμενος ἐκτενεῖ προσευχήν· προσκαλεσάμενος τὸν δαιμονιῶντα λέ-
γει· εἴρηκεν ὁ ἀββᾶς ἀντώνιος ἔξελθε ἀπὸ τοῦ ἀνθρώπου ἵνα δοξάσῃ τὸν
θ(εὸ)ν· ὁ δὲ δαίμων μετὰ δυσφημίας ἔκραξεν· οὐκ ἐξέρχομαι φλυ-
λάρε· λαβὼν οὖν τὴν μηλωτὴν ἑαυτοῦ κατὰ τοῦ νώτου αὐτοῦ ἔτυπτε
λέγων· ἔξελθε εἴρηκεν ὁ ἀββᾶς ἀντώνιος· ὁ δὲ δαίμων ἐλοιδόρει τὸν ἀν-

μετὰ τοῦ παύλου σφοδρότερον λέγοντων· οἱ πολιοὶ φασὶν αὐτοῖς οἱ λεληθαρτημέ-
μοι· οἱ ἄπληστοι οἱ μηδέποτε τοῖς ἰδίοις ἀρκούμενοι· τί κοινὸν ἔχετε μεθ' ἡ-
μῶν· τί ἡμᾶς τυραννεῖτε· πέπειλ(ε)· λέγει αὐτῷ ὁ παῦλος· ἐκβαίνεις ἢ ὑπάγω λέγω
τῷ χριστῷ· κατὰ τὸν ἰησοῦν ἐὰν οὐκ ἐκβαίνεις ἰδοὺ γὰρ ἄρτι ὑπάγω καὶ λέγω τῷ χριστῷ·
καὶ οὐαί σοι ἔχει ποιῆσαι· προσέδυσε φημὴν ὁ σεμνότης καὶ τὸν ἰησοῦν ὁ δαίμων βλασφημῶν
καὶ κράζων· οὐκ ἐξέρχομαι· ἐπὶ τούτῳ χολέσας ὁ ἅγιος παῦλος κατὰ τοῦ δαίμονος
ἐξῆλθεν τῆς ἑαυτοῦ ξενίας ἵσταται τὴν τῆς καθηρᾶς μεσημβρίαν· τῶν δὲ αἰ-
γυπτίων τὸ καῦμα μάλιστα τὸ ἐν τοῖς τόποις ἐκείνοις συγγενές ἐστι ταῖς κατὰ τῆς
βαβυλωνίας καμίνου· καὶ ἵσταται ὡς ὁ στῦλος· ὅπως ὡσεὶ στῦλος ἐπὶ τῆς πέτρ(ας)
ἐν τῷ ὄρει· προσεύχεται λέγων οὕτως· σὺ βλέπεις ἰησοῦ χριστὲ ὁ σταυρωθεὶς ὑπὸ πον-
τίου πιλάτου· ὅτι οὐ μὴ καταβῶ ἀπὸ τῆς πέτρ(ας)· οὐ φάγω οὐ πίω· ἕως οὗ ἀ-
ποθάνω ἐὰν μή μου· ἰδοὺ ἄρτι ἀκούσῃς καὶ ἐκβάλλεις τὸν δαίμονα ἀπὸ τοῦ
ἀνθρώπου καὶ ἐλευθερώσεις τὸν ποιήσας τοῦ πνεύματος τοῦ ἀκαθάρτου· ἔτι ταῦτα λα-
λοῦντος τοῦ παύλου τοῦ ταπεινόφρονος καὶ ἁπλουστάτου ἰησοῦ, πρὸ τοῦ τελεσθῆναι τὸν λό-
γον τοῦ στόματος αὐτοῦ τοῦ καθαροῦ, ἀνέκραξεν κατὰ τὸ πρὸ τὴν κέλλαν ὁ δαί-
μων· ὑπάγω ὑπάγω ἐξέρχομαι βίᾳ· καὶ τυραννίδι ἐλαύνομαι· ἀναχωρῶ
τοῦ ἀνθρώπου οὐκέτι εἰσίζω τὸ ταπεινὸν καὶ ἁπλοῦν παῦλον· ἐλαύνομαι μὲ φυγα-
δεύομαι καὶ ποῦ ἀπελθεῖν οὐκ οἶδα· καὶ παραχρῆμα ἐξῆλθεν ὁ δαίμων· καὶ μετεβλήθη
εἰς δράκοντα μέγιστον ὡσεὶ πηχῶν ἑβδομήκοντα· καὶ ἐπισυρόμενος
ἐπὶ τὴν θάλασσαν τὴν ἐρυθρὰν· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ ψάλλοντος· ἐπι-
δεικνυμένην πίστιν ἀνηγγέλη δικαίοις· καὶ πάλιν ἐν ἑτέρῳ· ἐπὶ τίνα
ἐπιβλέψω φησὶν ὁ κύριος ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου
τοὺς λόγους· ὅθεν γὰρ τὰ ταπεινὰ πέρατα τῶν δαιμόνων ὑπὸ τῶν ἀρχι-
κῶν ἀνθρώπων ἐν τῇ πίστει ἐκβάλλεσθαι· τοῖς δὲ ἀρχικοῖς πάλιν δαιμόνων
ὑπὸ τῶν ταπεινῶν φυγαδεύεσθαι· ταῦτα ἐστὶν θαύματα τοῦ ἁπλοῦ καὶ
ταπεινόφρονος παύλου· καὶ ἄλλα πλείονα καὶ μείζονα τούτων· ὃς ἐπε-
κλήθη ἁπλοῦς παρὰ τῆς ἀδελφότητος·

Παχὼν τις ὀνόματι περὶ τὰ ἑβδομήκοντα ἔτη ἐκαθέζετο ἐν τῇ ξγ
σκήτῃ· συνέβη δὲ ἐμὲ ὀχληθέντα ὑπὸ τοῦ δαίμονος συνεχόμενον ἐπιθυ-
μίᾳ γυναικίᾳ δυσφόρῳ καὶ πρὸς τοὺς λογισμοὺς καὶ πρὸς τὰς φαντασίας

νυκτερινῶν· καὶ ἐπειδὴ ὑπερόμενος τοῦ πειρασμοῦ, ἐξελθεῖν με τῆς ἐρήμου· ἐλθὼν
τὸς με σφοδρὸν ταύτης τοῦ πάθους· τοῖς μὲν γείτοσι τοῖς προσοῦσιν οὐκ ἀνεθέμην
τὸ πρᾶγμα· ἀλλ' οὔτε τῷ διδασκάλῳ μου Μακαρίῳ· λεληθότως δὲ παραβαλὼν
εἰς τὴν πανέρημον ὡς ἐτύγχανον ἐπὶ ἡμέρας δεκαπέντε· τοῖς κατὰ τὴν
σκῆτιν πατράσιν ... ἐν τῇ ἐρήμῳ· ἐμοὶ δὲ περιέτυχον εἰς τὸ πα-
ν... ὄρος ... μακαριώτερον καὶ ἀσκητικώτερον· ἐθάρσησα αὐτῷ ἀναθέσθαι
μοι τὰ τῆς διανοίας· καὶ λέγει μοι οὗτος ὁ ἄλλος· μὴ ἐξείπῃς τὸ πρᾶγμα· οὐ
αὐτὸς πάσχεις ἀπὸ ῥαθυμίας· μαρτυρεῖ γάρ σοι ὁ τόπος καὶ ἡ πάλαι στοιχ...
εἰς τὸ μὴ ἀφ... θλίψεις ἐνθάδε· ἀλλὰ μᾶλλον ἀπὸ σπουδῆς καταρ-
την σωφροσύνην τὸ παρὰ τοῦ ἐναντίου· τριπλοῦς γάρ ἐστιν ὁ πόλεμος
ὁ πορνικός· ποτὲ μὲν ἡ σὰρξ ἡμῶν ἐπιτίθεται εὐπαθοῦσα· ποτὲ δὲ
τὰ πάθη ἡμῖν ἐπανίστανται διὰ τῶν λογισμῶν· ποτὲ δὲ καὶ αὐτὸς ὁ δαί-
μων ἡμᾶς ἐπιτρέχει διὰ τῆς βασκανίας· ἐγὼ γὰρ πολλὰ παρατηρήσας εὕ-
ρηκα τοῦτο· ἰδοὺ ὡς ὁρᾷς με γέροντα ἄνθρωπον τεσσαράκοντα ἔτη ἔχω ἐν τῇ
κέλλῃ ταύτῃ· φροντίζων τῆς ἐμαυτοῦ σωτηρίας καὶ τὴν ἡλικίαν
μέχρι σήμερον πειράζομαι· καὶ ὀμνύοντος λέγοντος ὅτι ... δώδεκα ἔτη μετὰ
τὸ πεντηκοστὸν ἔτος οὐ ... οὐ νύκτα ... ἐχώρησεν· οὐχ ἡμέραν ἐπ-
... μοι· ὑπομονήσαντος οὖν ὅτι ἀπέστη μου ὁ θεός· διὸ καὶ ... δια-
... οὕτως ... ἄλογος· ἡ πάθος
... ἀσχημονῆσαι ... καὶ ἐξελθὼν ... τῆς κέλλης εἰς ἐρημ... τῆς
ἐρήμου· σπήλαιον ... ὕαινης· εἰς ὃ σπήλαιον ἔθηκα ἐμαυτὸν γυμνὸν
... ἵνα ἐξελθόντα τὰ θηρία με καταφάγῃ· ὡς οὖν ἐπῆλθε
... κατὰ τὸ ... ὁ ἥλιος ἐκ ... τὴν δύσιν αὐτοῦ ἔθος ...
καὶ ἐγένετο ... ἐν αὐτῇ δὲ ἐλεύσονται ... τὰ θηρία τοῦ δρυμοῦ
σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν αὐ-
τῶν· ἐξελθόντα οὖν οἱ θῆρες ἔρρεχον ... ὅτε ἄρρενικός καὶ θήλεια·
ὀσφρανθέντες με ... ἀπὸ ποδῶν ἕως κεφαλῆς περιέλειξάν με
καὶ ὡς ἐδόκουν βρωθῆναι ἀνεχώρησαν ἀπ' ἐμοῦ· πεσὼν οὖν δι' ὅλης τῆς
νυκτὸς οὐκ ἐβρώθην· λογισάμενος ὅτι πάντως ἐφείσατό μου ὁ θεός·
αὖθις οὖν ἐπέστρεψα εἰς τὴν κέλλαν· καρτερήσας δὲ ἐν ... ὀλίγας

λιμ μοι ἐπέθετο τούτων πολὺ σφοδρότερον· ὡς παρὰ μικρὸν με ἐκβλασφημῆσαι· μετὰ σχήματα ποθῆσαι γὰρ δὲ αἰβίου τοῦ κόρην· ἣν ἑωράκει ποτὲ ἐν Μεσοποταμίᾳ ἐν τῷ θέρει κολλαμομένην· ταύτην ἔδοξα ἐπὶ καθεσθῆναι μου τοῖς στόμασιν· καὶ ἐπὶ τοσοῦτον με κεκίνηκεν· ὡς νομίσαι με συγγεγενέσθαι ταύτῃ· ἀπόμαμ δὲ οὖν ἐκ τοῦ ἔδους καὶ αὐτὴν κόσιον καὶ οὕτως γέγονε μανὰ φαντος· καὶ πιστεῦσαί μοι λέγοντι πρὸ τί τῆς δυνάμεως διὰ τῆς χειρός μου ἐποίει τί αὐαὐ ἐχέσθαι οὐκ ἠδυνάμην· μικρὸν τυχὸν οὖν καὶ ἐν τῷ τόπῳ μαζόμ(ε)ν καὶ ἐπεῦδοκήσας ἐμαυτὸν δὲ τέλος· ἐξῆλθον δὲ τὴν πανέρημον ἀλλόμενος καὶ εὗρον ἀσπίδα μικρὰν καὶ λαβὼν αὐτὴν προσέφερον τοῖς γεννητικοῖς μου μορίοις· ἵνα καὶ οὕτως δηχθεὶς ὑπ' αὐτῆς ἀποθάνω· καὶ προσεῖλκον τὴν κεφαλὴν τοῦ θηρίου τοῖς μορίοις ὡς αἰτίοις μοι τοῦ πειρασμοῦ γενομένοις· οὐδὲ οὕτως δηχθῆναι προνοίᾳ τῆς χάριτος· μετὰ δὲ ταῦτα ἤκουσα φωνῆς ἐλθούσης ἐν τῇ διανοίᾳ μου· ὅτι ἄπελθε πάλαιε φιλονείκου· διὰ γὰρ τοῦτο ἀφῆκά σε ἐπὶ τοσοῦτον καταδυναστευθῆναι σε· ἵνα μὴ μέγα φρονήσῃς ὡς αὐτὸς δυνάμενος τοῦ δαίμονος τοῦ τοιούτου περιγενέσθαι· ἀλλ' ἐπιγνῶ κὰς σου τὴν ἀσθένειαν· μηδέποτε θαρσήσῃς τῇ πολιτείᾳ· ἀλλὰ ἀεὶ προσδράμῃς τῇ τοῦ θεοῦ βοηθείᾳ· οὕτως πληροφορηθεὶς δὲ ἀνέκαμψα δὲ τὴν κέλλαν· καὶ μετὰ θάρσους λοιπὸν καὶ θείου καὶ μηκέτι φροντίσας τοῦ κατὰ τὴν γυναικομανίαν πολέμου· εἰρηνάσας ἐκ τῆς μάχης ἐκείνης τὰς ὑπολοίπους ἡμέρας· ὁ δὲ δαίμων ἐγγίχος μου τὴν δὲ αὐτὸν κατὰ φρόνησιν· λοιπὸν ἔσχον δὲ οὐκέτι μου ἤγγισε· τούτοις τοῖς λόγοις τοῖς πρὸς τὸν σατανᾶν ἀποθλάσεις μετὰ τοῦ· ὁ ἀββᾶς παλχωνακηρίσας με· καὶ γενναιότερον πρὸς τοὺς πόνους ἀλείψας με· φέρειν ῥᾳδίως τὸν πόλεμον τοῦ τῆς πορνείας δαίμονος· ἐκδιδάξας ἀπέπεμψεν ἐν εἰρήνῃ πάσῃ ἀνδρίζεσθαί με παρακαλέσας·

ξε Στέφανός τις Λίβυς τὸ γένος ἐκ πλησίου τῆς Μαρμαρικῆς καὶ τοῦ Μαρεώτου ἐκαθέσθη ἐπὶ ἑξήκοντα ἔτη· οὗτος δὲ ἄκρον γενόμενος ἀσκητὴς καὶ διακριτικὸς καὶ τῇ ἰδιότητι χαρίσματος· ὡς πάντα τὸν λυπούμενον ὁμοίως ἀηδιῶντα ἀπελθεῖν· συντυχόντα αὐτῷ· ἄλυπον ἀναχωρεῖν ἀπ' αὐτοῦ· γνώριμος δὲ οὗτος ἦν καὶ τῷ μακαρίῳ Ἀντωνίῳ· ἔφθασεν δὲ καὶ μέχρι τῶν ἡμετέρων καιρῶν· ὡς ἐτῶν μὲν οὖν ὢν ἐτυχομεν διὰ τὸ μῆκος τῆς ὁδοῦ· οἱ δὲ

περὶ τὸν ἀλλόφυλον ἀμείνονα μίαν καὶ δ' ἄριστον ἐπιτυχόντα αὐτοῦ. αὐτοὶ μὲν δι' ἀκι-
σαν τό· ὅτι καταλειφθησόμενον αὐτὸν ἀφορμίαν ταύτῃ κατὰ πάντας σὺν τῷ κάτω
τοῦ τε τόπου φησὶν τοῦ διδύμου καὶ τῆς βδελλίγου· ἕλκος ἀποικίσαντα
τὴν λεγομένην μνήμην παραπέμψαι φαγάδαιναν· ὃν ἀγρομένην ἐπὶ μέλους μόνον τι-
τιμος ἰατρός· καὶ ταῖς μὲν χερσὶν ἐργαζόμενος καὶ πολέκον πάθη ἄλλων τῶν ἀλλο-
λα λοιπὰ δὲ καὶ ἡμῖν τὸ δέλεαρ τῶν σωμάτων ἀχρειζόμενον· ὅς οὕτως ἦν διὰ χάριν
τῇ χάριτι τῆς ὑπομονῆς· ὥς ἕτερος τινὸς σώματος διαπεμπομένου· ἀποκο-
πτέν τῶν δὲ τῶν τούτου μελῶν καθάπερ τριχῶν ἀνεπαισθήτως οὕτως ἐμεῖν
ἄτρεπτος ὑπερβολῇ παρασκευῆς θεϊκῆς· ἡμῶν δέ φησι τοῦτο μὲν ὑπολυ-
πουμένων τοῦτο δὲ καὶ σιαινομένων· ὅπιο ὅπου οὕτως βίου τοιούτου ἀνδρὸς τοιοῦτον πε-
πέπτωκε πάθος· καὶ ἰατρῶν χειρουργίαις ταύταις· αἰσθόμενος δὲ ὁ μακάρι-
ος ἔφη τοῖς λόγοις μου ἡμῶν, λέγε ἡμῖν· μὴ βλαβῇ ἡ περὶ κυρίαν ἐκ τοῦ
σώματος τούτου· ἴσως γὰρ καὶ ὑπεύθυνα ἦν τὰ μέλη κολάσεως· καὶ συμφέρον ἐ-
στὶν ταῦτα ὧδε δοῦναι τὴν δίκην· ἢ μετὰ τὴν ἔξοδον τοῦ ἐνθάδε σταδίου· οὕ-
τως ἡμᾶς παρακαλέσας καὶ τοῖς τοιούτοις λόγοις τῆς ὑπομονῆς τῇ ἐλπίδι ὠχο-
δόμησεν· ἐγκαρτερεῖν τοῖς θλιβεροῖς· ταῦτα δὲ διηγησάμην, ἵνα μὴ ξενι-
ζόμεθα· ὅταν ἁγίους τινὰς ἴδωμεν τοιούτοις περιπεσόντας δεινοῖς πάθεσι·
Ὑαλᾶς τις γέγονεν τὸ μὲν γένος Παλαιστινός· τῇ δὲ τιμῇ Κορίνθιος· σοφίζομενος
τὸ φρόνημα· ὁ γὰρ μακάριος ἀπόστολος Παῦλος Κορινθίοις γράφων τούτου
τὸ πάθος προσῆλθε τῆς φύσεως ἡμῶν· καὶ ὑπερηφανευόμενος ἑαυ-
τοῦ ὁ αὐτὸς οὐαλῆς τὴν ἔρημον κατέλαβεν· ὃς κατ' ἐμὲ ἐπὶ πλεῖον
ἔτη ὅτι μεγάλην βίου σκληραγωγίαν τὸν ἄκρον βίον τῆς ἀσκήσεως κατορθώσας
ὑπὸ τῆς οἰήσεως καὶ τύφου δαίμονος δελεασθείς· εἰς ἄκραν κορυφὴν ἐξεπ-
εσεν ὑπερηφανείας· ὡς ὑπὸ δαιμόνων αὐτὸν ἀπατηθῆναι· ἐκ γὰρ τοῦ ὀλέθρου
πάθους τῆς οἰήσεως ἐπαρθεὶς καὶ μικρὸν ἀπατώμενος τὴν διάνοιαν αὐτοῦ
παρεσκεύασεν μέγα φρονῆσαι· ὡς ἄλλοτε αὐτοῦ συντυχόντων· καὶ τὰ πρὸς ἐκφορὰν
διακονίαν αὐτοῦ ἐκτρεπομένων· μιᾶς οὖν τῶν ἡμερῶν, ὡς διηγοῦνταί τι-
νες συνήθως· ὅτι ἐργαζόμενος τὰς σπυρίδας ἀπώλεσεν τὴν βελόνην· ζητήσας αὐτὴν
καὶ μὴ εὑρὼν ἐπ' ἐρήμοις βαθύ· καὶ μὴ εὑρίσκοντος ταύτην αὐτοῦ λαμπάδα τινὰ
δαίμονα ἐποίησεν· καὶ οὕτως ἦν ἀπολέσειν εὗρεν βελόνην· ὥς πάλιν αὐτὸν καὶ ἐπὶ

ὀγκωμένῳ φυσηθέντα τῷ ὀργισθῆναι τὸν ἄθλιον· ὥστε αὐτὸν χωρισθῆναι φρονήσεως τῶν
φρικωδεστάτων μυστηρίων τοῦ Χριστοῦ· τοῦ οὖν δούλου τοῦ Χριστοῦ κατοικτειρήσαντος αὐτοῦ
τὸν θάνατον τῇ ἀδελφότητι πᾶσιν ἐγένετο καὶ κατάδηλον τὴν τούτου βλάβην ἣν ᾠκο-
νόμησεν ὁ μοναχός· συνέβη χειμῶνι μιᾶς δὲ ἐλθεῖν στρώματα ἐνεγκεῖν τῇ ἀ-
δελφότητι· λαβὼν οὖν ὁ κύριος μακάριος ὁ πρεσβύτερος ἡμῶν ἀπέστειλεν
ἐκ τῶν ἀδελφῶν εἰς τὴν κέλλαν πρὸς δραχμάς· ἐμοὶ καὶ τοῦτο τὸ παλαιὸν πόρνῳ οὐ ἀλλ᾽ ἐμοὶ
ἀπέστειλεν· ὁ δὲ λαβὼν τὸν κομίσαντα ὕβρισεν καὶ ἐπετίμησεν λέγων· ἄπελθε
εἰπὲ μακαρίῳ ὅτι οὐκ ἀμήσω σου χοῖρον· ἱμάτια δὲ ἐμοὶ εὐλογίαν πέμψας· γνοὺς οὖν ὁ θεῖος
μακάριος ὅτι ἐπλανήθη· μετὰ μίαν ἡμέραν ἀπῆλθεν αὐτὸν παρακαλέσαι καὶ λέγει αὐ-
τῷ· ἀδελφὲ σὺ ἀλλ᾽ ἐνεπαίχθης· παῦσαι καὶ δεήθητι τοῦ θεοῦ· ὁ δὲ οὐ προσήκατο
ταῦτα παραινέσεως τοῦ ἁγίου μακαρίου· ὡς δὲ εἶδεν αὐτὸν ἀπαθοῦντα ὁ ὅσιος· ἀνα-
χωρήσαντος αὐτοῦ σφόδρα φιλανθρωπούμενος καὶ θλιβόμενος ἐπὶ τῇ τούτου ἀπάτῃ· πληροφορηθεὶς
οὖν ὁ δαίμων ὅτι εἰς ἄκρον αὐτοῦ ἐπείσθη τῇ πλάνῃ· ἀπελθὼν σχηματίζεται αὐτὸ
εἰς τὸν σεβάσμιον ὁ διάβολος· καὶ παραγίνεται ἐν νυκτὶ πρὸς αὐτὸν μετὰ τῶν αὐτοῦ δαιμό-
νων ἐν φαντασίᾳ ὡς ἀγγέλων δῆθεν χιλίων λαμπαδηφόρων· καὶ διεγείρει αὐτὸν
τὸν ὄχλον θύρινον· ἐμὲ ἔδοξεν μέσον τὸν σεβάσμιον σχηματίζων· καὶ ἐναπολαβάνον
τὰ τῶν δαιμόνων ὡς ἀγγέλων λεγόντων αὐτῷ· κεκράτηκας ὁ Χριστὸς τὴν πολιτείαν καὶ τὴν
παρρησίαν τοῦ βίου· καὶ παρεγένετο πρὸς σὲ τοῦ ἰδεῖν σε· ἐξελθὼν τῆς κέλλης σου καὶ μηδὲν
ἀλλοποιήσας· ἀλλὰ πόρρωθεν μετὰ καὶ τοῦτον ἰδὼν τὸν ἐν μέσῳ ἑστῶτα Χριστὸν προσ-
κύνησον καὶ εἰσελθὲ εἰς τὴν κέλλαν· ἐξελθὼν οὖν ὁ οὐ ἀλλὰ καὶ θεασάμενος παρα-
τάξιν λαμπαδηφόρων· ὡς ἀπὸ σταδίου ὁ δὲ τὸν ἀντίχριστον· πεσὼν προσεκύνησεν
ἔπειτα τοσοῦτον οὖν ἔφερεν βλάβης ἐν αἰχμαλωσίᾳ τὸν ἑαυτὸν τῇ φύσει ὥστε τοῦ
δαίμονος καταπτήσας ὁ ἄθλιος· ὡς μετὰ μίαν ἡμέραν ἐλθόντα εἰς τὴν ἐκκλησίαν
ἐπὶ πάσης τῆς ἀδελφότητος φησίν· ἐγὼ κοινωνίας χρείαν οὐκ ἔχω, τὸν Χριστὸν γὰρ ἑώ-
ρακα σήμερον· τότε λαβόντες αὐτὸν πάντες οἱ πατέρες· δεσμοῦσι σιδήρῳ·
ἐπὶ ἐνιαυτὸν ἕνα· καὶ συνεχέσι ταῖς ὑπὲρ αὐτοῦ εὐχαῖς καὶ ποικίλῃ ἀδιαφορήσει καὶ πά-
τερες βίου τὸ οἰκεῖον αὐτοῦ καθελόντες ἀπέθεσαν πείσαντες κατὰ τὸ λεγόμενον·
τοῖς ἐναντίοις τὰ ἐναντία ἰώμενοι· ἀναγκαῖον οὖν ἐστὶν καὶ τοῖς τῶν ἤπαν-
τημένων βίοις ἐνθεῖναι τῇ βίβλῳ ταύτῃ· πρὸς ἀσφάλειαν τῶν ἐντυγχανόντων
καθάπερ καὶ τοῖς καλλίστοις φυτοῖς τὸ ἀπὸ δένδρου· συνέστι τὸ ξύλον τοῦ γινώσκειν·

καλὸν καὶ τὸν μικρόν· ἵνα εἴ πως συμβαίη κατορθοῦν τι, μὴ μεγαλοφρονήσῃ
ἐπὶ τῇ ἀρετῇ· πολλάκις γὰρ καὶ ἀρεταὶ ὑπόθεσις γίνονται πτώσεως τοῖς μὴ προ-
σέχουσι· τῷ μὴ μετὰ ὀρθῆς αὐτὰς κατορθοῦν σοφίας τε καὶ διακρίσεως· τοῦ
τῆς θεοσεβείας σκοποῦ καταπεπραγμένον· ἴδον δίκαιον ἀπολλύμενον·
ἐν δικαιοσύνῃ αὐτοῦ· καί γε τοῦτο ματαιότης.

ξ Ἥρων τις γέγονε γείτων μοι Ἀλεξανδρεὺς τὸ γένος· ἀγαθὸς νέος περ, εὐφυὴς τὴν διά-
νοιαν· καθαρὸς τὸν βίον· ὃς καὶ αὐτὸς μετὰ πόνους μεγάλους καὶ ἱδρῶτας γενναίους
ἐν βίῳ φθάσας ἀκρονομεῖν ἀρετῶν· τῷ τύφῳ τῆς ἀπονοίας ἀρθεὶς εἰς ὕψος μετέωρον
κατέθεν ἑλεεινὸν πᾶσι πτῶμα καταμεμέχθη· ἐξετραχηλίσθη· καὶ κατὰ τῶν
ἁγίων πατέρων οἴησιν ματαίαν κινούμενος· καὶ μεγαλοφρονήσας τοὺς πάντας
ὑβρίζειν· καὶ μετὰ τούτων δὲ τὸν μακάριον Εὐάγριον λέγων· ὅτι οἱ πειθόμενοί σοι
τῇ διδασκαλίᾳ ἀπατῶνται· οὐ χρὴ γάρ φησι διδασκάλοις ἑτέροις χρᾶσθαι
παρεκτὸς τοῦ Χριστοῦ μόνου· ἀποχρησάμενος δὲ καὶ τὴν μαρτυρίαν πρὸς τὸν κατὰ
μὲν ὀνομα αὐτοῦ σκοπὸν τῆς ἑαυτοῦ μωρίας ἔλεγεν· ὅτι αὐτὸς ὁ σωτὴρ λέγει· μὴ καλέ-
σητε διδάσκαλον ἐπὶ τῆς γῆς· ὃς ἐπὶ τοσοῦτον καὶ αὐτὸς ἐσκοτώθη τῷ λογισ-
μῷ· τῇ κενῇ δόξῃ τῆς οἰήσεως καὶ ἀλυσωθὲν κάτωθεν ἐνεχθῆναι· ὡς καὶ αὐτὸν ὑφε-
σιδηρωθῆναι· μὴ θέλοντα τὴν οἰκίαν· μηδὲ τοῖς μυστηρίοις αὐτοῖς προσέχειν·
φίλη δὲ τῇ ἀληθείᾳ καθ' ὑπερβολὴν λέγεται ὡς καὶ ἐν τῇ ἀρείᾳ πολιτεύεσθαι· ὡς πο-
λλοὺς διηγήσασθαι τοὺς ἐν συνηθείᾳ αὐτοῦ· τὴν ἄκραν αὐτοῦ τῆς ἀσκήσεως πολιτ-
λευομένων τινῶν· ὅτι πολλάκις διὰ τριῶν μηνῶν ἐσθίει ἀρκούμενος μόνῃ τῇ κοινω-
νίᾳ τῶν μυστηρίων· καὶ ἔσθ' ὅπου παραφανὲν ἄγριον λάχανον· ὀψὲ δὲ τοῦ τε εἰλη-
φα κἀγὼ μετ' αὐτοῦ μακαρίῳ Ἀλβίνῳ ἐπὶ τὴν σκήτην· ἀπεῖχε μὲν δὲ ἡμῶν σχοῖ-
νους τεσσαράκοντα σημείοις· ἐν τοῖς τοῖς τεσσαράκοντα σημείοις δὶς ἔφαγεν βε-
βρωκώς· καὶ τρίτον ἔπιον ὕδωρ· ἔκαμνος δὲ μηδόλως ἔτι σωματικῶς πεζοῖς
βαδίζων· ἀπεστήθιζεν ψαλμοὺς δεκαπέντε· ἐπὶ τὸ αὐτὸ μέγα· εἶτα τὴν πρὸς
Ἑβραίους ἐπιστολήν· εἶτα Ἡσαΐαν καὶ μέρος Ἱερεμίου τοῦ προφήτου· εἶτα Λουκᾶ
τὸν εὐαγγελιστήν· ἔπειτα τὰς παροιμίας· καὶ τοῦτο οὕτως ἔχων καταλαμ-
βάνειν αὐτὸν οὐκ ἠδυνάμεθα βαδίζοντα· οὗτος τελευταῖον τῇ τοῦ πονηροῦ
δαίμονος συνεργείᾳ ληφθεὶς· ὡς ὑπὸ σφοδροτάτου πυρὸς ἐλαυνόμενος· ἐν
τῇ κέλλῃ μένειν αὐτοῦ καθεσθῆναι οὐκ ἠδυνήθη· ἀπελθὼν δὲ εἰς τὴν Ἀλεξάνδρ-

ἀντ' αὐχαίας ἐπὶ τὸ κατὰ θεὸν οἰκονομίαν· τὸ δὴ λεγόμενον· ἧλον τῷ ἥλῳ ἐξέκρου-
σεν· περιέπεσεν γὰρ ἑκουσίως εἰς ἑτέραν τὴν ἀδιαφορίαν· ἀδρανῆ μὲν ὡς ἀκου-
σίου στέλλων· παρέβαλεν γὰρ καὶ θεάτροις καὶ ἱπποδρομίαις· καὶ τὰς διατριβὰς
εἶχεν ἐν καπηλείοις· οὕτως δὲ γαστριμαργῶν καὶ οἰνοφλυγῶν· ἐνέπεσεν καὶ εἰς
τὸν βόρβορον τῆς γυναικείας ἐπιθυμίας· καὶ ὡς ἔσχε πρὸς ἁμαρτῆσαι·
μιμάδι τινὶ προσομιλῶν· συνεχῶς ἐπὶ τὸ αὐτὸ τὸ ἕλκος αὐτοῦ διελέγετο· τού-
των οὕτως συναπτομένων διαπεπραγμένων· γίνεται αὐτῷ κατὰ θείαν οἰκονομίαν
ἄνθραξ κατ' αὐτῆς τῆς βαλάνου· καὶ ἐπὶ τοσοῦτον ἐνόσησεν ἑξαμηναῖον ※
ὥστε σαπῆναι αὐτοῦ τὰ μόρια καὶ αὐτόματα ἀποπεσεῖν· ὕστερον δὲ ὑ-
γιάνας καὶ ἐπανελθὼν ἄνευ τούτων τῶν μελῶν· καὶ εἰς φρόνημα θεϊκὸν ἐλθὼν
καὶ εἰς μνήμην τῆς οὐρανίου πολιτείας· καὶ ἐξομολογησάμενος πάντα τὰ συμβε-
βηκότα αὐτῷ τοῖς ἁγίοις πατράσιν· ἐνεργῆσαι τὴν πολιτείαν μὴ φθάσας·
ἐκοιμήθη μετ' ὀλίγας ἡμέρας· ἐνεργῆσαι τὴν πολιτείαν μὴ φθάσας ζη
Ἄλλος τις πάλιν Πτολεμαῖος ὀνόματι· [illegible] ἀνεκδιήγητον τὸ
ἀρετῆς βίον ἀσκήσας· τὸ καταρχὰς ᾤκησεν ἐπέκεινα τῆς Σκήτεως
εἰς τὴν καλουμένην κλίμακα· τόπος δὲ ἐστὶν οὕτω καλούμενος· εἰς ὃν οὐ-
δεὶς ἠδυνήθη οἰκῆσαί ποτε τῶν μοναχῶν· διὰ τὸ ἀπὸ δεκαοκτὼ σημεί-
ων εἶναι τὸ φρέαρ τοῦ ὕδατος· βαστάσας οὖν ἐκάμνος κεράμια Κιλίκια
πλάσματα· ἐκεῖσε ἀπήνεγκεν· καὶ τῷ Δεκεμβρίῳ καὶ Ἰανουαρίῳ μηνί· συνά-
γων σπόγγῳ τὴν δρόσον ἐκ τῶν πετρῶν· δροσίζει γὰρ ἐν ἐκείνοις τοῖς
μέρεσι τότε πολλά· καὶ ταῦτα κεράμια πληρώσας τῆς δρόσου διήρκει
αὐτῷ· ἐπὶ δεκαπέντε ἔτη τοῦτο ποιῶν· πλεῖστον χρόνον οἰκήσας ἐκεῖ· μηδό-
λως τινὶ συντυχών· ὃς ἀποξενωθεὶς διδασκαλίας πνευματικῆς· καὶ συντυχί-
ας ἀνδρῶν ὁσίων· καὶ ὠφελείας ἄλλων πατρῶν· καὶ συνεχοῦς κοινωνίας τῶν τοῦ
Χριστοῦ μυστηρίων· ἐπὶ τοσοῦτον ἐμάνη ἐκτραπεὶς τῆς εὐθείας ὁδοῦ· ὡς τῷ
παραπεσεῖν τῷ ἀεὶ βουλευομένῳ αὐτοματισμῷ· καὶ τοιοῦτον τὸν ἄθλιον
ὁμολογεῖν τοῦ τῆς πλάνης δαίμονος αὐτὸν στρατηγοῦντος λοιπόν· οὕτως γὰρ
ὁ δυστυχὴς ἐκεῖνος τοῦτο ὑπέθετο λέγειν μηδεμίαν οὐσίαν ἔχειν τὰ πράγ-
ματα· ἀλλ' ἁπλῶς εἶναι πάντα αὐτὰ ἐκ τούτου κόσμου· αὐτομάτως φέ-
ρεσθαι· ὑπέβαλεν δὲ αὐτῷ ὁ πολέμιος τῆς παλιζωῆς· ἐν σκηνώσει

λως ὡς τὴν τούτων μετοχὴν λέγων ταύταις λοιπὸν τῶν οὕτως ἐχόντων· τι-
μᾶν τὴν σεαυτοῦ οὕτως θαυμάζεις· ἵνα ὡς τοιούτοις οὖν σοι Πτολεμαῖε μὴ
οὔσης ἄν τι μισθία· ποῖος δὲ σοι μισθὸς ἂν ἐξήρκεσεν τούτων τῶν πό-
νων· ἢ τίς ἡμῶν ὁ ἀποδιδούς σοι· ποῖα δὲ καὶ κέλευσις ἔτι ἡμῶν ἀπαλλοιοῦσιν
αἰσθέσθαι· ἀπρονοήτων ὑπαρχόντων καὶ ματαίων· τούτοις τοῖς σα-
τανικοῖς λογισμοῖς καταληφθεὶς ὁ ταλαίπωρος Πτολεμαῖος· λέγεται
φέρεσθαι μετέωρος· ἐξεστηκὼς τῶν κατὰ φύσιν φρενῶν· μέχρι τῆς
δεῦρο ἀλώμενος ἐν Αἰγύπτῳ· ἐκδοτὸν ἑαυτὸν δεδωκώς· γαστριμαργί-
αις καὶ οἰνοφλυγίαις· μηδενὶ μηδὲν ὁμιλῶν· ἀλλ' ἐμμενὼς ἀνακάμπτων τὴν
ἀγορὰν· ἐλεεινὸν μὲν θέαμα καὶ πλῆρες δακρύων περικείμενος χριστι-
ανῶν ὀφθαλμοῖς· παίγνιον δὲ καὶ χλεύη τοῖς ἀγνοοῦσι τὸν ἡμέ-
τερον βίον· αὕτη δὲ ἡ ἀνίατος συμφορὰ· καταλήψα τὸν ἐλεεινὸν
Πτολεμαῖον ἐκ τῆς ἀλογίστου οἰήσεως· τὸν νομίζοντα αὐτὸν ἐμπαιζόμενον
ὑπὸ τοῦ διαβόλου· ὅτι τιμῶσιν ἔχων ὑπὲρ πάντας τοὺς ἄλλους ὥρας·
διὰ τῆς φύσεως ὁ ἑαυτοῦ πολέμιος· ὡς τὸν βυθὸν τοῦτον κατεποντί-
σθη τῆς ἀπωλείας· μηδέποτε τινὶ συντυχὼν τῶν ἄλλων τῶν
σοφῶς κυβερνησάντων· ἐν τῇ τοῦ θεοῦ πνευματικῇ διδασκαλίᾳ κυβερνη-
θείς· ἀλλ' ἀκυβέρνητος ἀφεθεὶς· καὶ ὑπὸ τῆς σκοτεινῆς λαίλαπος χειμασ-
θεὶς· εἰς ἔσχατον πυθμένα θανάτου ἐξώκειλεν· ὥσπερ δὲ δένδρον πρω-
ϊμαῖον καὶ εὐθαλὲς κομῶν τοῖς φύλλοις καὶ τοῖς καρποῖς ἐν μιᾷ καιροῦ ῥοπῇ
πάντων ἀθρόον γυμνωθὲν ἀνεδείχθη ξηρόν· κατὰ τὸ γεγραμμένον· τοῦ-
το δὲ ἐφαρμόζω· οἷς μὴ ὑπάρχει κυβέρνησις πίπτουσιν ὥσπερ φύλ-
ξθ Παρθένον εἶδον ἐγὼ ἐν Ἱεροσολύμοις· σακκοφοροῦσαν ἐπὶ ἑξαετίαν· καὶ
κέλλῃ ἐγκεκλεισμένην· μηδενὸς ποτὲ τῶν ὡς ἡδονὴν συντεινόντων με-
ταλαβοῦσαν· ἀλλὰ ἄκρον πολιτείαν ἐγκρατευσαμένην ἐξασκοῦσαν ἐν γυναι-
ξίν· ἥτις ὡς ὕστερον ἐγκαταλειφθεῖσα ὑπὸ τῆς τοῦ θεοῦ βοηθείας ὑπερ-
βολῇ ὑπερηφανίας· τῆς τιθηνούσης πάντα κακόν· ἐξαισίῳ πτώμα-
τι περιέπεσεν· ἀνοίξασα γὰρ τὴν θυρίδα τῆς κέλλης· ἐδέξατο τὸν ὑ-
πηρετοῦντα αὐτῇ· καὶ τούτῳ συνεφθάρη· τοῦτο δὲ ταύτῃ συνέβη· τὸ
μὴ κατὰ σκοπὸν καὶ πρόθεσιν ἵνα τὴν θεοῦ ἐσχηκέναι τὴν ἄσκησιν·

ἄλλαι κατὰ σκηνὴν ἀΐδιον, τουτέστι κενοδοξίαι· σαθρᾶς προαιρέσεως ἀρετῶν·
τῶν γὰρ εὐσεβῶν λογισμῶν αὐτῆς ὑποσκελισθέντων ὑπὸ τοῦ δαίμονος τῆς
κενοδοξίας· ἐξήρκεσεν ταῖς ἡμέραις τοῦ καιροῦ προσκαίρων τῶν ἀλλοτρίων ἀσκητηρίων·
ἐκβαλλομένης δὲ ταύτης ὑπὸ τοῦ δαίμονος τῆς ὑπερηφανίας· καὶ τοῦ τὸν
λόγον συνηδομένης· ἀπέστη πάντα αὐτῆς ὁ θεῖος ἄγγελος· ὁ φύλαξ τῆς σωφρο-
σύνης· διὰ γὰρ τοῦτο γεγράφαμεν τὰ περὶ τοῦ ἀνδρός· καὶ τῶν ἐξάρε-
της κατορθωκότων τὸν βίον· καὶ τὸν ἀπορθωθῆναι ἐξ ἄκρας πολιτείας· με-
τὰ πόνους πολλοὺς χρησθέντας ὑπὸ τοῦ διαβόλου ταῖς πανουργίαις τοῦ του-
σαμένοις· ἵνα ἕκαστος ἐκ τῆς ἑαυτοῦ πολιτείας τοῦ μείζονος καλοῦ καταμαν-
θάνων τὰ κεκρυμμένα δείκνυται· φεύγειν τὰς τούτων παγίδας· πολλῶν
γὰρ οὖν τῶν καὶ μεγάλων ἀνδρῶν τε καὶ γυναικῶν τῶν κατὰ παρ' χαλάσαι τὴν ἐνά-
ρετον τῆς ἀσκήσεως πολιτείαν κατορθωσάντων· τελευταῖον δὲ ὑπὸ τοῦ
αὐτοῦ ἀπολλυμένων αὐτῶν ἐκριζωθέντων· ἀπὸ τῶν πολλῶν μνημο-
νεύσας ὀλίγων· ἀπὸ σιωπῆς ποιοῦσι πλήθους· μὴ πεποιηκότα ἀναγνωστῶν· μὴ
πεπείραντο ὄφελος ἐπὶ πολὺ τούτοις προσδιατρίβων· καὶ τῶν ἐξόχων τοῦ
Χ(ριστο)ῦ ἀμελλῶν ἀθλητῶν· τὸ μηδὲ νικηθῆναι μᾶλλον ὑπὸ τῶν ἀρετῶν τῆς εὐθείας +

Ἡλίας τις τοὔνομα πατὴρ ἄριστος ἀσκητὴς σφόδρα γέγονεν φιλοπάρθενος· τοῦ ἀθε-
μετέρου μέλους ποιούμενος πρόνοιαν· εἰσὶ γὰρ τοιαῦται ψυχαὶ ἀσκη-
τικαί· τὸ τέλος ὅτι καὶ ἀρετὴν τοῦτο ποιοῦσιν· οὗτος κατοικτείρας τὸ τά-
γμα τῶν ἀσκητριῶν ἐν Ἀθλίβει τῇ πόλει· ἔχων ἀναλώματα· ᾠκοδό-
μησεν μεγάλην μονήν· καὶ συνήγαγεν πάσας τὰς ἀλωμένας ἐν τῷ μονα-
στηρίῳ· ἀκολούθως αὐτῶν φροντίζων· καὶ πᾶσαν ἀνάπαυσιν αὐταῖς παρα-
σχὼν ἀνάπαυσιν τῶν πρὸς τὴν χρείαν· καὶ κήπους καὶ τὰ τούτων χρειώδη·
καὶ ἀπαξαπλῶς πάντα ὅσα ἀπαιτεῖ ὁ τῆς ἀσκήσεως βίος· αὗται δὲ
ἐκ διαφόρων βίων καὶ συνηθείας ἰδίας ἠγμέναι· συνεχῶς ἐμάχοντο ἔσ-
ω μετ' ἀλλήλων· ἐχρῆν δὲ ἀναγκαίως τοῦτον τὸν θεῖον καὶ διακούειν τού-
των καὶ εἰρηνεύειν αὐτάς· ἦσαν γὰρ ὡς τριακόσιαι συνηγμέναι· καὶ ἀνάγκην
ἔχειν μεσιτεύειν αὐτὰς ἐπὶ δύο ἔτη μέσην ἄγων τὴν ἡλικίαν· ἦν γὰρ ὡς ἐτῶν τρι-
άκοντα ἢ τεσσαράκοντα ἐτῶν· συνέβη δὲ πειράζεσθαι ὑπὸ τοῦ ἐ-
ναντίου φρονήματος· καὶ ἀναχωρήσας τοῦ μοναστηρίου μὴ τῆς ἐπιθυμίας

τοῦ ἀββᾶ τῇ ἐρήμῳ μονῇ ἐπὶ ἡμέρας δύο· τοῦ θεοῦ δεομένου· ἔλεγον· κύριε· ἢ ἄλλως καὶ τὴν μονὴν με-
ἢ ἵνα μὴ ἴδω ταῦτα τὰ θλιβόμενα· ἢ τὸ πάθος μου λάβε· ἵνα αὐτοῦ φροντί-
ζω καταλιπών· ἐπεὶ ἔσω τοῖς ἀπερχομένοις ἦν ὡς ἐν τῇ ἐρήμῳ· ἐλθόν-
τες δὲ πρὸς αὐτὸν ἄγγελοι τρεῖς ὡς αὐτὸς διηγήσατο· ἔλεγον· πῶς κατέσχομεν αὐτόν·
ἔλεγον αὐτῷ· τί ἐξῆλθες ἀπὸ τοῦ μοναστηρίου τούτου ἄκων· διηγή-
σατο δὲ τοῖς τὸ πρᾶγμα εἰπών· ὅτι φοβηθεὶς ἤμην πῶς καταφρονήσω
ἐμαυτόν· λέγουσιν αὐτῷ οἱ ἄγγελοι· ἐὰν ποιήσωμεν τὸ τοῦ πάθους σου
ἀπαλλάξωμεν· ἀπέρχῃ καὶ φροντίζεις αὐτοῦ· ἐπὶ τούτοις συνέθετο· φησί
τὸν ταῖς ὄψεσιν αὐτοῦ ὅρκον· τὸν δὲ ἕτερον κορδικιτεῖ τὸ εἶναι τοιοῦτον· ὁ μονο-
γενὴς φησίν ὁ ἐπιμελητὴς φροντίζων τὰ μου· φροντίζω αὐτοῦ· ἐπὶ τούτοις
μονὴν ἐν αὐτοῖς· τότε οἱ ἄγγελοι κατέσχον αὐτόν· ὁ μὲν τοὺς πόδας· ὁ ἕτερος
τὰς χεῖρας· ὁ δὲ τρίτος λαβὼν ξυρὸν ἐξέτεμεν αὐτοῦ τοὺς διδύμους
ὡς ἐν ἐκστάσει οὐ κατὰ ἀλήθειαν· κατὰ δὲ φαντασίαν τινά· ἔδοξεν
ἐν τῇ ἐκστάσει ὁ γέρων ὡς ἂν φησὶν ἰάσθαι ἀπὸ τῆς θήξεως ἀπὸ τεθεραπεῦσθαι
μετὰ τὸ τοῦ ξίφους τελέσαι αὐτὸν οἱ ἄγγελοι λέγουσι· καθ' ἣν θεὸς ὠφέλησας
λέγει αὐτοῖς ὁ γέρων· σφόδρα ὠφέλημαι· ἐκουφίσθην γὰρ πάνυ· ἐπι-
πίομαι ἀπηλλάχθαι ἐκ τοῦ πόνου ἐκ τοῦ πάθους· τότε λέγουσιν αὐτῷ οἱ ἄγγελοι
ἀπέλθετε οὖν φησί τὸ ἀσκητήριον σου· ὑπέστρεψεν οὖν ὁ γέρων μετὰ πένθ-
περιθόου ὁ γέρων αὐτοῦ πάλιν τοῦ μοναστηρίου· εἰσέρχεται ἔνδον· ἐκ
τότε ἔμεινεν ἐν κελλίῳ ἐκ τοῦ πλησίου τοῦ μοναστηρίου ἔξω ὑπέρ ὡς·
χος αὐτὰς διορθοῦντο· ἐποίησεν δὲ αὐτὰς ἀλλαπέσαρα καὶ ταύτης
τῶν λοιπῶν διὰ παντὸς· διαβεβαιούμενος τοῖς πατράσιν· ὅτι οὐκέτι
ἀνέβη ἐπὶ τὴν καρδίαν μου πάθος γυναικὸς ἐπιθυμίας· τοῦ τοιούτου χάριν
τοῦ ἀλλου ἀνδρὸς Ἠλία· ἐστὶν ἡ ἄσκησις· ὁ οὕτως ἐφρόντισεν τοῦ μοναστη-
ρίου ὁ μακάριος οὗτος: ·

οδ Ὃν ὑπεδέξατο Δωρόθεος τις ἀνὴρ δόκιμος ... πρὸς ... ἐν ...
κτω· ... οὕτως φροντίσαι τοῦ μοναστηρίου ὁ μακάριος οὗτ-
... ἐν τῇ κέλλῃ ἐκ ... κελλίου ἐν ...
σάμενος· θυρίδα ἐποίησεν ἀφορῶσαν ἐπὶ τὸ τῶν γυναικῶν μονα-
στήριον· ὅταν ... ἡμέραν ... παρακα-

ζόμενος τῇ θεωρίᾳ ἢ τὴν ἀμαχίαν ταύταις ἐπραγματεύετο· οὕτως ἄγρος κόποις
ἐπὶ γῆρας ἀσεμενεκάμνοντος ἀλώσεως· μηδόλως τιμῆς ἀνελθὼν τοῦ ἐκκλ(ησιαστικοῦ)· οὔτε δὲ ἐ-
κάθευδεν καὶ τὸ ὥς ποτε καταχελθεῖν δυνάμενον· διὰ τὸ κλίμακα μὴ ἔχειν ἀνάγαιον· αὕτη ἡ ἀρε-
τὴ τῆς ἀσκήσεως τοῦ μακαρίου Δωροθέου καὶ ἐν ταύτῃ τὸ τέλος·
Πιαμοῦ τοὔνομα λεγομένη παρθένος· ἥτις πάντα ταῦτα ἔτη τῆς ζωῆς αὐτῆς· ἔζη- οβ
σε μετὰ τῆς μητρὸς ἑαυτῆς· μίαν παρ' ἀμφοτέραν ἐσθίουσα ἀφ' ἑσπέρας καὶ νήθουσα
λίνον· αὕτη κατηξιώθη χαρίσματος προρρήσεως· ἐν μιᾷ οὖν ἐν καιρῷ ποτὲ
τε· τῆς ἀναβάσεως οὔσης τοῦ Νείλου κώμη ἐπετέθη· μάχονται γὰρ ἐπὶ τὴν
ὑδρομερίαν ὥστε καὶ φόνους παρακολουθεῖν πολλάκις καὶ κατακοπάς·
δυνατωτέρα οὖν κώμη ἐπετέθη τῇ αὐτῆς κώμῃ· καὶ ἤρχοντο ἐπ' αὐτὴν ἄν-
δρες ἐν πλήθει μετὰ δοράτων καὶ ῥοπάλων· ὥστε ἐξολοθρεῦσαι τὴν κώμην αὐτῆς·
παρέστη δὲ ταύτῃ τῇ μακαρίᾳ ἄγγελος τοῦ θεοῦ ἀποκαλύπτων αὐτῇ τὴν ἐ-
πίθεσιν τούτων· μεταπεμψαμένη δὲ αὕτη τοὺς πρεσβυτέρους τῆς κώμης
αὐτῆς λέγει αὐτοῖς· ἐξέλθατε εἰς συνάντησιν τοῖς ἐρχομένοις ἐφ' ὑμᾶς·
ἐκ τῆσδε τῆς κώμης εἰς μάχην· ἵνα μὴ πάντες ἐν αὐτῇ ἀπολώμεθα· οἱ τ(αύ)-
της τῆς κώμης καὶ παρεκαλέσατε αὐτοὺς λωφῆσαι τῆς καθ' ἡμῶν θανατι-
κῆς ἐπιβουλῆς· φοβηθέντες δὲ οἱ πρεσβύτεροι σφόδρα· πεσόντες
εἰς τοὺς πόδας αὐτῆς παρεκάλουν αὐτὴν λέγοντες·
ἡμεῖς οὐ τολμῶμεν αὐτοῖς συναντῆσαι· οἴδαμεν γὰρ αὐτῶν τὴν μέθην καὶ
τὴν ἀπόνοιαν· ἀλλὰ ποίησον ἔλεος ἐφ' ἡμᾶς καὶ ἐπὶ πᾶσαν τὴν κώμην καὶ ἐ-
πὶ τὸν σὸν οἶκον· ἐξελθοῦσα αὐτὴ αὐτοῖς συνάντησον· καὶ εἰρηνεύσασα τού-
τοις ἀποστρέψον· ἡ δὲ ἀπαρνησαμένη· τοῦτο μὲν οὐ συνέθετο· ἀνελθοῦσα δὲ εἰς
τὸ δωμάτιον αὐτῆς ἐφ' ὅλης τῆς νυκτὸς εὐχομένη καὶ μὴ κλίνασα γόνυ·
ἀλλὰ δεομένη τοῦ θεοῦ καὶ λέγουσα· ὅτι Κύριε ὁ κρίνων πᾶσαν τὴν γῆν· οὐδὲν τῶν
ἀδίκων ἀρέσκει ποτέ· τῆς προσευχῆς ταύτης ἐλθούσης πρὸς σέ· ἡ ἄλλου
δύναμις στηλωσάτω αὐτοὺς εἰς τὸν τόπον ὅπου ἂν αὐτοὺς καταλάβῃ·
προσευξαμένης δὲ ταύτης τῆς ἁγίας παρθένου· γίνεταί τι περὶ ὥραν πρώτην·
εὑρέθησαν οἱ πολέμιοι ἀπὸ τριῶν σημείων τῆς κώμης· καὶ ἐν αὐτῷ τῷ
τόπῳ ἐστηλώθησαν· καθὼς ἡ τοιαύτη ἠθέλησε· μηδόλως δυνάμενοι σαλεῦ(σαι)
ἀπεκαλύφθη δὲ κἀκείνοις τοῖς μαχίμοις ὅτι πρεσβείαις τῆς δούλης τοῦ

θεοῦ· σαραπίωνι θμουίτῃ δικαίῳ· τοῦτο γὰρ τοῖς συνειργάκει τὸ ἐμπόδιον· ἀποσφα-
λάντες οὖν φασὶ τὴν κοσμικὴν ποιήσαντες τοῖς ἱερεῦσι· δηλώσαντες τοῖς κατοίκοις
ὅτι εὐχαριστήσαντες τῷ θεῷ καὶ ταῖς καθαραῖς προσευχαῖς σαραπίωνος τοῦ δικαίου·
ἀπῆλθες καὶ ἀπ᾽ αὐτοῦ ἐφύλαξαν καὶ ἡμᾶς σώους ἐπιδημήσαντας ἀναπροπέμπειν μέλλουσι καθ᾽ ὁδόν·
Ταβεννήσιος τόπος ἐν τῇ θηβαΐδι οὕτω καλούμενος· ἐν ᾧ παχώμιος ὅστις ἐστὶ τοῦ
μοναχοῦ· ἀνὴρ τῶν φασὶ κεκρατηκότων βεβιωκότων· καταξιωθῆναι τούτου καὶ προρρήσε-
ων· καὶ ὀπτασιῶν ἀγγελικῶν· οὗτος φασὶ γέγονεν ἐν πέμπτῳ φιλόπτωχος καὶ φιλάνθρωπος· κα-
θεζομένου οὖν αὐτοῦ ἐν τῷ σπηλαίῳ ὤφθη αὐτῷ ἄγγελος κυρίου καὶ λέγει αὐτῷ· ἐπα-
μεῖναι τὰ κατὰ σεαυτὸν κατορθώσας· περιττῶς οὖν καθέζῃ ἐν τῷ σπηλαίῳ τού-
τῳ· δεῦρο τοίνυν ἐξελθὼν συνάλεγε πάντας τοὺς νεωτέρους μονάζοντας
καὶ οἴκησον μετ᾽ αὐτῶν κατὰ τὸν τύπον ὃν δίδωμί σοι· οὕτως αὐτοὺς νομοθέ-
τησον· καὶ ἐπιδέδωκεν αὐτῷ δέλτον χαλκῆν ἐν ᾗ ἐγέγραπτο ταῦτα· συγχω-
ρήσεις ἑκάστῳ κατὰ δύναμιν καὶ φαγεῖν καὶ πιεῖν· καὶ πρὸς τὰς δυνάμεις τῶν ἐσθιόν-
των· ἀναλόγως καὶ τὰ ἔργα αὐτῶν ἐγχείρησον· καὶ μήτε νηστεῦσαι αὐτοὺς κωλύ-
σῃς· μήτε φαγεῖν· οὕτω μὲν τοῖς ἰσχυροτέροις ἰσχυρὰ καὶ ἐσθίουσιν ἐγχείρησον
ἔργα· τὰ δὲ ἀτονώτερα καὶ ἐλαφρὰ τοῖς ἀσκητικωτέροις καὶ ἀσθενεστέροις· ποί-
ησον δὲ κέλλας διαφόρους ἐν τῇ αὐλῇ· καὶ τρεῖς κατὰ κέλλαν μενέτωσαν· ἡ δὲ
τροφὴ πάντων ἐν ἑνὶ οἴκῳ ἐξεταζέσθω· καθευδέτωσαν δὲ μὴ ἀνακλινό-
μενοι· ἀλλὰ θρόνους οἰκοδομητούς· ὑπτίως τεχνητοὺς πεποιηκότες καὶ ἐνθέν-
τες ἐκεῖ τὰ στρώματα ἑαυτῶν καὶ καθευδέτωσαν καθήμενοι· φορείτωσαν δὲ ἐν νυ-
κτὶ λεντία καὶ λινοῦς ἐζωσμένοι· ἕκαστος αὐτῶν ἐχέτω μηλωτὴν αἰγίαν εἰργασ-
μένην λευκήν· ἄνευ ταύτης μήτε ἐσθιέτωσαν μήτε καθευδέτωσαν· φοι-
τῶντες δὲ εἰς τὴν κοινωνίαν τῶν μυστηρίων τοῦ χριστοῦ κατὰ σάββατον καὶ κυριακὴν
τὰς ζώνας λυέτωσαν· καὶ τὴν μηλωτὴν ἀποτιθέσθωσαν καὶ μετὰ τοῦ κουκου-
λίου μόνου εἰσιέτωσαν· κουκούλια δὲ αὐτοῖς ἐτύπωσεν ἄμαλλα ὡς παιδίοις
ἐν οἷς καὶ σταυρὸν ἐκ πορφυρίου ἐκέλευσεν ἐντίθεσθαι· τοῦτο
ἐκέλευσεν δὲ εἰκοσιτέσσαρα τάγματα εἶναι τῶν ἀδελφῶν κατὰ ἀριθμὸν τῶν εἰ-
κοσιτεσσάρων γραμμάτων· καὶ προσέταξεν ἑκάστῳ τάγματι τὸ ὄνομα ἐπιθεῖναι στοι-
χεῖον ἑλληνικὸν ἀπὸ τοῦ ἄλφα· καὶ βῆτα· καὶ τῶν καθεξῆς ἕως τοῦ ω· ἵνα ἐν τῷ
ἐπερωτᾶν καὶ φιλοπραγμονεῖν τὸν ἀρχιμανδρίτην· περί τινος εἰς τοσοῦτο

πλῆθος· ἐρωτᾶν τὸν δεύτερον μετ' αὐτοῦ, πῶς ἔχει τὸ τάγμα αὐτοῦ α· ἢ πῶς ἔχει τὸ
ζῆτα· πάλιν ἀσπάσασθαι τὸ ρ· ἰδίῳ τινὶ σημείῳ ὀνόματος γράμματος ἀκολου
θοῦντος· καὶ τοῖς μὲν ἁπλουστέροις καὶ ἀκεραιοτέροις ἐπιθήσεις τὸ ἰῶτα· τοῖς
δὲ δυσχερεστέροις καὶ σκολιωτέροις προσάψεις τὸ ξ· καὶ οὕτως κατὰ ἀναλογίαν τῆς
καταστάσεως τῶν προαιρέσεων καὶ τῶν τρόπων καὶ τῶν βίων· ἑκάστῳ τά
γματι τὸ στοιχεῖον τοῦ γράμματος ἐφαρμόσεις μόνων τῶν πνευματικῶν εἰδό
των τὰ σημαινόμενα· ἐγέγραπτο δὲ ἐν τῇ δέλτῳ· ὁ τις ξένος ἄλλου μοναστη
ρίου ἐὰν ἔλθῃ ἄλλον ἔχων τὸν τύπον· τούτοις μὴ συμφάγῃ μὴ συμπίῃ· μὴ
συνεισέλθῃ εἰς τὴν μονήν· ἐκτὸς ἂν εἰ μὴ εἰς ὁδὸν εὑρεθῇ· τὸν μέντοι εἰσελθόντα·
εἰς ἅπαξ συμβῆναι αὐτοῖς ἐπὶ τριετίαν εἰς τὸ μάγγανον αὐτῶν οὐ δέξῃ· ἀλλ' ἐρ
γατικώτερον ἔργον ἐργασάμενος· οὕτως εἰς τὸ στάδιον εἰσερχέσθω· μετὰ τὴν τριε
τίαν· ἐσθίοντες τὰς κεφαλὰς καλυπτέσθωσαν τοῖς κουκουλίοις· ἵνα μὴ ἀδελ
φὸς ἀδελφὸν ἴδῃ μασώμενον· οὐκ ἐξεῖναι λαλῆσαι ἐσθίοντα· οὐδὲ ἐκτὸς τοῦ
πίνακος ἢ τῆς τραπέζης ἀλλαχοῦ προσέχειν τὸν ὀφθαλμόν· ἐτύπωσε δὲ διὰ πά
σης ἡμέρας ποιεῖν αὐτοὺς εὐχὰς δώδεκα· καὶ ἐν τῷ λυχνικῷ δώδεκα· καὶ ἐν ταῖς
παννυχίσι δώδεκα· καὶ ἐν ἐνάτῃ τρεῖς· ὅτε δὲ δοκεῖ τὸ πλῆθος ἐσθίειν ἑκά
στῳ τάγματι κελεύει ἑκάστην εὐχὴν ψαλμὸν προᾴδεσθαι ἐτύπωσε· πρὸς ἀντιλέ
γοντα δὲ τὸν μέγαν Παχώμιον τῷ ἀγγέλῳ ὅτι ὀλίγαι εἰσὶν αἱ εὐχαί· λέγει αὐτῷ ὁ ἄγγε
λος ὅτι ταύτας διετύπωσα· ὡς ὁ φιλῶν φθάνειν, καὶ τοὺς μικροὺς ἐπιτελεῖν·
τὸν κανόνα καὶ μὴ λυπεῖσθαι· οἱ δὲ τέλειοι νομοθεσίας χρείαν οὐκ ἔχουσιν· καθ' ἑ
αυτοὺς γὰρ ἐν ταῖς κέλλαις ὅλον τὸν ζῆν ἑαυτῶν τῇ τοῦ θεοῦ θεωρίᾳ παρε
χώρησαν· τούτοις δὲ ἐνομοθέτησα ὅσοι οὐκ ἔχουσιν νοῦν ἐστι γνώμονα·
ἵνα κἂν ὡς οἰκέται καταφρονηταί· τῷ φόβῳ τοῦ δεσπότου τὴν σύνταξιν
πληροῦντες τῆς πολιτείας διαπεθῶσι μετὰ παρρησίας· ταῦτα διαταξάμε
νος ὁ ἄγγελος καὶ πληρώσας τὴν διακονίαν ἀνῆλθεν ἀπὸ τοῦ μεγάλου Παχωμίου·
εἰσὶ νῦν ταῦτα τὰ μοναστήρια πλεῖον ἀκρατήσαντα τοῦτον τὸν τύπον συν
τείνοντα εἰς ἑπτακισχιλίους ἄνδρας· εἰσὶ δὲ τὸ πρῶτον καὶ μέγα μοναστήρι
ον· ἐν ᾧ αὐτὸς ὁ μακάριος Παχώμιος ᾤκητο· καὶ τὰ ἄλλα ἀπεκύησαν ἀσκη
τήρια· ἔχον ἀνδρῶν ἀριθμὸν χιλίων τριακοσίων· ἐν οἷς καὶ ὁ δοῦλος τοῦ θεοῦ
ὁ καλούμενος Ἀφθόνιος· φίλος μου γενόμενος γνήσιος· νῦν δευτερεύων ἐστὶν
ἐν τῷ μοναστηρίῳ ἐκείνῳ· ὃν ὡς ἀσκανδάλιστον ἀποστέλλουσιν εἰς Ἀλεξάνδρειαν·

ἔποιει ταῖς χερσὶ διαπωλῆσαι μὲν αὐτῶν τὰ ἔργα· σιτωνήσασθαι δὲ τὰς χρείας· ἔ-
τι μὲν καὶ ἄλλα μοναστήρια ἀπὸ διακοσίων καὶ τετρακοσίων τυχόν·
ιη Ἐν ᾧ καὶ φθάσας ἀπὸ τὴν πόλιν Πανὸς ἦλθον εἰς τὸ μοναστήριον· ὅπου ἐφήκει τετρα-
κοσίων ἀνδρῶν σύστημα·
ηε Ἐν τούτῳ τῷ μοναστηρίῳ ἑώρακα ῥάπτας δεκαπέντε· χαλκεῖς ἑπτά· τέκτονας τέσ-
σαρας· καμηλαρίους δώδεκα· γναφεῖς δεκαπέντε· ἐργάζονται δὲ πᾶσαν τέ-
χνην· ἐκ τῶν περισσευμάτων οἰκονομοῦντες καὶ τὰ τῶν γυναικῶν μοναστή-
ρια· καὶ φυλακάς· τρέφουσι δὲ καὶ χοίρους· ἐμοῦ δὲ ψέγοντος τὸ πρᾶγμα
λέγουσί μοι· ἐν τῇ παραδόσει παρειλήφαμεν· ὅτι τρεφέσθωσαν μὲν οἱ
ἀπὸ τῶν μιασμάτων καὶ διὰ τὰ ἀπὸ καθαρισμάτων τῶν λαχάνων διὰ τὰ ῥιπτό-
μενα ἐκφέρεσθαι τὰ συμπτώματα· ἵνα μὴ ζημιοῦνται· καὶ θυέσθωσαν οἱ χοῖ-
ροι· καὶ τὸ κρέας μὲν πιπρασκέτωσαν· τὰ δὲ ἄκρα τοῖς νοσοῦσι καὶ τοῖς γέρουσι
ἀναλισκέτωσαν· τὸ διὰ τὸ μετρίαν τὴν χώραν καὶ πολυάνθρωπον· τὸ γὰρ ἔθνος τῶν
Βλεμμύων αὐτοῖς παροικεῖ· ἀνίστανται τοίνυν οἱ ἑβδομαδάριοι ὄρθριοι· οἱ μὲν
περὶ τὸ μαγειρεῖον ἀσχολοῦνται· οἱ δὲ ἐπὶ τὰς τραπέζας τιθέμενοι· ἱστῶσιν
αὐτὰς μέχρι τρίτης ὥρας ἀπαρτίσαντες τὰς κατὰ τράπεζαν ἄρτους· λάχανα
συντεθέντα· ἐλαίας· τυρούς· βοῶν τὰ ἀκρωτήρια· κρεῶν καὶ λεπτὰ λάχανα· εἰσὶ-
ν οἱ ἀπερχόμενοι ἀριστῶσιν οἱ ἕκτην ὥραν· καὶ ἐσθίουσι· τινὲς δὲ ἕτεροι ὥρᾳ ἑβδόμῃ·
ἄλλοι ὀγδόην· ἄλλοι ἐνάτην· ἕτεροι δεκάτην· ἄλλοι ἑσπέρας βαθείας· ἄλ-
λοι διὰ δύο· ἄλλοι διὰ πέντε· ὡς ἕκαστον στοιχεῖον τὴν ἰδίαν ὥραν γνωρίζειν·
οὕτως δὲ ἑαυτῶν ἦν καὶ τὰ ἔργα· ὁ μὲν ἐργάζεται γῆν γεωργῶν· ἄλλος κῆπον·
ἄλλος χαλκεῖον· ἄλλος ἀρτοκοπεῖον· ἄλλος τεκτόνιον· ἄλλος γναφεῖον· ἕτε-
ρος βυρσεῖον· ἄλλος σκυτοτομεῖον· ἄλλος καλλιγραφεῖον· ἄλλος πλέκων σπυρί-
δας τὰς μεγάλας· ἄλλος τὰ λεγόμενα μαλάγκια· τὰ σπυρίδια τὰ μικρά·
ἀποστηθίζουσι δὲ πάσας τὰς γραφάς·
ὅρ Τοῦτο μὲν ἐστὶ καὶ μοναστήριον γυναικῶν ὡς τετρακοσίων· τὴν αὐτὴν ἔχον διατύπωσιν·
τὴν αὐτὴν πολιτείαν ἐκτὸς τῆς μηλωτῆς· καὶ αἱ μὲν γυναῖκες εἰσὶν πέραν τοῦ
μέλους ποταμοῦ· οἱ δὲ ἄνδρες ἀντιπέραν τούτων· καὶ ἐὰν τελευτήσῃ παρθένος
ἐνταφιάσασαι αὐτὴν αἱ λοιπαὶ παρθένοι· φέρουσιν καὶ τιθέασιν αὐτὴν εἰς τὴν
ὄχθην τοῦ ποταμοῦ· περάσαντες δὲ οἱ ἀδελφοὶ μετὰ πορθμείου μετὰ βαΐ-
ων καὶ κλάδων ἐλαιῶν· μετὰ ψαλμῳδίας διαφέρουσιν ταύτην εἰς τὸ πέρ-

καὶ θάπτουσιν εἰς τὰ ἑαυτῶν μνήματα. παρέχεται μὲν τοῖς πρεσβυτέροις καὶ τοῖς
διακόνοις. οὐδεὶς δὲ περαιοῦται εἰς τὸ μοναστήριον τῶν γυναικῶν, καὶ τούτοις κατὰ κυριακήν. ἐν τῷ
τούτῳ μοναστηρίῳ τῶν γυναικῶν συνέβη πρᾶγμα τοιοῦτον. ῥάπτης κοσμι-
κὸς περάσας κατὰ ἄγνοιαν ἐζήτει ἔργον. ἐξελθοῦσα δὲ μία νεωτέρα τῶν παρθέ-
νων λόγου ἑαυτῆς· ἔρημος γὰρ ἦν ὁ τόπος· συνέτυχεν αὐτῷ ἀκουσίως. καὶ δέδωκεν
αὐτῷ τὴν ἀπόκρισιν. ὅτι ἡμεῖς ἔχομεν ῥάπτας ἡμετέρους. ἄλλη ἑωρακυῖ-
α τὴν συντυχίαν ταύτης. χρόνου παρελθόντος γενομένης μάχης μεταξὺ
αὐτῶν ἐξ ἐπιβουλῆς τοῦ διαβόλου. ἀπὸ πολλῆς πονηρίας καὶ ζέσεως θυμοῦ.
ἐσυκοφάντησεν ταύτην ἐπὶ τῆς ἀδελφότητος διὰ τὴν συντυχίαν. ἧ καὶ συνέ-
δραμον ὀλίγαι οὐ πολλῇ κακίᾳ φερόμεναι. ἀπολυπηθεῖσα δὲ ἐκείνη. ὅτι
αὐτὴν ὑποστᾶσα συκοφαντίαν. τὴν μηδὲ εἰς ἔννοιαν αὐτῆς ἐλθοῦσαν. καὶ μὴ
ἐνεγκοῦσα τὸ πρᾶγμα ἔβαλεν ἑαυτὴν εἰς τὸν ποταμὸν καὶ ἐτελεύτησεν. οὕ-
τως. εἰς αἴσθησιν δὲ ἐλθοῦσα ἡ συκοφαντήσασα καὶ ἑωρακυῖα ὅτι ἀπὸ
πονηρίας ἐσυκοφάντησεν καὶ τοῦτο εἰργάσατο τὸ ἄγος τῇ ἀδελφότητι. λα-
βοῦσα ἑαυτὴν ἀπήγξατο. καὶ αὕτη μὴ ἐνεγκοῦσα τὸ πρᾶγμα. ἐλθόντος δὲ
τοῦ πρεσβυτέρου. ἀνήγγειλαν ταῦτα αἱ ἀδελφαὶ παρθένοι. ἐκέλευσεν οὖν τούτων
μηδεμίαν προσφορὰν ἐπιτελεσθῆναι. τὰς δὲ λοιπὰς ὅσαι συνῄδεισαν καὶ μὴ εἰ-
ρηνεύσασαι τὴν συκοφαντήσασαν. ἀλλὰ μᾶλλον πιστεύσασαι τοῖς εἰρημένοις
ἑπτὰ ἔτη ἀφόρισεν ἀκοινωνήτους ποιήσας.
Ἐν τούτῳ τῷ μοναστηρίῳ παρθένος τις ἦν μία. διὰ τὸν Χριστὸν ὑποκρινομένη μωρί- [03]
αν καὶ δαιμονίαν περιθεμένη τοῦ δι' αὐτοῦ κατορθῶσαι τὴν ἀρετήν. ὅσα κρομε-
αὐτὴν ταπεινοῦσαν καὶ κατευτελίζουσαν ταύτην. ἐπὶ τοσοῦτον ἐβδελύξαν-
το αὐτὴν αἱ ἀδελφαί. ὡς μηδὲ συνεσθίειν αὐτῇ. καὶ τοῦτο ἐκείνης μετὰ χαρᾶς
καταδεξαμένης. ἀλωμένη ἀνὰ τὸ μοναστήριον ἐκείνη πᾶσαν ὑπηρεσίαν
ἐποίει πάσαις αὐταῖς. ὡς δούλη ὑπακούουσα πάσαις ἐν ὑπακοῇ. καὶ ἦν αὐτὴ
ἡ μακαρίτης τὸ δὴ λεγόμενον σπόγγος τῆς συνοδίας. ἔργῳ πληροῦσα τὸ γε-
γραμμένον ἐν τῷ εὐαγγελίῳ. ὅτι ὁ θέλων ἐν ὑμῖν εἶναι μέγας ἔστω πάντων
δοῦλος. καὶ πάντων διάκονος. καὶ εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ.
μωρὸς γενέσθω ἵνα γένηται σοφός. τῶν οὖν ἄλλων παρθένων πασῶν τὸ
σχῆμα ἦν κεκαρμένον ἐχουσῶν καὶ κουκούλια ἐπὶ τῶν κεφαλῶν. αὕτη δὲ

ῥάκος ἀναδήσασα τὴν κεφαλήν· οὕτως ἐποίει πᾶσαν τὴν ὑπηρεσίαν· ταύτην μασωμένην οὐκ εἶδεν οὐδεμία τῶν τετρακοσίων τὰ ἔτη τῆς ζωῆς αὐτῆς· ἐπὶ τραπέζης οὐδέποτε ἐκαθέσθη· οὐδὲ κλάσμα ἄρτου μετέλαβεν ποτέ· ἀλλὰ τὰς ψίχας ἀποσυλλογοῦσα τῶν τραπεζῶν· καὶ τὰς χύτρας περιπλύνουσα τούτοις ἠρκεῖτο· μὴ ὑποδησαμένη ποτέ· μήτε ὑβρίσασά τινα· μὴ γογγύσασα· μὴ λαλήσασα μικρὸν ἢ μέγα ῥῆμα· καίπερ ὑβριζομένη καὶ κονδυλιζομένη καὶ κατάρας δεχομένη· καὶ ὑπὸ τῶν πλειόνων μυσαττομένη·

[οη] Περὶ ταύτης τῆς ὁσίας τῷ ἁγίῳ Πιτηροῦμ παρέστη ἄγγελος ἐν τῷ Πορφυρίτῃ καθεζομένῳ ἀναχωρητῇ ἀνδρὶ δοκιμωτάτῳ· φησὶ τὴν τῆς ἀσκήσεως ἀρετήν· καὶ λέγει αὐτῷ· διατί μέγα φρονεῖς ἐπὶ τοῖς ἑαυτοῦ κατορθώμασι ὡς εὐλαβὴς καὶ ἐν τοιούτῳ καθήμενος τόπῳ· θέλεις ἰδεῖν σου εὐλαβεστέραν γυναῖκα· ἄπελθε εἰς τὸ μοναστήριον τῶν γυναικῶν τῶν Ταβεννησιωτῶν· καὶ εὑρήσεις ἐκεῖ μίαν διάδημα ἔχουσαν ἐπὶ τῆς κεφαλῆς αὐτῆς· ἐκείνη σου ἀμείνων ἐστί· τοσούτῳ γὰρ ὄχλῳ πυκτεύουσα καὶ διαφόρως πάσαις δουλεύουσα· τὴν ἑαυτῆς καρδίαν οὐδέποτε ἀπέστησεν τοῦ Θεοῦ· καίπερ πασῶν ὑπερηφανουμένη· σὺ δὲ καθεζόμενος ὧδε ἀναπλανᾶσαι τὰς πόλεις τῇ διανοίᾳ· ὁ μηδέποτε οἰκουμένην ἀπαντήσας· ἀναστὰς οὖν ἐκεῖθεν τοῦ τόπου αὐτοῦ ὁ μέγας Πιτηροῦμ· ἦλθεν εἰς τὸ μοναστήριον τῶν Ταβεννησιωτῶν· καὶ παρεκάλεσε τοὺς διδασκάλους διαβῆναι εἰς τὸ μοναστήριον τῶν γυναικῶν· ὡς οὖν ἔνδοξον τῶν πατέρων καὶ ἐν τῇ ἀσκήσει γεγηρακότα θαρροῦντες εἰσήγαγον αὐτὸν διαπεράσαντες τὸν ποταμόν· καὶ μετὰ τὸ δέξασθαι αὐτόν· ἐπεζήτησεν ὁ μέγας πάσας τὰς παρθένους ἰδεῖν κατὰ πρόσωπον· πασῶν οὖν ἐλθουσῶν· ἐν τῷ μέσῳ ἐκείνη οὐ παρεφαίνετο· τέλος λέγει αὐταῖς ὁ ἅγιος Πιτηροῦμ· φέρετέ μοι πάσας· τῶν δὲ λεγουσῶν παρεῖναι πάσας· λέγει αὐταῖς· λείπει μία ἣν ἔδειξέν μοι ὁ ἄγγελος· λέγουσιν αὐτῷ· μίαν ἔχομεν σαλὴν ἐν τῷ μαγειρείῳ ἔτι· μόνον οὕτω γὰρ ἐκάλουν τὰς πάσχουσας· λέγει ὁ μέγας· ἀγάγετε κἀκείνην ἀφέσει ἴδω αὐτήν· ἀπῆλθον οὖν φωνῆσαι αὐτήν· ἡ δὲ οὐχ ὑπήκουσεν αἰσθομένη τοῦ πράγματος· ἴσως γὰρ καὶ ἀπεκαλύφθη αὐτῇ· σύρουσιν οὖν αὐτὴν μετὰ βίας φάσκουσαι καὶ λέγουσαι αὐτήν· ὁ ἅγιος Πιτηροῦμ ἰδεῖν σε θέλει· ἦν γὰρ ὀνομαστός· ἀχθείσης οὖν αὐτῆς ἐθεάσατο ὁ μέγας τὸ πρόσωπον αὐτῆς καὶ τὸ ῥάκος ἐπὶ τῆς κεφαλῆς αὐτῆς καὶ τὸ μέτωπον· πεσὼν οὖν φησὶ τοὺς πόδας

λέγει αὐτῇ εὐλόγησόν με ἀμμᾶ· πεσοῦσα δὲ καὶ αὐτὴ εἰς τοὺς πόδας αὐτοῦ
ἔλεγεν· σύ με εὐλόγησον κύριέ μου πάτερ· ἰδοῦσαι δὲ τοῦτο πᾶσαι ἐξέστησαν λέγου-
σαι αὐτῷ· ἀββᾶ μὴ ἀνάσχου ὕβριν· σαλὴ γάρ ἐστιν· λέγει δὲ αὐταῖς πάσαις·
ὅλος ἐπιτηροῦμεν· ὑμεῖς ἐστε σαλαί· αὐτὴ γὰρ καὶ ἐμοῦ καὶ ὑμῶν ἀμμᾶς ἐστιν·
οὕτω γὰρ καλοῦσι τὰς πνευματικὰς μητέρας· καὶ εὔχομαι ἄξιος αὐτῆς εὑρεθῆναι ἐν τῇ ἡ-
μέρᾳ τῆς κρίσεως· ἀκούσασαι δὲ τοῦτο ἔπεσαν εἰς τοὺς πόδας αὐτοῦ· κλαί-
ουσαι καὶ ἐξομολογούμεναι πᾶσαι· πῶς διαφόρως τὴν ἁγίαν ταύτην ἐλυ-
ποῦσαν· ἡ μὲν ἔλεγεν· ἐγὼ αὐτὴν μάλα ἐχλεύαζον· καὶ ἄλλη· ἐγὼ δὲ τὸ σχῆμα
αὐτῆς τὸ ταπεινὸν κατεγέλουν· καὶ ἑτέρα· ἐγὼ ταύτην ὕβριζον σιωπῶ-
σαν· καὶ ἄλλη πάλιν ἐγὼ τοῦ ὕδατος τοῦ μακροστόμου τὸ ἀπόπλυμα πολλάκις αὐτῆς κατέ-
χεα· ἄλλη· πληγὰς αὐτῇ ἐγὼ ἔδωκα· ἑτέρα πάλιν· ἐγὼ εἰς μίαν κονδύλους
αὐτῇ ἐντριψαμένη· ἄλλη πάλιν· ἐγὼ πολλάκις τὴν ῥῖνα αὐτῆς σιναπίσα·
καὶ ἁπαξαπλῶς πᾶσαι διαφόρους ὕβρεις αὐτῇ ἔλεγον ὡς ποινὴν κεφαλῆς ἑαυ-
τῶν· δεξάμενος οὖν αὐτῶν τὴν ἐξομολόγησιν ὁ γέρων ἐπιτηροῦμεν· καὶ εὐξά-
μενος ὑπὲρ αὐτῶν ἅμα αὐτῇ· καὶ ἐπὶ πολὺ παρακαλέσας τὴν τιμίαν
τοῦ Χριστοῦ δούλην· οὕτως ἐξῆλθεν· μετὰ δὲ ὀλίγας ἡμέρας ὑπὸ πασῶν τιμω-
μένη μεγάλως· καὶ παραιτουμένη μὴ ἐνεγκοῦσα ἡ μα-
καρίτης· τὴν δόξαν καὶ τὴν τιμὴν· τὴν παρ' αὐτῆς τῆς ἀδελφότητος·
καὶ τὰς ἀπολογίας· ἄχθος τοῦτο ἡγησαμένη· λάθρα ἐξῆλθεν ἐκ τοῦ μοναστηρί-
ου· καὶ ὅπου ἀπῆλθεν ἢ ποῦ κατέδυ ἢ ποῦ ἐτελεύτησεν· ἔγνω οὐδεὶς ἄχρι τῆς σήμε-
ρον· ταῦτα ἐστὶν τὰ ἐνάρετα ἔργα τῆς σεμνοτάτης παρθένου τῆς ταπεινό-
φρονος ταύτης καὶ μακαρίας·

οθ

Γέρων τις Ἰωάννης ὀνόματι ἐν Λυκῷ τῇ πόλει· ὃς ἐκ παιδίου ἔμαθεν οθ
τὴν τεκτονικήν· οὗ ἀδελφὸς ὑπῆρχεν βαφεύς· ὃς ὕστερον γενόμενος ἐ-
τῶν εἴκοσι πέντε· ἀπετάξατο καὶ διατρίψας ἐν διαφόροις μοναστηρί-
οις πέντε ἔτη· ἀνεχώρησεν εἰς τὸ ὄρος τοῦ Λυκοῦ· εἰς αὐτὴν τὴν ἀκρώρει-
αν ποιήσας ἑαυτῷ τρεῖς θόλους· καὶ εἰσελθὼν εἰς αὐτοὺς ἐνοικοδόμησεν ἑ-
αυτόν· ἦν οὖν ὁ εἷς θόλος ἐν ᾧ ἀπεκρύπτετο· ὁ δὲ δεύτερος ἐν ᾧ εἰργάζετο καὶ
ἤσθιεν· ὁ δὲ τρίτος εἰς τὰς χρείας τὰς τῆς σαρκός· οὕτως τεσσαράκοντα
πληρώσας ἔτη ἐγκεκλεισμένος· καὶ διὰ θυρίδος λαμβάνων διὰ τοῦ δια-

κομιζόντων τὰς τῶν πρὸς αὐτὸν χρείας· κατηξιώθη χαρίσματος προρρήσεων· ἐ-
μοὶ καὶ τῷ μακαρίῳ Θεοδοσίῳ τῷ βασιλεῖ διαφόρους ἀπήγγειλεν προρρή-
σεις· περί τε Μαξίμου τοῦ τυράννου ὅτι νικήσας αὐτὸν ὑποστρέψει τῶν Γαλ-
λιῶν· ὁμοίως δὲ καὶ περὶ Εὐγενίου τοῦ τυράννου ἀπηγγείλατο αὐτῷ τοῦτο· ὅ-
τι νικήσας μὲν τοῦτον· αὐτὸς δὲ τὸ πέρας τοῦ βίου ἐκεῖσε πληρώσει·
καὶ τὴν ἐκείνου βασιλείαν τοῖς υἱοῖς αὐτοῦ καταλείψει· τούτου φήμη πο-
λλὴ ἐξῆλθεν καὶ μεγάλη περὶ τοῦ ἐναρέτου ἀνδρός· διὸ καὶ ὁ ἐν πιστοῖς ἀριθμού-
μενος βασιλεὺς Θεοδόσιος· προφητικὴν τιμὴν τοῦτον ἐσέβετο· ὄντων
οὖν ἡμῶν ἐν τῇ ἐρήμῳ τῆς Νιτρίας· ἐγώ τε καὶ οἱ περὶ τὸν μακάρι-
ον Εὐάγριον· καὶ Ἀλβίνιον καὶ Ἀμμώνιον· ἐζητοῦμεν μαθεῖν τὴν ἀκρί-
βειαν τῆς ἀρετῆς τοῦ ἀνδρός· λέγει οὖν ὁ μακάριος Εὐάγριος· ἡδέως ἂν ἐμάν-
θανον παρ' αὐτοῦ ἀνδρὸς δοκιμάζειν νοῦν καὶ λόγον· ποταπός ἐστιν· οὐ δύνα-
μαι· ἐὰν γὰρ μὴ μάθω εἶναι αὐτῷ συντυχεῖν· ἐὰν δὲ μὴ ἡ μία ὥρα οὐ κατέρ-
χομαι ἕως τοῦ ὄρους· ἀκούσας οὖν ἐγὼ καὶ μηδενὶ μηδὲν εἰρηκώς·
ἡσυχάσας μίαν ἡμέραν· τὴν ἄλλην ἀποκλείσας μου τὸ κελλίον· καὶ
τῷ θεῷ παραθέμενος ἐμαυτόν· καὶ αὐτὸς ἐσκύλην ἕως Θηβαΐδος· καὶ ἔ-
φθασα δι' ἡμερῶν δεκαοκτώ· τὰ μὲν πεζεύσας· τὰ δὲ καὶ πλεύσας
ἐν τῷ ποταμῷ· ὁ καιρὸς δὲ ἦν ὁ τῆς ἀναβάσεως· ἐν ᾧ νοσοῦσι
πολλοί· ὃ δὴ καὶ ὑπέστην· ἀπελθὼν οὖν εὗρον αὐτοῦ κεκλεισμένον
τὸ περίβολον· ὕστερον γὰρ προσῳκοδόμησαν οἱ ἀδελφοὶ·
προαύλιον μέγιστον· ἐν ᾧ ἐχώρουν ἄνδρες ὡσεὶ ἑκατόν· καὶ κλει-
δὶ ἀποκλείσαντες· κατὰ σάββατον καὶ κυριακὴν ἤνοιγον μόνον·
μαθὼν οὖν τὴν αἰτίαν δι' ἣν ἐκέκλειστο· ἡσύχασα ἕως τοῦ σαββά-
του· καὶ παραγενόμενος ὥρᾳ δευτέρᾳ· ἐπὶ συντυχίαν τοῦ δικαί-
ου ἀνδρός· εὗρον αὐτὸν τῇ θυρίδι παρακαθεζόμενον· δι' ἧς ἐδόκει
παρακαλεῖν τοὺς παρατυγχάνοντας· ἀσπασάμενος οὖν με· ἔλε-
γεν δι' ἑρμηνέως· πόθεν εἶ καὶ τί παραγέγονας· στοχάζομαι γὰρ
τῆς συνοδίας εἶναι τοῦ Εὐαγρίου· ἐν ἐν τῷ μεταξὺ λαλοῦντων ἡμῶν·
ἐπῆλθεν ὁ ἄρχων τῆς χώρας Ἀλύπιος ὀνόματι· οὗ προσδραμόν-
τος· ἀφῆκεν τὴν πρὸς ἐμὲ ὁμιλίαν ὁ μέγας· ἀναχωρήσαντος

τὸ ψευ ταροῦ γὰρ μὴ δυνατὸν ὑποδέξασθαι· τυχὸν δὲ καὶ τῆς τῶν ἄλλων πάντων τιμω-
τηρίας· καὶ ὅρα μὴ ὑπερελαθῇ· δηκνύμενος αὐτοῦ· καὶ προβλέπων τὰ μέλλοντα
σαν· ὀρθῶς ἀποκαλύψεις· ἃ οἱ ἄλλοι καὶ δυνάμεις ἐπὶ τέλει· καὶ φίλος τις μὲν γεγονέναι
ἠξιοῦτο· καὶ πάντα ἐπιτήματα παρὰ θεοῦ κομίζεσθαι· εἰ περὶ μὴ τὰ ἄλλα πολλὰ καὶ πεπει-
κα... κνόσεως· καὶ ὅτι δὴ πρὸς θάνατον· ὥσπερ μετὰ θεῖον ἀγαθῆς ζωῆς.
ἐκ... σεισμῶν· καὶ μὴ πρὸς θάνατον ἐμφανῶς σωματικήν· καὶ μὴ ἐπὶ πολλῶν
...ἀντων τυχὼν τῶν τοιούτων γὰρ τερακορβαναμένων γάρ τις φησίν· τὰ
αὐτὰ ποιεῖ στρυφῶσιν παραχεῖ βουλεύματα· ἀλλὰ πάντα ... διὰ ἀσκήσεως·
καὶ τὴν τῶν ὀρέξεων ἀπάθειαν κτήσασθαι· καὶ μηδὲ τὰ ἕτοιμα καὶ τὰ
ἄνεσιν ἐπιζητεῖτο· ἀλλὰ θέλειν μᾶλλον καὶ θλίβεσθαι· ἵνα τὴν ἀρχὴν
ἔφαν τῆς τοῦ θεοῦ βασιλείας κληρονομήσῃ· δεῖ γὰρ ἡμᾶς φησὶν διὰ πολλῶν
θλίψεων εἰς τὴν βασιλείαν εἰσελθεῖν· στενὴ γὰρ φησὶν ἡ πύλη καὶ τε-
θλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ ὀλίγοι εἰσὶν οἱ πορευόμε-
νοι δι' αὐτῆς· καὶ τί δή φησιν ὀλιγωρεῖσθαι· ὀλίγον ὑστερομένας ἀ-
ωρίαν ἀμαρτίαις σημαίνονται· καὶ ὅτι οὐδὲν ἐπαίρεσθαι τιμὰς ἐπὶ
τοῖς ἑαυτοῦ κατορθώμασιν· ἀλλὰ ταπεινοῦσθαι πάντοτε καὶ τὰς
μακροτέρας ἐρήμους μεταδιώκειν· ἣν μή κατι τις αἰσθάνηται ἑαυτὸν
ὑπερερρωμένον· ἡ γὰρ πλησίον τῶν χωρῶν διάγουσι πολλάκις
καὶ τοῖς τελείοις ἔβλαψεν· διόπερ καὶ ὁ Δαυὶδ ψάλλει τοιοῦτόν τι πεπονθώς·
ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ· προσεδε-
χόμην τὸν θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος·
πολλοὶ γὰρ καὶ τῶν ἡμετέρων ἀδελφῶν πεπόνθασιν τί τοιοῦτο· καὶ διὰ
λαζωνίαν τοῦ σκοποῦ ἐκπεπτώκασιν· εἷς γάρ τις τῶν μοναχῶν
φησὶν ἐν τῇ πλησίον ἐρήμῳ ἐν τῷ πηλουσίῳ διάγων· πᾶσαν ἀσ-
κησιν ἐνδειξάμενος· καὶ χερσὶν ἰδίαις τὸν ἑαυτοῦ ἄρτον πορίζό-
μενος· ὡς γὰρ προσέμενεν ταῖς δεήσεσιν καὶ προέκοπτεν ταῖς ἀρε-
ταῖς· ἐφ' ἑαυτὸν λοιπὸν ἐπεποίθει· θαρρῶν ἐπὶ τῇ καλλῇ πολι-
τείᾳ· ὁ δὲ πονηρὸς ζηλώσας αὐτὸν ὡς τὸν Ἰὼβ ἐξῃτήσατο· καὶ δὴ φαντασί-
αν αὐτῷ παρέχεται πρὸς ἑσπέραν γυναικὸς εὐμόρφου πλανωμένης
κατὰ τὴν ἔρημον· ἥτις κρούσασα τὴν θύραν ἀνεῳγμένην ... ἤδη

κημοιμένου τὰς τοῦ θεοῦ τὰς χεῖρας· κατηξιώθη χαρίσματι προρρήσεως τας·
μοῖς καὶ τῷ μακαρίῳ θεοδοσίῳ τῷ βασιλεῖ διαφόρους ἀπέστειλεν προ μιον
σεις· περί τε μαξίμου τοῦ τυράννου ὅτι νικήσας αὐτὸν ὑποστρέψει τῶν γ. καὶ
λιῶν· ὁμοίως δὲ καὶ περὶ εὐγενίου τοῦ τυράννου εὐηγγελίσατο αὐτῷ· τοῦτον γὰρ κα
τανικήσας μὲν τοῦτον· αὐτὸς δὲ τὸ πέρας τοῦ βίου ἐκεῖσε ἐπλήρωσεν
καὶ τὴν ἐκείνου βασιλείαν τοῖς υἱοῖς αὐτοῦ καταλέλοιπε· τούτου φήμη πολλαί
πολλὴ ἐξῆλθεν καὶ μεγάλη πῶς ἐμαρτύρετο τοῦ ἀνδρός· διὸ καὶ ὁ ἐν ἀγγέλοις ἀριθμού-
μενος βασιλεὺς θεοδόσιος· προφητικὴν τιμὴν τοῦτον ἐσέβετο· ὄντων
οὖν ἡμῶν ἐν τῇ ἐρήμῳ τῇ τῆς νιτρίας· ἐγώ τε καὶ οἱ περὶ τὸν μακάρι-
ον εὐάγριον· καὶ ἀλβίνιον καὶ ἀμμώνιον· ἐζήτουν μεμαθηκέναι τὴν ἀκρί-
βειαν τῆς ἀρετῆς τοῦ ἀνδρός· λέγει οὖν ὁ μακάριος εὐάγριος· ἡδέως ἂν ἔμα-
θον παρ' αὐτοῦ δοκιμάσαντος· διδασκόμενος νοῦν καὶ λόγον· τοιοῦτος ἦν ὅσαι
μήν· ἐὰν γὰρ μαθοίμην αὐτῷ συντύχω· ἐὰν δὲ μὴ μάθω οὐκ ἀπέρ-
χομαι ἕως τοῦ ὄρους· ἀκούσας οὖν ἐγὼ καὶ μηδενὶ μηδὲν εἰρηκὼς
ἡσυχάσας μίαν ἡμέραν τὴν ἄλλην ἀποκλείσας μου τὸ κελλίον· καὶ
θεῷ παραθέμενος ἐμαυτόν· καὶ αὐτὸς ἐσκύλην ἕως θηβαΐδος· καὶ ἔ-
φθασα δι' ἡμερῶν δεκαοκτώ· τὰ μὲν πεζεύσας· τὰ δὲ καὶ πλεύσας
ἐν τῷ ποταμῷ· ὁ καιρὸς δὲ ἦν ὁ τῆς ἀναβάσεως· ἐν ᾧ νοσοῦσι
πολλοί· ὃ δὴ καὶ ὑπέστην· ἀπελθὼν οὖν εὗρον αὐτοῦ κεκλεισμένον
τὸ περισοδικόν· ὕστερον γὰρ προσῳκοδόμησαν οἱ ἀδελφοί·
προϊσοδικὸν μέγιστον· ἐν ᾧ ἐχώρουν ἄνδρες ὡς ἑκατόν· κεκλεί-
διον αὐτὸ κλείοντες· κατὰ σάββατον καὶ κυριακὴν ἀνοίγοντος μόνον·
μαθὼν οὖν τὴν αἰτίαν δι' ἣν ἐκέκλειστο· ἡσύχασα ἕως τοῦ σαββά-
του· καὶ παραγενόμενος ὥρᾳ δευτέρᾳ· ἐπὶ τὸ ἐντυχεῖν τοῦ δικαί-
ου ἀνδρός· εὗρον αὐτὸν τῇ θυρίδι παρακαθεζόμενον· δι' ἧς ἐδόκει
παρακαλεῖν τοὺς παρατυγχάνοντας· ἀσπασάμενος οὖν με· ἔλε-
γεν δι' ἑρμηνέως· πόθεν εἶ καὶ τί παραγέγονας· στοχάζομαι γὰρ
τῆς συνοδίας εἶναι τοῦ εὐαγρίου· ἐν τῷ μεταξὺ λαλούντων ἡμῶν· ἐ-
πεισῆλθεν ὁ ἄρχων τῆς χώρας ἀλύπιος ὀνόματι· οὗ προσδρα-
μόντος· ἀφῆκεν τὴν πρὸς ἐμὲ ὁμιλίαν ὁ μέγας· ἀναχωρήσαντος

σαν· γὰρ οὐ μὴ δυνατὸν ὑποδέξασθαι· τυγχάνει καὶ τῆς τῶν ἄλλων παρ' ἀνθρώπων τιμ
σεως· καὶ ὁ ὀρθὸν μὲν τὴν ἐλαφρὰν δὲ κρίνων πᾶσαν αὐτοῦ· καὶ προβλέπει τὰ μέλλοντα·
καὶ θεὸς ἐρᾶν ἀποκαλύψεις· αὐτοῖς ἀγγέλοις καὶ δυνάμεσιν ἐπὶ πέλαν· καὶ φίλος γίνεται
θεοῦ· καὶ πάντων ἐπιτήματα παρὰ θεοῦ κομίζεται· εἶπεν ἔτι ἄλλα πολλὰ καὶ περὶ
ἀσκήσεως· καὶ ὅτι δὴ πρὸς θάνατον· ὥσπερ μετὰ θεῖον ἀγαθῆς ζωῆς
παρελθούσης· καὶ μὴ πρὸς ὀφθαλμῶν ἔχειν φαντασματικήν· καὶ μὴ ἐπιπολλῶν
καὶ τῶν τυχόντων τὸ γοῦν τὴν γαστέρα χορτάζειν· μὴ γάρ τις φησὶν· τὰ
αὐτὰ ποιεῖ τρυφῶσιν παρέχει βουλεύματα· ἀλλὰ ταπεινοφροσύνῃ διὰ ἀσκήσεως·
καὶ τὴν τῶν ὀρέξεων ἀπάθειαν κτήσασθαι· καὶ μηδὲ ἐν ταῖς ἑτοιμασίαις καὶ τῇ
ἀνέσει ἐπιζητεῖτω· ἀλλὰ θεμελιοῦσθαι μὲν καὶ θλίβεσθαι· ἵνα τὴν ἀρχὴν
ἐρείαν τῆς τοῦ θεοῦ βασιλείας κληρονομήσῃ· διὰ γὰρ ἡμᾶς φησὶν διὰ πολλῶν
θλίψεων δεῖ εἰς τὴν βασιλείαν εἰσελθεῖν· τὴν στενὴν γὰρ φησὶν ἡ πύλη καὶ τε
θλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ ὀλίγοι εἰσὶν οἱ πορευόμε
νοι δι' αὐτῆς· καὶ τί δή φησιν ὀλιγορεῖ ἐξέταθαι· ὀλίγον ὑστεροῦμεν
σωρείαν ἁμαρτιῶν σημαίνονται· καὶ ὅτι οὐδὲν ἐπαίρεσθαι τινὰ ἐπὶ
τοῖς ἑαυτοῦ κατορθώμασιν· ἀλλὰ ταπεινοῦσθαι πάντοτε καὶ τὰς
μακροτέρας ἐρήμους μεταδιώκειν· ἵνα μή ποτέ τις αἰσθάνηται ἑαυτὸν
ὑπερερχόμενον· ἡ γὰρ πλησίον τῶν ψυχῶν ἐγγὺς δι' ἡμῶν πολλάκις
καὶ τοῖς τελείοις ἔβλαψεν· διόπερ καὶ ὁ Δαβὶδ ψάλλει τι οὕτω τί πεπονθώς·
ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ· προσεδε
χόμην τὸν θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος·
πολλοὶ γὰρ καὶ τῶν ἡμετέρων ἀδελφῶν πεπόνθασιν τι τοιοῦτο· καὶ διὰ
λῃζωμίαν τοῦ σκοποῦ ἐκπεπτώκασιν· ἦν γάρ τις τῶν μοναχῶν
φησὶν ἐν τῇ πλησίον ἐρήμῳ ἐν τῷ σπηλαίῳ διάγων· πᾶσαν ἄσ
κησιν ἐνδειξάμενος· καὶ χερσὶν ἰδίαις τὸν ἑαυτοῦ ἄρτον πορίζό
μενος· ὡς γὰρ προσεκαρτέρει ταῖς δεήσεσιν καὶ προέκοπτεν ταῖς ἀρε
ταῖς· ἐφ' ἑαυτῷ λοιπὸν ἐπεποίθει· θαρσῶν ἐπὶ τῇ καλῇ πολι
τείᾳ· ὁ δὲ πειράζων αὐτὸν ὥσπερ τὸν Ἰὼβ ἐξῃτήσατο· καὶ δὴ φαντασί
αν αὐτῷ παρέχεται πρὸς ἑσπέραν γυναικὸς εὐμόρφου πλανωμένης
κατὰ τὴν ἔρημον· ἥτις εὑροῦσα τὴν θύραν ἀνεῳγμένην εἰσεπήδη

σεν ὡς τὸ σπήλαιον καὶ προσπεσοῦσα τοῖς γόνασιν αὐτοῦ ἀνεβόησεν· ἤτει παρ᾽ αὐτοῦ
τὴν ἀπάντησιν ὡς ἔστερξα αὐτὴν καταλαβούσης· ὁ δὲ ὡς ἠλέησεν
αὐτὴν ὁ Πετρουκόφαλεν ἐδέξατο αὐτὴν ἐν τῷ σπηλαίῳ· καὶ ἐπὶ ἐσθῆμα θάλπος
αὐτῆς τὴν πλάνησιν· ἡ δὲ ὥσπερ αὐτῷ ἤλεγε λόγοις αὐτοῦ κολακείαις ἀπ᾽
ὑπέσπειρεν· καὶ παρέτεινεν ἐπὶ πολὺ πρὸς αὐτὸν τὴν ὁμιλίαν· καὶ ἔρεττιν
δὲ πρὸς αὐτὸν καὶ ἐπιεεφάνων πρὸς ἐκκλάματα εὐλογ· πλέοσι λοιπὸν πρὸ
ἀλλήλους αὐτοῖς γίνονται· καὶ τέλος καὶ μὴ διάσωμαι ἀπὸ πλάνησεν δὲ αὐτοῦ
πολλὴ ὁμιλία· καὶ τὸ ἐντεῦθεν λοιπὸν ἀρχὴ χαρᾶς καὶ τερπνοῦ καὶ αἰσχέμος
καὶ ἠχημαι λόγῳ τεύσεν τέλος τὸν ἀσκητήν· ὡς δὲ ἐστρέφετο μὲν ἔχθρως
ἔνδοθεν τοῖς λογισμοῖς ἀπεδήμει ἐν χερσὶν ἔχων τὸ πρᾶγμα τὴν δ᾽ ἐκέρι
καὶ τὴν καρδίαν τοῦ ἐκτελεῖν τὴν ἡδονὴν λογιζόμενος· συγκατέθετο λοιπὸν
τῶν τῇ διανοίᾳ καὶ συνελθεῖν αὐτῇ ἐπιεσθω· ἀφρονῶν ἤδη καὶ θηλυμανὴ
γεγονὼς γενόμενος· ἡ δὲ ἐξέφυγε μετ᾽ ἀναβοήσασα ἀφ᾽ αὐτοῦ ἐκ τῶν
χειρῶν αὐτοῦ γέγονεν· ὥσπερ σκιά τις ἀποδραμοῦσα· τέλος δὲ ἐν τῷ ἀέρι
πολλῶν ἀκούεσθαι δαιμόνων· ἐλεγχόντων αὐτὸν καὶ τὴν ἀπάτην
παραγόντων καὶ μεγάλῃ φωνῇ πρὸς αὐτὸν βοώντων· πάσας ὁ ὑψῶν
ἑαυτὸν ταπεινωθήσεται· σὺ δὲ ὑψώθης ἕως τῶν οὐρανῶν· ἐταπεινώθης
δὲ ἕως τῶν ἀβύσσων· ἐντεῦθεν ἀνίσταται τὸ πρωὶ τὸ νυκτὸς
δὲ ἕως τῶν ἀβύσσων· καὶ διημέρευσεν ἐν τοῖς θρήνοις καὶ
γινόμενος πένθος ἐπιστρεφόμενος· καὶ διημέρευσεν ἐν τοῖς θρήνοις καὶ
ποιμνίου ἑαυτοῦ τῆς σωτηρίας· ὁ Πετρουκόφαλεν εἰς τὸν κόσμον πάλιν ὑ
πέστρεψεν· τοῦτο γάρ ἐστιν τοῦ πονηροῦ τὸ ἐπιτήδευμα· ὅταν τι
ναὶ κατὰ πολλάς εἰς ἀφροσύνην αὐτὸν καθίστησι γνώμῃ ἀπογνῶναι λοιπὸν
μηκέτι δυνηθῆναι ἀναστῆναι· ὅθεν ὁ πένης οὐ σωθήσεται ἀλλὰ καὶ ἡμῖν
πλησίον τῶν χωρῶν οἰκήσας οὐδὲν τῶν γυναικῶν συντυχία· ἀνεξαλ
λάκτως μοναχοὺς ἀναμιμνήσκειν· κἂν ἐκ τῆς ὀφθαλμοῦ καὶ ὁμιλίας ἐπισπώμεθα
οὔτε ὀφθαλμῶν ἑαυτῶν ἀποτυχῶν· καὶ εἰς ἀμέλειαν ἑαυτοὺς κατὰ γαστρ
ἤδη γὰρ πολλοὶ τῶν ἀναστρεφομένων παρὰ τοῦ ἐλεήμονος θεοῦ τῆς φι
λανθρωπίας· οὐκ ἐστερήθησαν· ἦν γάρ τις νεανίας φησὶν ἐν τῇ πόλει·
πάνυ πολλὰ ἐργασάμενος καὶ χεῖρον ἁμαρτικὸς ὢν σφόδρα
πάνυ· πολλὰ ἐργασάμενος καὶ ταῖς πολλαῖς ἁμαρτίαις καὶ τοῦ πα
ματι τοῦ θεοῦ· κατανυγεὶς ἐπὶ ταῖς πολλαῖς ἁμαρτίαις καὶ τοῦ τα

φοις καταλαβοῦσι· καὶ τὴν πρότερον ἑαυτοῦ ζωὴν ἐπωδύρετο· ἐπεὶ πρόσω-
πον ἑαυτοῦ κατέβαλον· καὶ μὴ τολμῶν ἀφιέναι φωνήν· μηδὲ ὀνομάζειν
θεόν· μηδὲ ἱκετεύειν· ἀνάξιον ἑαυτὸν ἡγούμενος καὶ αὐτῆς τῆς ζωῆς· καὶ παρο-
θανάτου ἐν τοῖς νεκροτάφοις ἑαυτὸν κατακλείσας· καὶ ἀποτάσσων ἑαυτοῦ
τὴν ζωήν· ἔστενεν μόνον καὶ τόθεν ἐκ τοῦ βάθους τῆς καρδίας· ἑβδο-
μάδος δὲ ἐπ' αὐτῷ παρελθούσης· νύκτωρ αὐτῷ ἐφίστανται οἱ δαί-
μονες· οἱ τὸ πρὶν αὐτοῦ τὴν ζωὴν καταβλάψαντες· κεκραγότες καὶ λέγον-
τες· ποῦ ὁ μιαρὸς ἔτι Ἔκδημος· ὁ ταῖς λαιμαργίαις κακῶς πορευθείς· νῦν
ἡμῖν ἄκαιρος σώφρων ἐξαίφνης καὶ καλὸς ἀνεφάνη· καὶ ὅπερ οὐκ ἔτι ἰδεῖν
ἀπὸ τότε χριστιανὸς καὶ εὔτακτος εἶναι βούλεται· καὶ τί καλὸν ἔτι ἔσεσθαι
αὐτῷ προσδοκᾷ ἐμφορηθεὶς τῶν ἡμετέρων κακῶν· οὐ καταμανθάνεις πα-
χὺ ἐκάθευ· οὐκ ἔτι τὰς συνήθεις μεθ' ἡμῶν ἤδη· καὶ μέθαι σοι καὶ πόρναι
καὶ κάπηλοι· οὐ κέλαδος καὶ τῶν ἐπιθυμιῶν ἀπόλαυσις· πάσης σου τῆς
ἄλλης ἐλπίδος καταισβεσθείσης· ἤδη σοι πάντως ταχέως ἥκει ὁ σὸς
οὕτως ἑαυτὸν ἀνειρωτῆς καὶ τί ἀπεδύσω πρὸς τὴν τιμωρίαν ὦ ἄθλι-
ε· τί φίλον ἐργασάμενος ἀπόλειπες ἐπελθεῖν σου τὴν δίκην· ἀλλά τε πολλὰ λέ-
γοντες ἡμέτερος εἶ ἡμῖν ὥσπερ τάξεως ἀνομίαν ἤσκησας πᾶσαν·
πάντων ἡμῶν ὑπεύθυνος γέγονας καὶ θεραπεύειν τολμᾷς· οὐκ ἀ-
ποκρίνῃ· οὐ συντάσσῃ· οὐ συνεξελεύσῃ· ὁ δὲ Ἔκδημος πρὸς ταῖς ὁμο-
λογίαις καρτερῶν· οὐδὲ τὴν ἀκοὴν ὑπεῖχεν αὐτοῖς· οὐδὲ ἀποκρίνατο
πρὸς αὐτοὺς λόγον· ἐπεὶ πολὺ ἐπιμενόντων αὐτῷ τῶν δαιμόνων·
ὡς δὲ οὐδὲν ἤνυσαν πολλάκις ταῦτα λέγοντες· διαλαβόντες αὐτὸν
οἱ πονηροὶ καὶ αἰσχροὶ δαίμονες ἤκιζον χαλεπῶς· ἅπαν ἅπαν
τὸ σῶμα αὐτοῦ καταξέοντες· καὶ βασανίσαντες αὐτὸν χαλεπῶς·
ἡμιθανῆ καταλειπόντες ᾤχοντο· ὁ δὲ οὐδὲν ἧττον μακίμητος ἐνθά-
περ αὐτὸν κατέλιπον ἔκειτο σθένων αὐτοῖς· ἐπεὶ δὲ τὴν τύχην συνε-
λέξατο· τῶν δὲ οἰκείων αὐτοῦ κατ' ἴχνος ἀναζητούντων αὐτὸν καὶ εὑ-
ρόντων· καὶ τὴν αἰτίαν τῆς τοῦ σώματος συμφορᾶς ἀναμαθόντων
ἠξίουν αὐτὸν ἀναστῆναι οἴκαδε· ὁ δὲ ἐπεὶ πολὺ πολλάκις βιασαμένων
ἀντέσχεν· καὶ πάλιν αὐτὸν τὴν ἐπιοῦσαν νύκτα χαλεπώτερον ἐν-

προσθεῖν· οἱ δαίμονες ἐπὶ τοῖς αὐτοῖς δ' ἀπήθονται· καὶ οὐδ' οὕτως ἀπελιμπάνοντο
οἱ προσήκοντες ἐφθονημένα ἀληθῶς τούτῳ πού· κρατοῦμεν ἤδη τε θαρραλέ-
γονται· ἢ ἐν τίσι ταῖς κλίσεσι τοῦ βίου ζητῶν· ἢ τρίτην τῶν δαιμόνων· μικροῦ
πάντη τὸν ἄνθρωπον ἀπήλλαξεν· ἀμήλεως ἐπὶ πᾶσαν τῶν αὐτοῦ τῶν βασάνων
καὶ ἕως τῆς ὑπάτης τῆς πονηρᾶς κακώσεως· ὡς δ' οὐκ ἐγένετο μενόμενον· ᾤχοντο
ἀπονουμένων ἐκ καλλεων τὸν μάνον· ἀπελθόντες ὅμως κεκραγότες λέ-
γοντες· ἐνίκησας, ἐνίκησας, ἐνίκησας· καὶ οὐκ ἔτι αὐτοῦ γ' οὖν ἡμῖν τῆς ἐμβάσεως
ἀλλὰ καθαρῶς τὸν τάφον ὡς κοσμεῖς ὡς εἶχεν· ἀσκήσας καθαρὰν τὴν ἀρετήν·
οὗτος καὶ θεοῦ τίμιος γενόμενος ἐν δυνάμεσι καὶ θαύμασιν ἐπιδείξεσι· ὥστε πολ-
λοῖς καὶ θαύμασι καὶ ζῆλον καλῶν ἐπὶ τῇ δεύματι παρασχεῖν ἐκ τούτου· πλη-
σίον δὲ καὶ τῶν σοφῶν ἐφ' ἃ πάντες εἰς τὸ κοινὸν γεγόνασιν αὐτοῖς· τὸ τῆς ἐκ ... λεγομένης
σης· ἀπὸ ὅταν ἑαυτὸν ὑψωθῆναι· περὶ ἡσυχίαν μένος ὥστε κρατεῖν
τὴν ὑπερβολὴν τῆς ἀσκήσεως· κρείττων δὲ πάσης ὧν ... ἀρετῶν· ...
μυστήρια ... ἡ μακαριότης ... πρὸς τὴν ἄσκησιν· γέγον-
γάρ τις καὶ ἕτερος μοναχὸς· τὴν πόρρω ἐρημίαν καταλαβὼν· καὶ ἐν πολλοῖς
πᾶσιν τὰς ἀρετὰς κατορθώσας ἐν τῇ ἐρήμῳ λοιπὸν τυχεῖν τῆς τῶν δαιμόνων
ἐπιβουλῆς ἐπειράθη· ἦν γὰρ πάνυ ὁ ἀσκητὴς τὴν ἡσυχίαν ἀσπαζό-
μενος καὶ ἐν εὐχαῖς καὶ ὑμνῳδίαις καὶ θεωρίαις πολλαῖς διημερεύων· καὶ ὃ ἐφάνη
ὅπερ ἔφασιν ἡμᾶς ἐν ... ἐθεώρει· τούτων ἐγρήγορος· τὸ τοίνυν καθ' ὕπνον ...
καὶ σχεδὸν ἴχνος ἐπιλαμπούσης ἀσωμάτου ζωῆς· οὐ γὰρ ἦν φυτεύων· οὐδὲ
φροντίζων δίαιτης· οὐδὲ ἐν τοῖς φυτοῖς ζητῶν ὅ τι παρέχοι τῷ σώματι
δεόμενα· ἀλλ' οὐδὲ ἐκ τῆς χλόης οὐδὲ ἄγαν ὄρνιθων οὐδὲ ἄλλου τινὸς μετὰ τὴν
ζωοῦ ἀλλ' ὡς πεποιθὼς ὡς ἐπέμπετο ... ἔξωθεν ἐκ τῆς οἰκουμένης ...
θεν ἕνεκα· καὶ λόγον οὐδένος εἶχεν ὅπως αὐτὸς τρεφόμενος διαμένοι τὸ σῶ-
μα· ἀλλ' ἐν λήθῃ πάντων ἐκ ... εἶχεν ἑαυτὸν τελείως ἀπόθεσθαι προσθέμε-
νος· καὶ περιμένων τὴν κλῆσιν καὶ τὴν ἐκ τοῦ κόσμου μετάθεσιν· καὶ τὸ
πλεῖστον τῇ τέρψει τῶν φαινομένων καὶ ἐλπιζομένων ἐτρέφετο· καὶ οὐ
τὸ σῶμα κατεπίκλευσε τῇ παρατάσει· οὕτω διετέλεσεν· ἦν ἡ ψυχή· ἀλλ' ἐ-
σεμνύνετο καὶ πᾶσαν τὴν καλὴν ἕξιν εἶχεν· πλὴν ἀλλά τινων αὐτὸν ὁ θε-
ὸς διὰ τὴν τεταγμένου χρόνου τὸ τέλος ἤμελλεν· ἄρτον ἐπὶ τῆς

τροφὰς ἐξ ἧς ἐδίδου φαίνεσθαί τις εἰ καὶ κεχρημένος· καὶ ἐφιστάμενος τῷ σπηλαίῳ
ἡ μικροῦ ἐναυαίνεσθαι δεομένου τοῦ σώματος ηὕρισκεν ἐπὶ τὴν τροφήν· καὶ προσ-
χωνήσας καὶ διασχεθεὶς πάλιν τὸν ἴσον ἐπηλάβου ἐν ἐπιμόνως. τῆς
ἀρχῆς δὲ τῆς θεωρίας ἐχόμενος· θάλλων ὅσαι ἡμέραι. καὶ ἐπιδιδοὺς τὸ πα-
ρὸν τι τῆς ἀρετῆς· καὶ τῷ μέλλοντι τῆς ἐλπίδος· ἐπὶ τὸ μεῖζον προβαίν-
ων· καὶ σχεδὸν μὲν θαρσῶν περὶ τῆς ἀμείνονος ἑαυτοῦ λήξεως. ὥσπερ ἔχων αὐτὴν ἐν
χερσὶν ἤδη· ὁ δ' ἐπειγόμενος αὐτῷ· μικροῦ δεῖν ἀποπεσὼν τοῦ ἐκ τοῦ μετὰ ταῦτα
ἐπελθόντος αὐτῷ πειρασμοῦ· τί γὰρ οὐ λέγεται αὐτοῦ ἡμῖν παρ' ὀλίγον τοῦ
σὴν· ὡς γὰρ δὴ τὸ φρόνημα αὐτοῦ τοῦ προῆλθεν· ἔλαθεν ἑαυτὸν οἰόμενος πλέ-
ον ἔχειν τι τῶν πολλῶν· καὶ ὡς ἤδη τι καὶ ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους μεῖζον τι κεκτη-
μένος· καὶ τοιούτους ἀνελεῖν τῶν ἑαυτῷ ἐπιθυμιῶν(?)· γεννᾶται οὖν οὐκ ἀφ-
μακρὰν αὐτῷ περὶ τὸν τύπον(?) κατὰ τῆς ἐπιθυμίας· ὅσον μηδὲ ἐνθυμεῖ-
δοκεῖν· εἶτα παρ' ὑμᾶς μάζων ἀμελῆσαι· εἶτα ὅσον καὶ αἴσθησιν εἰς ... καὶ γὰρ ἐ-
κεῖνον ... ὀκνηρότερον διετίθη(?) πρὸς τοὺς ἄλλους καὶ τὸ τῶν ἀγαθῶν
ἡδονὴν(?) ἀργότερον· καὶ ὁ λιμὸς οὐχ οὕτως ἐκτεταμένος· καὶ ἡ ψυχὴ βουλομένη
φύσιν ἀναπαύεσθαι· καὶ ὅμως ἐν ἑκάστῳ καὶ οἷον εἰς μοῖραν ἀσμένως τινὰ
ἐπανάγων· καὶ ποῦ τις ἐν τοῖς κρυφίοις καὶ ἀμελεῖν ἐμελέτα τῷ· πλὴν ἀλ-
λ' οὐκ ἐνόθευσεν(?) ἐκ τῶν ἔμπροσθεν ἄσκησιν πρὸς ἐπὶ τὸν ἀσκητήν·
ὥσπερ οὖν ἡ τις ἐκ τῆς ὁρμῆς ἐκάμνης· καὶ διέσωζε τέως· καί ποτε ἐφοδεύ-
μένου τῆς ἀπορίας ἠθάδος χρόνος πρὸς ἑσπέραν ἄρξεν τὸν ἄρτον θεόθεν αὐτῷ χο-
ρηγούμενον· καὶ ἀνεκτήσατο τὰ ἔμμου(?)· τὰς δ' ἡμέρας ἐκάμνας οὐκ ἀπέ-
βαλε. οὐδ' ἐλογίσατο ὅτι τὰ παρορῶματα τῆς σπουδῆς βλάπτει· οὐδ'
ἐπὶ τὴν ἴασιν ἐτρέπετο τοῦ κακοῦ· ἀλλ' ὡς μικρὸν ὠκνεῖ τὸ παρ' ὀλίγον τοῦ
δεῖν τῶν ἀποπεσεῖν· τοιγαροῦν ἔρος ἐπεθύμει ἀρπασθ(?)· δ' ὁ τὸν κόσ-
μον ἀπηλείτο(?) τοῖς λογισμοῖς· ὅμως ἐπισχὼν ἑαυτὸν τέως τὴν ἐπιοῦσ-
αν ἡμέραν ἐπὶ τὴν συνήθη τρεφόμενος ἄσκησιν· καὶ εὐξάμενος καὶ ὑμνῶν
ἀπελθὼν μὲν ἐν τῷ σπηλαίῳ τὸν μὲν ἄρτον ἄρξεν αὐτῷ παρακείμενον·
οὐχ οὕτω δὲ ἐπιμελῆ καὶ καθαρόν· ἀλλ' ἐρυπωμένον ὡς ἤδη· καὶ θαυ-
μάσας καὶ πῶς κατηφὴς περιμόμενος· ὅμως μετέσχε μὲν καὶ ἀνεκτήσατο· τρί-
την ἡμέραν ἐκείνην καὶ τριπλάσιον τὸ κακὸν προσετίθετο· καὶ γὰρ θᾶττον

ὅμοιον αὐτῷ τοῖς λογισμοῖς ἐγκαρτερεῖν· ἡ μνήμη μὲν γὰρ αὐτῷ ὥσπερ ἂν παρθ-
ενικῆς γυναικὸς καὶ σώματος ἀκμαζούσης συνδιετίθετο· καὶ τὸ πρᾶγμα ἐν ὀφθαλμ-
οῖς εἶχεν· καὶ ὡς πρὸ τῶν αὐτοῦ διετέλει· ἐξῆλθεν γὰρ ὅμως καὶ τὴν τρίτην ἡμέραν
ἐπὶ τὸ ἔργον· καὶ τὴν μάχην καὶ τοὺς λογισμοὺς οὐκ εἶχε καθαροὺς ἔχων τὰς ἐνθυμ-
ήσεις· ἀλλ' ἀπὸ ὑψηλῶν(?) μεταστρεφόμενος μετεωρίζετο· τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖ
ἀκοντίζων· διέπεμπον γὰρ αὐτοῦ τὸ καλὸν ἔργον, αἱ μνῆμαι τῶν ἐνθυμημάτων(?)
ἕως ἐχθὲς οὐκ ἐπανῆλθεν ἄρτου δεόμενος· τὸν γὰρ ἄρτον εὗρεν ἐν τῇ τραπέζῃ
οἷον ἀπὸ μυῶν ἠκρωτηριασμένον(?) βεβρωμένον· καὶ λαβών τι τὸν ξηρὸν ἔξωθεν
τὸ πεπεμμένον καὶ δακρύει· ἀλλ' οὐκ ὅσον ἱκανὸν· οὐ γὰρ ὅσον ἔδει τὴν ἀποστ-
ροφῆς· οὐχ ὅσον ἤθελεν ἔτοιμον ἦν ἀναπαύσασθαι· ἐπῆλθον γὰρ οἱ λογισμοὶ
αὐτῷ ἀθρόως· πανταχόθεν αὐτὸν περιέχοντες· καὶ πολεμοῦντες αὐτοῦ τὴν διά-
νοιαν· καὶ ἕλκουσιν αἰχμάλωτον ἀναφέρουσιν εἰς τὸν κόσμον· ἀναστὰς γὰρ ὡς εἶχ-
εν ἐπὶ τὴν οἰκουμένην διὰ τῆς ἐρήμου νυκτοπορῶν· καταλαβούσης γὰρ αὐτὸν
τῆς ἡμέρας· καὶ τῆς οἰκουμένης ἔτι μακρὰν ἀπεχούσης· καὶ τοῦ καύματος
αὐτὸν θλίβοντος· ἐκοπίασεν· καὶ περιεβλέψατο πανταχόθεν ἑαυτοῦ κύκλῳ περισ-
κοπῶν εἴ πού μοναστήριον ἀναφανείη καὶ σχολάσων(?) ἀναπαύσηται· ὅπερ καὶ γέγονεν
ὑποδεξαμένων αὐτὸν ὡς ἀληθῶς τινῶν καὶ πιστῶν ἀδελφῶν· οἳ ὡς πρῶτον ἤκι-
ον θεασάμενοι· ἔνιψαν τήν τε χεῖρα αὐτοῦ καὶ τοὺς πόδας· καὶ εὐξάμενοι τρά-
πεζαν παρέθηκαν αὐτῷ· τὸν ἄρτον εὐθέως μετ' ἀγάπης μεταλαβ-
ὼν δὲ ἐκτήσατο πρὸς τὸν λόγον ἐλθεῖν αὐτοῖς· παρ' αὐτοῦ οἱ ἀδελφοὶ λέ-
γεσθαι καὶ οἵαις μεθοδείαις δυνάμεθα τοσοῦτον(?) ῥυσθῆναι ἐκ τῆς τοῦ διαβόλου παγίδος· καὶ
πῶς τῶν αἰσχρῶν λογισμῶν περιγένοιντο· ὁ δὲ αὐτοῖς ὡς πνευματικῶν(?) τεκμαιρόμενος(?)
τῶν παρ' ἡμῖν· προσκαρτερεῖν ἐν τοῖς τόποις· ὀλίγον ὕστερον ἀνάπαυ-
σιν πολλὴν μεθ' ἡσυχίας(?) καὶ πολλὰ ἐπερωτήσας(?) αὐτοῖς διαλε-
γόμενος λίαν ὠφέλησεν· παυσάμενος δὲ τῆς νουθετήσεως καὶ μικρὸν ἐν
αὐτῷ γενόμενος διελογίζετο· πῶς ἄλλους νουθετῶν αὐτὸς ἀνουθέτητος
μείνας· καὶ συνιδὼν ἑαυτοῦ τὴν ἧτταν· δρομαῖος πάλιν ἐπὶ τὴν ἔρημον ἀνε-
χώρει· ἀποδυρόμενος ἑαυτὸν καὶ λέγων· εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι· πα-
ρ' ὀλίγον παρῴκησεν τῷ ᾅδῃ ἡ ψυχή μου· καὶ παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κα-
κῷ· καὶ παρὰ μικρὸν συνετέλεσάν με ἐν τῇ γῇ· καὶ ἐγένετο ἐπ' αὐτῷ τὸ εἰρημένον

ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά· καὶ ὡς τεῖχος ἀπτωτο
καὶ τότε ἐκεῖθεν λοιπὸν πεμφθοὺς δὲ τελ πάντα τὸν βίον· τὴν θεόθεν πρ
σεζαν ζημίαν θεὶς καὶ μετὰ καὶ χαμαὶ τοῦτον ἄρτον αὐτοῦ ὑπορριζόμενος· καθαρ
ζας ταρε αὐτὸν ἐν τῷ σπηλαίῳ· καὶ σάκκον καὶ ἀποδὸν ἑαυτῷ ὑποστρώσ· οὐ προ
περὶ ὃν ἔτη χαμόθεν· οὐδὲ παύσασθαι ἀποδυρόμενος· φρικτὸν ἄκου
σαι ἀπέλουε τὸν τοῦ πρὸς αὐτὸν καθ᾽ ὅμαρ· ἐδέξατο ὁ θεὸς τὴν μετάνοιαν σου·
καὶ ἠλέησέ σε· καὶ τὸ λοιπὸν οὐ σφαλήσῃ ἀπατηθείς· ἐλάβομεν, ὦ ἀδελφοί, παρα
καλοῦμεν τε τοὺς ἐμοῦ θέτησας· καὶ κομίσας μὲν σοι εὐλογίας ἃς ὑποδεξάμενος
μεταλήψεως αὐτοῖς καὶ τοῦ θεοῦ δι᾽ ἅπαντος εὐχαριστήσομεν· ταῦτα εἰς τὸ ἐκ
ὑμῖν ὑφῆτησαν μὴ ματαίαν τὴν σωφροσύνην πρὸς τὴν ἄσκησιν τε
κἂν ἐν μεγάλοις δόξῃ πέφυκε· αὕτη γάρ ἐστιν ἡ πρὸς τοὺς ... ἐν τῷ λέγειν·
μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· καὶ ἵνα
μὴ ἀπατηθῆτε ὑπὸ τῶν δαιμόνων τὰς φαντασίας ἡμῖν ἐπιφερόντων· ἐὰν
λέγων τις ἔλθῃ πρὸς ἡμᾶς· ἀδελφὸς ἢ φίλος· ἢ τῶν ἢ πατὴρ ἢ μήτηρ ἢ ἀδελφὸς
ἢ διδάσκαλος· ἢ παῖς· ἢ οἰκέτης· πρῶτον μὲν προσευχὴν ποιεῖσθε ἐκ στό
ματι· καὶ ἐὰν ᾖ φαντασία, ἀφανισθήσεται ἀφ᾽ ὑμῶν· κἂν ἀπατῶσιν ἡμᾶς οἱ δαί
μονες ἢ οἱ ἄνθρωποι κολακεύοντες ἡμᾶς καὶ ἐπαινοῦντες· μὴ πείθεσθαι αὐτοῖς
μηδὲ ἐπαίρεσθε τῇ διανοίᾳ· καὶ γὰρ ἐμὲ οὕτως πολλάκις ἠπάτησαν οἱ δαί
μονες ἐν νυκτί· καὶ οὔτε εὔξασθαί με οὔτε ἀναπαύσασθαι συνεχώρησαν· φαντα
σίας μοι τινὰς παρέχοντες ὅλην τὴν νύκτα· καὶ πρωῒ ἐμπαίζοντες· προσ
έπεσάν μοι λέγοντες· συγχώρησον ἡμῖν ἀββᾶ ὅτι κόπους σοι παρέσχομεν
ὅλην τὴν νύκτα· ἐγὼ δὲ εἶπον πρὸς αὐτούς· ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες
οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οὐ γὰρ μὴ ἐκπειράσητε δοῦλον κυρίου· ὥσπερ
οὖν καὶ ἡμεῖς τὴν ἡσυχίαν μετ᾽ ἀδιαλείπτως τῷ θεῷ προσευχόμενοι· καλὸς μὲν
γὰρ καθ᾽ ἅμα ὁ ἀσκητής· ὁ συνεχῶς ἐν τῷ κόσμῳ γυμναζόμενος· καὶ ἐπὶ
τὰς καλὰς πράξεις ἐπασχολούμενος· ὁ τὴν φιλαδελφίαν ἐπιδεικνύ
μενος· καὶ τὴν φιλοξενίαν καὶ ἀγάπην καὶ ἐλεημοσύνας διαπραττόμενος
καὶ εὐεργετῶν τοὺς παρόντας· καὶ τοῖς κάμνουσιν βοηθῶν· καὶ ἀσκανδά
λιστος διαμένων· καλὸς μὲν οὗτος καὶ πάνυ καλός· πρακτικὸς γὰρ
καὶ ἐργάτης ἐστὶν τῶν ἐντολῶν· ἀλλ᾽ ἐπεὶ ταῖς μερίμναις ἀσχολεῖται· κρείττων ἐκεῖν

τοιούτου καὶ μᾶλλον ὁ θεωρητικὸς ἐκείνου· ὅσα ὁ τῶν πρακτικῶν ἐπὶ τὴν μονὴν
ἀναδραμών· παρ᾽ ἧς ἑτέροις ταῦτα παρορμήσειν· αὐτὸς δὲ καὶ ἑαυτὸν ἀναπαρρησιαζό-
μενος· καὶ ἑαυτοῦ λήθην ἔχων· πολυπραγμονῶν τὰ ἄνω ἀεὶ ἔκλυτος πάντων
τῷ θεῷ παριστάμενος· ὑπ᾽ οὐδεμιᾶς φροντίδος ἑτέρας· ὀπίσω ἀνθελκόμενος ἢ
περισπώμενος· ὁ τοιοῦτος γὰρ θεῷ συνδιάγων· θεῷ συμπολιτεύεται· ἀπαύστοις
ὕμνοις αὐτὸν ὑμνῶν τὸν θεόν· ταῦτα καὶ ἄλλα πολλὰ ἡμῖν διηγούμενος
ὁ μακάριος Ἰωάννης ἐπὶ τρεῖς ἡμέρας ἕως ἐννάτης ὥρας διαλεγόμενος τὰς ψυ-
χὰς ἡμῶν ἐθεράπευσεν· δοὺς δὲ ἡμῖν εὐλογίας ἐν εἰρήνῃ πορευθῆναι προ-
σέταξεν· εἰπὼν ἡμῖν καὶ προφητείαν τινά· ὅτι σήμερον τὰ ἐπινίκι-
α τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου· κατὰ τὴν Ἀλεξάνδρειαν κατεληλύθασιν
τῆς τοῦ τυράννου Εὐγενίου ἀναιρέσεως· καὶ ὅτι δεῖ τὸν βασιλέα οἰκείῳ θανά-
τῳ τελευτῆσαι· ἅπερ ὡς ἐβεβαίου καὶ ἀληθῶς οὕτως ἐγένετο· ὡς δὲ πολλοὺς καὶ
ἄλλους πατέρας ἐθεασάμεθα· ἧκασιν ἀδελφοί· ἀπαγγέλλοντες ἡμῖν τετελειῶ-
σθαι τὸν μακάριον Ἰωάννην· θαυμαστὸν τινα τρόπον· ἐντειλάμενος γὰρ ἐ-
πὶ τρεῖς ἡμέρας· μηδένα συγχωρεῖν πρὸς αὐτὸν ἀνιέναι· κλίνας τὰ γόνατα
εἰς προσευχήν· ἐτελειώθη πρὸς θεὸν ἀπερχόμενος :· Περὶ ἀββᾶ Ἀμμῶνος

Ἐθεασάμεθα ἐν Θηβαΐδι καὶ ἕτερον ἄνδρα ὀνόματι Ἀμμῶνα πατέρα μονα-
χῶν ὡσεὶ τρισχιλίων· οὓς καὶ Ταβεννησιώτας ὀνομάζουσι· μεγάλην ἔχοντας
πολιτείαν· καὶ μηλωτὰς φοροῦντας καὶ κεκαλυμμένῳ προσώπῳ ἐσθίον-
τας· καὶ κάτω νεύοντας· μή τις τὸν πλησίον θεάσηται· καὶ σιωπὴν ἀσ-
κοῦντας πολλήν· ὡς δοκεῖν ἐν ἐρημίᾳ εἶναι· ἕκαστον τὴν ἑαυτοῦ πολιτείαν
κρυφῇ ἐκτελοῦντα· μόνον σχηματικῶς καθημένους ἐπὶ τῆς τραπέ-
ζης καὶ δοκεῖν ἐσθίειν· φερομένοις λανθάνειν ἀλλήλοις· οἱ μὲν γὰρ
αὐτῶν ἅπαξ ἢ δεύτερον τῷ στόματι τὴν χεῖρα προσάγοντες· ἄρτου ἢ ἐλαίων
ἤ τινος τῶν παρακειμένων μεταλαμβάνοντες· καὶ ἑκάστου προσφαγίου ἀπο-
γευόμενοι· ἠρκοῦντο τῇ τροφῇ ταύτῃ· ἄλλοι δὲ τὸν ἄρτον ἠρέμα
μασσώμενοι· ἀπροσποιήτως τὴν τῶν ἄλλων εἶχον τάξιν· οὕτως ἐνεκαρτέ-
ρουν· ἄλλοι δὲ τοῦ ζωμοῦ μόνου τρίτον ἐγεύοντο· ἐνεκαρτέρουν τὸ δὲ τῶν ἄλ-
ἅπερ πάντα καὶ ἄλλο τῶν θαυμάσας ὡς οὐ παρεῖ κατὰ τὴν ἐκ τοῦ τῶν ἀδελ-
φῶν :· Περὶ ἀββᾶ Βη·

Εἴδομεν δὲ καὶ ἄλλον πρεσβύτην· πραότητι πάντας ὑπερβαλλόμενον·
Βῆν ὀνόματι· οὗ διεβεβαιοῦντο οἱ περὶ αὐτὸν ἀδελφοὶ· μηδέπο-
τε ὀμόσαι· μὴ ψεύσασθαι μὴ ὀργισθῆναι κατά τινος· μὴ ἐπιπλῆξαι λόγῳ
τινί ποτε· ἦν γὰρ ὁ βίος αὐτοῦ λίαν ἡσύχιος· ὁ δὲ τρόπος ὡς ἐν ἀγγελικὴν [πα]
κατάστασιν ἔχοντος· ἦν δὲ ταπεινόφρων καὶ ἑαυτὸν εὐτελίζων· πο-
λὰ γὰρ ἡμῶν παρακαλούντων αὐτὸν εἰπεῖν πρὸς ἡμᾶς προτρεπτικόν τι
λόγον· μόλις ἠνέσχετο περὶ πραότητος ἡμῖν μόνον ὀλίγα διαλεχθῆναι·
οὗτος ἱπποπόταμόν ποτε λυμαινόμενον τὴν γείτονα χώραν· ἐπιτάσσων τὸ
πω ὑπὸ τῶν γεωργῶν παρακληθεὶς· καὶ ἰδὼν τὸ θηρίον ἐξαισίον μέγεθος ἔ-
χοντα· πραείᾳ φωνῇ ἐκέλευσεν αὐτῷ λέγων· παραγγέλλω σοι ἐν ὀνό-
ματι Ἰησοῦ Χριστοῦ· μηκέτι λυμαίνεσθαι τὴν χώραν· ὁ δὲ ὡς ὑπὸ ἀγγέλου ἀπελαθεὶς
τοῦ τόπου· παντάπασιν ἀφανὴς γέγονεν· οὕτως καὶ κροκόδειλον ἀπε-
δίωξεν ἄλλοτε·

Περὶ τῆς Ὀξυρύγχου πόλεως.

Παρεγενόμεθα δὲ καὶ εἰς Ὀξύρυγχον τινὶ πόλιν τῆς Θηβαΐδος· ἧς οὐκ ἔστιν ἐφικτὸν [πβ]
κατ᾽ ἀξίαν τὰ θαύματα· γέμει γὰρ ἔνδοθεν οὕτως μοναστηρίων· ὡς αὐτὰ τὰ τεί-
χη αὐτῶν ἠχεῖσθαι τῶν μοναχῶν· περιέχεσθαι δὲ ἔξωθεν ἑτέροις μο-
ναστηρίοις· ὡς ἄλλην εἶναι παρὰ ταύτην τὴν ἔξω πόλιν· ἔγεμον δὲ τῆς πό-
λεως οἱ ναοὶ καὶ τὰ καπετώλια τῶν μοναχῶν· καὶ καθ᾽ ἅπαν μέρος τῆς πόλεως
ᾤκουν οἱ μοναχοί· δεκαδύο γάρ φασιν ἐν αὐτῇ ἐκκλησίαι μεγάλαι τῆς οὔσης τῆς
πόλεως· ἐν αἷς οἱ ὄχλοι συνάγονται· τὰ γὰρ τῶν μοναχῶν εὐκτήρια καθ᾽
ἕκαστον ἦν μοναστήριον· καὶ σχεδὸν πλείους ἦσαν οἱ μοναχοὶ ὑπὲρ τοὺς
κοσμικοὺς πολίτας· καθ᾽ ἁπάσας τὰς εἰσόδους τῆς πόλεως· καὶ ἐν τοῖς πύρ-
γοις τῶν πυλῶν· καθ᾽ ἕτερον τῶν πεντακισχίλιοι μὲν γὰρ μοναχοὶ ἔλε-
γον τοῦ εἶναι ἔνδοθεν· τοσοῦτοι δὲ αὐτὴν ἔξωθεν περιέχοντες· καὶ οὐκ ἦν
ὥρα ἡμερινὴ ἢ νυκτερινή· ἐν ᾗ ἐπετελοῦντο τῷ θεῷ τὰς λατρείας·
ἀλλ᾽ οὐδὲ αἱρετικὸς οὐδὲ ἐθνικὸς ἐστιν ἐν τῇ πόλει· ἀλλὰ πάντες
ὁμοῦ οἱ πολῖται πιστοὶ καὶ κατηχούμενοι· ὡς δύνασθαι δοῦναι τὸν ἐπίσ-
κοπον ἐν τῇ πλατείᾳ εἰρήνην τῷ λαῷ· οἱ δὲ στρατηγοὶ αὐτῶν καὶ οἱ ἄρχοντες
οἱ τὰς φιλοτιμίας τοῖς δήμοις παρέχοντες καθ᾽ ἑκάστας πύλας ἐπιδι-
δόντες· σκοποὺς ἔστησαν πρὸς τὸ εἰ ξένος τις πενόμενος που φανῇ·

ἀχθῆναι πρὸς αὐτοὺς ληψόμενοι πρὸς παραμυθίαν ἀναλώματα·
καὶ τίαν τις εἴποι τὴν εὐλάβειαν τῶν δήμων· ὁρῶντες ἡμᾶς τοὺς ξένους
διὰ τῆς ἀγορᾶς παριόντας· καὶ ὥσπερ ἀγγέλους ἡμῖν προσιόντων·
τί δὲ τὸ πλῆθος ἐξηγήσωμαι τῶν μοναχῶν καὶ παρθένων ἀναρίθμητον
ὄντων· πλὴν ὅσον παρὰ τοῦ ἁγίου ἐκεῖ μου ἐπισκόπου ἠκριβωσά-
μεθα δηλώσομεν· μυρίους μὲν μοναχοὺς ὑπ' αὐτῶν· δισμυρίας δὲ
παρθένους ἔχοντες· τὴν δὲ φιλοξενίαν αὐτοῦ καὶ τὴν ἀγάπην οἵαν εἶχον·
οὐκ ἰσχύομεν ἐξηγεῖσθαι· διεσπάσαντο γὰρ ἡμῶν τὰ παλλία· ἕκαστος ἡμᾶς
πρὸς ἑαυτοὺς ἑλκόντων· εἴδομεν καὶ πολλοὺς καὶ μεγάλους πατέρας·
διάφορα χαρίσματα ἔχοντας· τοὺς μὲν ἐν λόγοις· τοὺς δὲ ἐν πολι-
[πγ] τείᾳ· τοὺς δὲ ἐν δυνάμεσι καὶ σημείοις: Περὶ ἀββᾶ Θέωνος·
Ἴδομεν δὲ καὶ ἄλλον οὐ μακρὰν τῆς πόλεως ἐπὶ τὴν ἔρημον ὀνόματι
Θεωνᾶν· ἄνδρα ἅγιον ἐν μοικίσκῳ κατὰ μόνας ἐγκεκλεισμένον ἐπὶ
τριάκοντα ἔτη χρόνον σιωπὴν ἀσκήσαντα· ὃς πλεῖστα δυ-
νάμεις ἐπετέλεσεν· ὡς προφήτης ὑπ' αὐτῶν ἐνομίζετο· ἐξήρχετο
γὰρ πρὸς αὐτὸν ἡμέριον τὸ πλῆθος τῶν ἀσθενούντων· καὶ διὰ θυ-
ρίδος ἐπιτιθεὶς αὐτοῖς τὰς χεῖρας ὑγιεῖς ἀπέλυεν ἀπελθεῖν· ἦν δὲ
ἰδεῖν αὐτὸν πρόσωπον ἀγγέλου ἔχοντα· χαροποιὸν τοῖς ὀφθαλ-
μοῖς· καὶ πολλῆς χάριτος μεστόν· ὃς πρὸ πολλοῦ τινος χρόνου·
λῃστῶν αὐτῷ ἐπελθόντων νυκτὸς μακρόθεν· οἰηθέντων
χρυσίον ἀρκεῖν παρ' αὐτῷ· καὶ βουλομένων αὐτὸν ἀνελεῖν· ηὔξατο·
καὶ ἐκινήθησαν πρὸς τὰς θύρας ἄχρι πρωῒ ἐφιέμενοι· παραγενομένων
δὲ πρὸς αὐτὸν τῶν ὄχλων· καὶ πυρὶ παραδοῦναι αὐτοὺς ὁρμωμένων·
ἀναγκασθεὶς ἓν μόνον πρὸς αὐτοὺς ἀπεφθέγξατο λόγον· ἄφετε τούτους ὑγιεῖς
ἀπελθεῖν· εἰ δὲ μή, ἡ χάρις τῶν ἰαμάτων ἀπ' ἐμοῦ ἐκφεύξεται· οἱ δὲ ἀ-
κούσαντες αὐτοῦ οὐδὲν γὰρ ἀντιλέγειν ἐτόλμων· καὶ ἦσαν δὲ οἱ λῃσταὶ
ἐν τοῖς πέριξ μοναστηρίοις σὺν τοῖς μοναχοῖς· μεταβαλλόμενοι τὸν
τρόπον· καὶ ἐν τοῖς ἐπηγγελμένοις μετανοοῦντες· πεπαίδευτο
δὲ ἀνὴρ τρισὶ πλήθων λέξεων χάριτι· ἔν τε ἑλληνικοῖς· καὶ ῥωμαϊ-
κοῖς· καὶ αἰγυπτιακοῖς γράμμασιν· καθὼς καὶ παρὰ πολλῶν

θ.

καὶ παρ' αὐτοῦ ἑκάστου ἐμάθομεν· ἐπιστημόνως γὰρ ἡμῖν ἐξερμηνευσάντων· γρά-
φας ἐν πινακιδίῳ· τὸν θεὸν ἐφ' ἡμῖν μὲν ηὐχαρίστησεν· ἤσθιεν δὲ τῶν ὥσπερ
μάλιστα τῶν ἀνέψητων· ἐξιὼν δὲ ὡς φασὶν νύκτωρ τοῦ κελλίου καὶ ἀγρίοις θηρί-
οις συνεπελάζετο· καὶ ἐξ οὗ εἶχεν ὕδατος αὐτὰ ἐπότιζεν· ἦν γὰρ ἰδεῖν ἴχνη
βουβάλων καὶ ὀνάγρων καὶ δορκάδων τινῶν παρὰ τὴν μονὴν αὐτοῦ·
οἷς ἀεὶ περιέτερπετο.

Περὶ ἀββᾶ Ἠλία. [πδ]

Ἴδομεν δὲ καὶ ἕτερον πρεσβύτην ἐν ἐρήμῳ τῆς Ἀντινόου μητροπόλεως
τῆς Θηβαΐδος· ἑκατὸν δέκα ἐτῶν λοιπὸν ὄντα ἐφ' ὃν ἐλέγετο τὸ τοῦ προ-
φήτου Ἠλία πνεῦμα ἀναπέπαυται· διαβόητος γὰρ ἦν οὗτος ἐν τῇ φοβε-
ρᾷ ἐκείνῃ ἐρήμῳ· ἑβδομήκοντα ἔτη ποιήσας· οὐδ' ἔστιν ἀπαγγεῖλαι λόγῳ
ἀξίως· τὴν τραχεῖαν ἐκείνην ἔρημον διηγήσασθαι τὴν ἐν τῷ ὄρει
ἐκείνῳ ἐν ᾧ ἐκαθέζετο· μηδέποτε κατελθὼν εἰς τὴν οἰκουμένην· ἀ-
τραπὸς δὲ στενὴ ἦν τις ἦν πρὸς αὐτὸν ἀνιόντων· ὡς μόλις ἐπιβαίνειν
τοῖς ἴχνεσιν τοὺς ἀφικνουμένους ἔνθεν κἀκεῖθεν λίθων ἀγρίων πε-
ρικειμένων· ἦν δὲ καθήμενος ὑπὸ πέτραν τινὰ εἰς σπήλαιον·
ὥστε καὶ τοῖς ὁρῶσιν αὐτὸν λίαν ἦν φοβερόν· ἔτρεμεν δὲ λοιπὸν ὅλος·
ὑπὸ τοῦ γήρως συνεχόμενος· πολλὰ καθ' ἑκάστην ἡμέραν σημεῖα
ἐπιτελεῖ· ἰώμενος τοὺς κάμνοντας οὐκ ἐπαύετο· ἔλεγον δὲ περὶ
αὐτοῦ οἱ πατέρες ὅτι οὐδεὶς μέμνηται τὴν αὐτοῦ ἐν τῷ ὄρει γεγενημένην
ἄνοδον· ἤσθιεν δὲ ἐν τῷ γήρᾳ τρεῖς οὐγγίας ἄρτου εἰς ἑσπέραν· καὶ τρεῖς
ἐλαίας· ἐν νεότητι δ' ἅπαξ δι' ἑβδομάδος ἐσθίων ἅπαξ διέμενεν.

Περὶ ἀββᾶ Ἀπολλώ. [πε]

Ἐθεασάμεθα δὲ καὶ ἕτερον ἄνδρα ἅγιον ὀνόματι Ἀπολλὼ ἐν Θηβαΐδι ἐν ὁ-
ρίοις Ἑρμουπόλεως· ἐν ᾗ ὁ σωτὴρ μετὰ Μαρίας καὶ τοῦ Ἰωσὴφ παρεγέ-
νετο· Ἠσαΐου τὴν προφητείαν ἐκπληρῶν λέγοντος· ἰδοὺ κύριος κάθη-
ται ἐπὶ νεφέλης κούφης· καὶ ἥξει εἰς Αἴγυπτον· καὶ σεισθήσεται τὰ χει-
ροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ· καὶ πεσοῦνται ἐπὶ τὴν
γῆν· εἴδομεν γὰρ ἐκεῖ καὶ τὸν ναόν· ἔνθα εἰσελθόντος τοῦ σωτῆρος ἐν τῇ πό-
λει τὰ εἴδωλα πάντα κατέπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν
γῆν· εἴδομεν οὖν τὸν ἄνδρα τοῦτον ἐν τῇ ἐρήμῳ ὑπὸ τὸ ὄρος ἔχον-

τῶν μοναστηρίων· πατὴρ μοναχῶν πεντακοσίων· ὃς διαβόητος ἐν
Θηβαΐδι· καὶ ἔργα μεγάλα ἦν αὐτοῦ· καὶ δυνάμεις μεγάλας ἐποίει δι' αὐ
τοῦ ὁ κ(ύριο)ς· σημεῖα δὲ παμπολλὰ δι' αὐτοῦ ἐπετελοῦντο· οὗτος γὰρ ἐκ παι
διόθεν πολλὴν ἄσκησιν ἐνδειξάμενος· ἐν τῷ τέλει τῆς ἡλικίας τοσαύ
της ἔτυχεν χάριτος· ὃς δ' ᾤκει τοῦ ἐπὶ τοῦ ὄρους· μέγα μοναστήριον ἐν αὐτῷ
σῷ ἐκέκτητο σὺν τελείοις ἀνδράσι πεντακοσίοις· διωκόμενος ταῖς χει
δῶν σημεῖα ἐπιτελῶν· οὗτος δὲ καὶ πεντεκαίδεκα ἐτῶν ἀναχωρήσας τοῦ κόσ
μου· καὶ τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ διατελέσας· πᾶσαν ἀρετὴν
ἀκριβῶς ἐξασκήσας· ὕστερον φωνῆς ἀκούειν ἔδοξε τοῦ θ(εο)ῦ πρὸς αὐ
τὸν λέγοντος· Ἀπολλώ· Ἀπολλὼ διὰ σοῦ τὴν σοφίαν τῶν ἐν Αἰ
γύπτῳ σοφῶν· καὶ τὴν σύνεσιν τῶν ἀσυνέτων ἐθνῶν ἀθετήσω· ἀ
πολεῖς δέ μοι σὺν αὐτοῖς καὶ τοὺς σοφοὺς Βαβυλῶνος· καὶ πᾶσαν τὴν
δαιμονικὴν λατρείαν ἐξαφανίσεις· καὶ νῦν πορεύου εἰς τὴν οἰκουμέ
νην· γεννήσεις γάρ μοι λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων· ὁ
δὲ ἀποκριθεὶς εἶπεν· ἄφελε ἀπ' ἐμοῦ δέσποτα τὴν ἀλαζονείαν· μή
πως ὑπεραρθεὶς ὑπὲρ τὴν ἀδελφότητα· τὸ πᾶν ἀγαθὸν ζημι
ωθῶ· εἶπεν δὲ πάλιν ἡ θεία φωνὴ πρὸς αὐτόν· ἐπίβαλον τὴν
χεῖρα σου ἐπὶ τὸν αὐχένα σου· καὶ καθέξεις καὶ κατορύξεις αὐτὴν ἐν
τῇ ἄμμῳ· ὁ δὲ ταχέως τὴν χεῖρα αὐτοῦ ἐπιβαλὼν ἐπὶ τὸν αὐχέ
να ἐδράξατο Αἰθιόπα μικρὸν· καὶ κατέχωσεν αὐτὸν ἐν τῇ ἄμμῳ βο
ῶντα καὶ λέγοντα· ἐγώ εἰμι ὁ τῆς ὑπερηφανείας δαίμων· καὶ πάλιν
φωνὴ ἐγένετο πρὸς αὐτὸν λέγουσα· πορεύου· ὅτι πᾶν ὃ ἐὰν αἰ
τήσῃ παρὰ τοῦ θ(εο)ῦ λήψῃ· ὁ δὲ εὐθέως ἀκούσας εἰς τὴν οἰκουμένην
ἐξώρμησεν· κατὰ τὸν καιρὸν Ἰουλιανοῦ τοῦ τυράννου· καὶ παρα
βάλλει τέως ἐν τῇ πλησίον ἐρήμῳ· σπήλαιον δέ τι μικρὸν κατα
λαβὼν ἐκεῖ κατέμενεν ἐπὶ τοῦ ὄρους· τὸ δὲ ἔργον αὐτοῦ ἦν τὸ πάν
μυρίους εὐχὰς ἀποδοῦναι τῷ θ(ε)ῷ· ἑκατοντάκις μὲν ἐν νυκτί· το
σαυτάκις δὲ ἐν ἡμέρᾳ κάμπτων τὰ γόνατα· ἡ τροφὴ δὲ αὐτοῦ
τέως· καθάπερ πρὸ τοῦ παρὰ θ(εο)ῦ ἐξ ἀμηχανίας ἐχορηγεῖτο
ἐν τῇ ἐρήμῳ γὰρ αὐτῷ δι' ἀγγέλου ἡ τροφὴ ἐκομίζετο· τὸ δὲ ἐνδυ

μα· καὶ αὐτὸς λεβητῶνα ὅνπερ τινὲς κολόβιον ὀνομάζουσιν· καὶ λέντιον
μικρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· ταῦτα γὰρ αὐτοῦ ἐν τῇ ἐρήμῳ ἐνδιαιτώμενα
παλαιούμενα· ἦν γοῦν ἐν τῇ πλησίον τῆς οἰκουμένης ἐρήμῳ· ἐν τῇ δυ
νάμει δι' ἀγώνων τοῦ πνς· σημεῖα καὶ ἰάσεις ἐπιτελῶν θαυμασίας· ὡς οὐκ
ἔστι δι' ὑπερβολὴν πάσας ἐξηγήσασθαι· καθὼς παρ' αὐτῶν σωζομέ
νων αὐτοῦ ἠκούσαμεν· καὶ αὐτὸν τελέσαντα σὺν τῷ ἐκείνου μένων πολλῆς
ἀδελφότητος· γενόμενον οὖν εὐθὺς περιβόητος ὁ ἀνὴρ ὥσπερ μὲν οἷς
προφήτης καὶ ἀπόστολος· τῇ ὑμετέρᾳ γενεᾷ ἐπιφυτήσας· φήμης δὲ
πολλῆς περὶ αὐτοῦ διαδραμούσης πανταχοῦ οἱ περιζωσάμενοι
τῶν μοναχοὶ πρὸς αὐτὸν ἀφίκοντο· ὡς περὶ γνησίους τὰς ἑαυτῶν ψυχ
ὰς ἀναφέροντες· ὁ δὲ οὓς μὲν πρὸς θεωρίαν προσεκαλεῖτο· οὓς δὲ τὴν
πρακτικὴν συνεβίβαζεν μετελθεῖν ἀρετήν· πρότερον δεικνὺς ἔργῳ
ἅπερ λόγῳ ποιεῖν ἄλλοις ἐνουθέτει· πολλάκις γὰρ ἐπιδεικνὺς αὐτ
τὴν ἄσκησιν· κατὰ κυριακὴν μόνην μετὰ τῶν μετελάμβανεν· αὐτὸς
μὲν ὅσαπερ τῶν λαχάνων αὐτομάτως ἐκ τῆς γῆς ἀναφύεται· οὐ
καρπὸν τὸν πέπονα οὐκ ἔσω πορίων· οὔτε μὴν τοῖς φυτοῖς ὁπωρῶν τι δεόμενος
οὐδὲ ὅσα διὰ πυρὸς ἔχει τὴν χρῆσιν· ἀκούσας δὲ ποτὲ ἐν τοῖς Ἰουλιανοῦ
καιροῖς· ὅτι ὁ ἀδελφὸς εἰς στρατείαν κρατηθεὶς ἐν φυλακῇ δεσμώτης κα
τέχεται· παραγίνεται πρὸς αὐτὸν μετὰ τῆς ἀδελφότητος· παρακαλῶν
αὐτὸν καὶ νουθετῶν καρτερεῖν τοῖς πόνοις· καὶ τοῖς ἐπερχομένοις
αὐτοῖς κινδύνοις ὑπερορᾶν· καιρὸν γάρ φησιν εἶναι αὐτῷ ἀγῶνος τοῦ
τηνικαῦτα καὶ τὴν γνώμην αὐτοῦ τῇ τῶν πειρασμῶν προσβολῇ δο
κιμάζεσθαι· ὡς δὲ ἐπεστήριζεν αὐτοῦ τὴν ψυχὴν τοῖς λόγοις τούτοις·
ἐπιστὰς ὁ χιλίαρχος· ὁρμῇ τῆς κακίας φερόμενος· ἀπειλῶν τῷ
αὐτῷ τιμωρίας περὶ αὐτῶν· ἐπιθεὶς κλεῖθρα ταῖς θύραις τῆς φυλακῆς
αὐτόν τε καὶ τοὺς μετ' αὐτοῦ μοναχοὺς πάντας κατέκλεισεν· ὡς ἐπι
τηδείους ἐσομένους πρὸς τὴν στρατείαν· καὶ φύλακας ἱκανοὺς αὐτοῖς
καταστήσας· ἐπὶ τὴν οἰκίαν αὐτοῦ ἀνεχώρησεν· μηδ' ἀχρεῖα κονὸ
παρακληθῆναι ὑπ' αὐτῶν ἀνασχόμενος· κατὰ δὲ τὸ μεσονύκτιον·
λαμπαδηφόρος ἄγγελος φαίνεται τοῖς φυλάττουσιν φωτὶ κατατρα

ποιοῦμεν τῷ οἰκήματι· ὡς ὑπ' ἐκπλήξεως ἀχανεῖς τε γενέσθαι τοὺς φύλα-
κας· οἳ καὶ ἅμα ταῦτ' ἠξίουν αὐτοὺς ἀπελθεῖν ἀνοίξαντες τὰς τῶν θυρῶν αὐτῆς
ἁρμοὺς χθησῶν· ἄμεινον γὰρ αὐτοῖς τεθνάναι ὑπὲρ αὐτῶν ὁμολογοῦντες ὧν
ἢ τὴν θεόθεν ἐλθοῦσαν τοῖς ἀλόγως κατεχομένοις ἐλευθερίαν παριδεῖν·
ὁ τοίνυν χιλίαρχος σὺν τοῖς ἄρχουσιν ἕωθεν τῇ φυλακῇ ἐπιστὰς ἐσπού-
δαζεν τοὺς ἄνδρας τῆς πόλεως ἐξελθεῖν· σφόδρα γὰρ τὸν οἶκον αὐτοῦ ἔ-
φασκε πεπτωκέναι· καὶ τοὺς βελτίστους τῶν θεραπόντων αὐτοῦ κατα-
ληφθῆναι· ἡ δὲ ὡς ἤκουσαν φωνὰς εὐχαριστηρίους ᾄδοντες τῷ θεῷ· ἀπῄ-
εσαν ἐπὶ τὴν ἔρημον· καὶ ἦσαν λοιπὸν ὁμοῦ πάντες κατὰ τὸν ἀποστολικὸν λό-
γον· ἔχοντες καρδίαν καὶ ψυχὴν μίαν· ἐδίδασκεν δὲ αὐτοὺς καθημέραν
διαπρέπειν ταῖς ἀρεταῖς· καὶ πάσας μηχανὰς τοῦ διαβόλου τὰς ἐν τοῖς λο-
γισμοῖς· παρατηρεῖσθαι καὶ εὐθὺς διακρούεσθαι· θραῦσις γὰρ τῆς κε-
φαλῆς τοῦ ὄφεως ἅπαν τὸ σῶμα νεκροῦν ἐστιν· τηρεῖν γάρ φησιν ἡμῖν ὁ κύριος
ἐντέλλεται τὴν κεφαλὴν τοῦ ὄφεως· τοῦτο δέ ἐστιν· ἵνα μηδὲ παρὰ τὴν
ἀρχὴν τοῖς φαύλοις καὶ ἀπρεπέσι λογισμοῖς διὰ μόνης θέας καταδεξώμεθα·
μήτε δὲ καὶ τὴν αἰσχρὰν φαντασίαν τοῦ νοὸς ἡμῶν ἀπαλεῖψαι· πρὸς δὲ
δὲ ἀλλήλους ὑπερβάλλειν ταῖς ἀρεταῖς μή τις ἐλάττων ἐν τοῖς εὐδοκιμή-
σασιν ταύταις φανείη τοῦ ἑτέρου· τεκμήριον δέ φησιν ὑπάρχειν ἑκάστη-
ς τῶν ἀρετῶν προκοπῆς· ὁ ταύτην ἀπαθῆ ψυχὴν καὶ τὴν ἀνορεξίαν κτήσα-
σθαι· ἀρχὴ γὰρ τῶν τοῦ θεοῦ χαρισμάτων ἐστὶν ταῦτα· ὅταν δὲ καὶ τῶν θαυμά-
των ἐπίδειξιν παρὰ θεοῦ κτήσηταί τις· μηδὲ ὡς εἰκαίως ἔχων πεφυσιῶσθαι
μηδὲ ὑπεραρθῆναι τῷ λογισμῷ ὡς ἤδη τι πλέον παρὰ τοὺς ἄλλους τετιμη-
μένους· μηδὲ ὡς ἐπιδεικνύμενος πᾶσιν· ὅτι τῆς αὐτῆς ἀληθινῆς χάριτ-
ος ἠξιώθη· φρενώσαντα ἑαυτὸν συλλαβεῖν τὰς φρένας καὶ τῆς χάριτος ἀξι-
ωθῆναι· εἰ χρὴ μὲν οὖν μετὰ ταῦτα ἐν τοῖς λογισμοῖς διδάγματα ὧν
ἡμεῖς πολλάκις ὕστερον παρ' αὐτοῦ ἀκηκόαμεν· ἐν δὲ τοῖς ἔργοις μᾶλλον
ἀπετέλει· πολλῶν γὰρ ἔτι ἡμῶν αὐτῷ· εὐθὺς ἐδίδοτο παρὰ θεοῦ ἐπουράνια
καὶ ἀποκαλύψεις δὲ ἑώρα τιμίας· ἰδὼν γὰρ τὸν ἑαυτοῦ πρεσβύτατον ἀδελ-
φόν· καὶ αὐτὸν μὲν τῇ ἐρήμῳ τελεσθέντα· καὶ μᾶλλον ἀποκτείναντα ὑπὲρ αὐτοῦ
ἐνδείξαι μόνον· ὡς καὶ αὐτὸς ἐν τῇ ἐρήμῳ πολυχρόνιον ὡς ἔζησεν· καὶ

θύσπονους ἐφαντάζετο σύνθρονον τῶν ἀποστόλων γενόμενον· καὶ τὴν κληρονο-
μίαν τῶν ἀρετῶν αὐτοῦ καταλείψαντα· καὶ ὡς εἴπερ ἐσέβλεψεν ὑπὲρ αὐτοῦ τὸν θεὸν
ἱκετεύοντα, τάχα ἂν αὐτοῦ τὴν μετάθεσιν ποιήσασθαι καὶ σὺν αὐτῷ φέρεσθαι τῷ ὥσπερ οὖσιν
ἀναπαύεσθαι· εἰσιόντος πρὸς αὐτὸν τοῦ πατρὸς· ἐπὶ μικρὸν αὐτὸν χρόνον
τὴν αὐτοῦ χειρονομεῖσθαι τῆς γῆς πρὸς τὴν τελευτήν· ἄχρι ἂν τῆς πολιτεί-
ας αὐτοῦ· πολλοὶ ζηλωταὶ ἔσονται· λαὸς γὰρ αὐτῷ μέγας τῶν μοναχῶν ἐμπι-
στευθήσεσθαι μέλλει· καὶ στρατιὰ πᾶσα εὐσεβής· ἵνα ἀξίαν τῶν καμάτων τὴν
εὐδοκίμησιν οὕτως ἔχῃ παρὰ τὸ κρεῖττον· ταῦτα τοῦ ὀνείρατος· ὥσπερ καὶ γέγονεν·
συνελθόντων γὰρ πολλῶν αὐτῷ ἐξ ἀκοῆς μοναχῶν πρὸς αὐτόν· καὶ διὰ τῆς δι-
δαχῆς αὐτοῦ καὶ τῆς ἀναστροφῆς, πλῆθος ὂν παντελῶς ἀποταξαμένων
τοῦ κόσμου· ἕτερον ὢν οἰκίαν τῶν ἀδελφῶν ὁμοῦ πρὸς αὐτὸν ἐν τῷ ὄρει·
ἄχρι πεντακοσίων· κοινὸν τὸν βίον ἐχόντων· καὶ τράπεζαν μίαν διαιτω-
μένων· καὶ ἦν ἰδεῖν αὐτοὺς ἀγγελικήν τινα στρατιὰν κεκοσμημένων· κόσ-
μῳ παντὶ λευκοφορούντων· καὶ τὸ τῆς γραφῆς ἐπ' αὐτῆς πεπληρῶσθαι
λεγούσης· εὐφράνθητι ἔρημος διψῶσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνου-
σα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα·
πεπλήρωται γὰρ καὶ ἐπὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας· τὸ προφητικὸν τοῦτο
λόγιον· τετέλεσται δὲ καὶ ἐπὶ ταῖς αἰγυπτιακαῖς ἐρήμοις· πλείονα τὰ τέκνα
θεοῦ παρεχούσης ὑπὲρ τὴν οἰκουμένην γῆν· ποῦ γὰρ τοσαῦται εἰσὶν ἐν ταῖς
πόλεσι τῶν σωζομένων ἀγέλαι μοναχῶν· ὅσας ἡ κατ' Αἴγυπτον ἔρημος
τῷ θεῷ παρέχουσιν· ὅσοι γὰρ ἐν ταύταις λαοί· τοσοῦτοι ἐν ταῖς ἐρήμοις
ἐκεῖ μοναχοί· καί μοι δοκεῖ τὸ τοῦ ἀποστόλου ῥητὸν καὶ ἐπ' αὐτοὺς πεπληρῶσ-
θαι λεγόμενον· ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία· ἐκεῖ ὑπερεπερίσσευσεν
ἡ χάρις· ἐπλεόνασε γάρ ποτε ἐν τῇ Αἰγύπτῳ πολλή τις καὶ ἀσέμνος εἰ-
δωλολατρεία· ὅσον οὐδ' ἐν ἔθνει· κύνας γὰρ καὶ πιθήκους καὶ ἄλλα τινὰ ἐθερά-
πευον· καὶ σκόρδα καὶ κρόμμυα· καὶ πολλὰ τῶν εὐτελῶν λαχάνων θεοὺς ἐνό-
μιζον· ὡς αὐτῶν τούτων τοὺς φιλοσόφους ἀπολλὼς ἤκουσα διηγουμένους περὶ αὐτῶν·
καὶ τῆς προτέρας πολυθείας τὴν αἰτίαν ἀπαγγέλλοντας· τὸν μὲν γὰρ βοῦν
φασὶν ἐθεοποίουν οἱ τὸ πρὶν παροικοῦντες Ἕλληνες· ἐπειδὴ
δι' αὐτοῦ τὴν γεωργίαν ἐπιτελοῦντες, τὴν τροφὴν ἐκομίζοντο· τὸ δὲ

ὕδατος τοῦ Νείλου· ὅτι τὰς χώρας αὐτῶν ἤρδευεν· ἐσέβοντο δὲ καὶ τὴν γῆν ὡς εὐφο-
ρωτάτην οὖσαν παρὰ τὰς ἄλλας χώρας· τά τε λοιπὰ βδελύγματα
κύνας τε καὶ πιθήκους· καὶ πᾶσαν τὴν λοιπὴν ἀπρέπειαν· τοὺς δὲ ὄφεις τε καὶ
λάχανα μὲν ἐθεράπευον· καθότι προφάσεις αὐτοῖς ἐπέλιπον τῆς χρείας· ἐγὼ
μαι σελήνας· ἐν τῷ καιρῷ τοῦ Φαραὼ τοῖς ἀγίοις ἀπασχολῆσαι· ἡνίκα καὶ ἐ-
καθ᾽ ὃν ἡ λοιπὸς ὄχλος κατεποντίσθη· ἕκαστος γὰρ περιοῦν ἡ χολὴ ἣ μὲν ἀ-
κολουθήσας τοῦ Φαραώ· τοῦτο ἐθεοποίησεν λέγων· τοῦτο μοι θεὸς γέγονε
σήμερον· διὸ οὕτω ἀπολόμενον τοῦ Φαραώ· ταῦτα μὲν ἐν λόγοις ἄρχει ὁ
ἄλλος Ἀπολλῶ· περὶ δὲ τοῦ μὲν λόγου ἅπερ ἐν τοῖς λόγοις ἐκέκτητο· χρὴ ἡγεῖσθαι
ἦσαν γὰρ αὐτῷ ποτὲ Ἕλληνες παροικοῦντες χρόνον πάντας τοὺς τόπους
καὶ κόσμον δὲ μᾶλλον ἀπλησίον αὐτοῦ τὴν δαιμονικὴν ἀθέμιτον λατρείαν ἐσέ-
βοντο· ναὸς δὲ ἦν μέγιστος ἐν μεσαιτάτῳ οἴκῳ — καὶ ἄλλο ὅλον ἑαυτοῦ ἐπιφανέ-
στατον· ξύλινον δὲ ἀρατὸν ξόανον τοῦτο ἦν· ἐπόμπευον δὲ περιφέρον-
τες τὰς κώμας· οἱ μιαροὶ ἱερεῖς βακχεύοντες μετὰ τοῦ πλήθους· ὡς
δὲ ἦν ὑπὲρ τοῦ ποταμίου ὕδατος τὴν τελευτὴν ἀποδόντες· συνέβη
κατεκάμνον τὸν καιρὸν· ἔκαθεν παριέναι τὸν ἄλλον Ἀπολλῶ· ἅμα
τισὶν ὀλίγοις ἀδελφοῖς· ὡς δὲ εἶδεν τὸ πλῆθος ἐξέφηνε δαιμονιώδης
κατὰ τὴν χώραν μαινόμενον· κἀφίστας τὰ σώματα τοσοῦτον εἰς πάντ-
τοὺς Ἕλληνας ἀκινήτους ἐποίησεν· ὡς δὲ προῆλθον τοῦ τόπου ἐκεῖθεν
οὐκ ἠδυνάτο· ἄλλος τὸν ἄλλον ὁ θεῶντες· καὶ ἐφρύγοντο τῷ καύματι
πανημέριον· τὸ σημεῖον αὐτοῖς ἀπορροῦντες πόθεν γέγονε· τότε
ἱερεῖς αὐτῶν ἔφασκον· Χελκίαν ὄντινα εἶναι ἐν τοῖς ὁρίοις αὐτῶν καὶ
πλανώμενον κατὰ τὴν ἔρημον· καὶ ταῦτα αὐτοῖς ἐν μέρει τῷ παντὶ ὁ Ἀπολλῶ
ἔφασκον· καὶ δεῖν αὐτὸν ἱκετεύειν· ἵνα μὴ κινδυνεύσωσιν· ὡς δὲ οἱ πόρρω-
θεν προσοικοῦντες· τὰς βοὰς καὶ τὸν θρύλον ἀκούσαντες παρεγένοντο
καὶ τὴν φάσιν τοσαύτην εἶναι ἐξαπίνης· ἢ πόθεν γέγονεν· οἱ δὲ οὐκ οἴδαμεν
ἔφασκον· ἀνδρὸς λέγοντες ὅτι δεῖ ἐξιλεοῦσθαι ἐκεῖνον μόνον οἱ δὲ καὶ ἐμαρτύ-
ρουν ὡς θεασάμενοι αὐτὸν παριόντα· καὶ ὡς ἠξίουν αὐτοὺς· ταχέως
αὐτοῖς γενέσθαι τὴν βοήθειαν· βόας ἀγαγόντες μετακινηθῆναι τῶν ἀλ-
λομένων ἠροῦντο· ὡς ἀκινήτων σῶν αὐτοῖς τοῖς ἱερεῦσι διέμενεν·

καὶ μηδεμίαν ἑτέραν μηχανὴν ἐφευρόντων· πρεσβείαν διὰ τῶν παροικούντων
πρὸς τὸν Ἀπολλὼ ἔπεμπον· ὥστε ἀπολυθέντας ἐκεῖθεν ἀπὸ ἀνάγκης τῆς πλάνης
τούτων δὲ τῷ ἀνδρὶ δηλωθέντων· κατῆλθεν ὁ ταχέως πρὸς αὐτοὺς ὁ τοῦ θεοῦ ἄνθρωπος
καὶ προσευξάμενος πάντας ἔλυσεν τοῦ δεσμοῦ· οἱ δὲ ὁμοθυμαδὸν πάντες
πρὸς αὐτὸν ὥρμησαν· τῷ σωτῆρι τῶν ὅλων καὶ παραδόξων θεῷ καταπιστευσάντων
τὸ εἴδωλον εὐθέως τῷ πυρὶ παραδόντων· οὓς ἅπαντας κατηχήσας ταῖς ἐκ-
κλησίαις προσέθηκεν· πολλοὶ δ' αὐτῶν μέχρι νῦν ἐν τοῖς μοναστηρίοις διά-
γουσιν· διέδραμεν δὲ ἡ φήμη πανταχοῦ περὶ αὐτοῦ· καὶ πολλοὶ ἐπίστευσαν
ἐπὶ τὸν κύριον· ὡς μηκέτι ἐν τοῖς ὁρίοις αὐτοῦ Ἕλληνας ὀνομάζεσθαι· μετ' οὐ πο-
λὺ δὲ τοῦ χρόνου· δύο κῶμαι πρὸς ἀλλήλας συμβάλλουσιν εἰς πόλεμον ὑπὲρ ἀρου-
ρῶν διαμαχόμεναι· ὡς δ' ἀπηγγέλθη τῷ ἀνδρί· ἐλθὼν κατὰ τάχος πρὸς αὐτοὺς διαλ-
λάξων αὐτοὺς εἰρήνῃ· οἱ δὲ ἐξ ἐναντίας οὐκ ἐπείθοντο· ἀλλ' ἦσαν αὐτῷ ἀντι-
λέγοντες· ἔφερεν γάρ τις μία ἀρχιληστὴς πεποιθὼς τῷ ὡς τέμμαι στάτως πρὸς πόλε-
μον· ἰδὼν δ' αὐτὸν ὁ Ἀπολλὼ ἀντιλέγοντα λέγει αὐτῷ· ἐὰν πεισθῇς ἐμοί ὦ
φίλος· ἐρῶ τῷ δεσπότῃ μου ἀφεθῆναί σου τὰς ἁμαρτίας· ὁ δὲ ὡς ἤ-
κουσεν οὐκ ἐμέλλησεν· ἀλλὰ ῥίψας τὰ ὅπλα τοῖς ποσὶν αὐτοῦ προσίκετευ-
σεν· καὶ μετὰ τῆς εἰρήνης γενόμενος· τοῖς οἰκείοις ἀφεὶς τὰ ἴδια ὑπέστρεψεν· τῶν
δὲ εἰρηνευσάντων καὶ ἀπελθόντων· τότε διαρρήξας αὐτῶν πρόμαχος ἀπήει τὸ
λοιπὸν τῷ ἀνδρὶ τὴν ὑπόσχεσιν φανερώσαι τῶν· ὃν προσλαβόμενος
ὁ μακάριος Ἀπολλὼ ἐν τῇ πλησίον ἐρήμῳ· ἐνουθέτει καὶ παρεκάλει μα-
κροθυμεῖν· δυνατὸν γὰρ εἶναι τὸν θεὸν λέγων τοῦτο αὐτῷ παρασχεῖν· ὡς δ'
ἦν ὕπνος ἐπέστη καὶ δι' ἀμφω κατωνάρησαν ἐνυπνίῳ τῷ βήματι τοῦ Χριστοῦ παρε-
στῶτα· ἐθεώρουν δ' ἀμφότεροι τοὺς ἀγγέλους σὺν τοῖς δικαίοις τὸν θεὸν προσ-
κυνοῦντας· ὡς δὲ καὶ οὗτοι πεσόντες ὁμοῦ προσεκύνησαν τὸν θεόν· φωνὴ
πρὸς αὐτοὺς γέγονεν τοῦ θεοῦ λέγοντος· τίς κοινωνία φωτὶ πρὸς σκότος· ἢ
τίς μερὶς πιστῷ μετὰ ἀπίστου· τί γὰρ καὶ ὁ ἀνδροφόνος σὺν τῷ δικαίῳ πα-
ρέστηκεν ἀνάξιος ὢν τῆς τοιαύτης θεωρίας· ἀλλ' ἄπελθε σύ· σοὶ ἂν ἐ-
κεχάρισται· σοὶ γὰρ ὁ ἡγούμενος οὗτος προσέφυγε· ἀλλά τε πολλὰ θαυμαστὰ
ἰδόντων τε καὶ ἀκουσάντων· ἃ οὔτε λόγος τολμᾷ φράσαι· οὔτε οἱ ἀκούοντες
ἐξυπνοι γενόμενοι καὶ τοῖς σώζουσιν ἀπήγγελον· θαῦμα δὲ πάντας ἔσχεν

ἐξαίσιον· τὸ ὅραμα ἀμφοτέρων δεικνυμένων· διαγενόμενος οὖν σὺν τοῖς ἀσκη-
ταῖς ὁ οὐκέτι ἀνδροφόνος ἄχρι τελευτῆς· τὸν ἑαυτοῦ τρόπον διορθωσάμε-
νος· οἷον ἀρνίον τι ἄκακον· ἐκ λύκου μεταβληθείς· ἐπληροῦτο δὲ ἐπ' αὐτῷ
ἡ προφητεία Ἠσαΐου λέγοντος· λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται· καὶ λέων
καὶ βοῦς ἅμα φάγονται ἄχυρα· ἦν γὰρ ἰδεῖν ἐκεῖ καὶ Αἰθίοπας σὺν τοῖς μοναχοῖς
ἀσκοῦντας· καὶ πολλοὺς ὑπερβάλλοντας ἐν ταῖς ἀρεταῖς· καὶ πεπληρωμένην καὶ ἐ-
π' αὐτοῖς τὴν γραφὴν λέγουσαν· Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ·
ἄλλοτε δὲ ἐκίνησαν Ἕλληνες πρὸς χριστιανοὺς κώμην τινὰς διαμαχόμενοι· ὑπὲρ
ὅρων αὐτῶν· πλῆθος δὲ ἦν ἑκατέρωθεν φερομένων ὅπλων· οἷς ἐπέστη ὁ Ἀπολλὼς εἰρη-
νεύσων· ἀνθίστατο δὲ αὐτῷ ὁ τῶν Ἑλλήνων πρόμαχος· δῆμός τις ἄγριος ὤν· δι-
αβεβαιούμενος καὶ λέγων μὴ δώσειν εἰρήνην ἄχρι θανάτου· ὁ δέ φησι πρὸς
αὐτόν· καὶ δὴ γένεσθαι ὅπερ εἵλου· οὐδεὶς γὰρ ἕτερος ἀναιρεθήσεται· πλὴν σοῦ·
ἔσται δέ σοι θανόντι· οὐχ ἡ γῆ τάφος· ἀλλὰ γαστὴρ τῶν θηρίων καὶ γυπῶν πληθυνθή-
σονται ἀπὸ σοῦ· καὶ δὴ ὁ λόγος εὐθὺς ἔργον γέγονεν· οὐδενὸς ἐξ ἑκατέρου μέ-
ρους ἀναιρεθέντος πλὴν τοῦ προμάχου· ὃν καὶ χώσαντες ἐν τῇ ἄμμῳ· πρω-
ὶ δὲ εὗρον μέλη ἐσπαραγμένον· ὑπὸ γυπῶν καὶ ὑαινῶν· οἱ δὲ ἰδόντες τὸ θαῦ-
μα καὶ τὴν τοῦ λόγου ἔκβασιν· πάντες τῷ σωτῆρι πιστεύσαντες· προφήτην
αὐτὸν ἀνεκήρυττον· ἦν δὲ ἔτι πρὸ τούτου ἐν τῷ σπηλαίῳ τοῦ ὄρους ὁ ἅγιος Ἀ-
πολλὼς· σὺν πέντε τισὶν ἀδελφοῖς· οἱ πρόσφατοι πρὸς αὐτὸν ἐμαθήτευον-
το· ἕως τῆς ἐρήμου ἐληλυθότος· ἐπῆλθε μὲν δὲ ἑορτὴ τοῦ πάσχα· καὶ τὴν
λατρείαν τῷ θεῷ ἐν τῷ σπηλαίῳ ἀποπληρώσαντες· ἔμελλον τὰ δ' ἐκ-
κόμενα διαιτᾶσθαι· ἦσαν δὲ καὶ ἄρτοι ὀλίγοι ξηροί· καὶ σύνθετά τι μάλα-
χαι· καὶ δὴ ὁ πρὸς αὐτοὺς Ἀπολλὼς ἔφη· εἰ πιστοί ἐσμεν ὦ τέκνα καὶ γνήσιοι
τοῦ Χριστοῦ παῖδες· αἰτησάσθω ἕκαστος ἡμῶν παρὰ θεοῦ ὃ καταθύμιον ἔχει
πρὸς τὴν μετάληψιν· οἱ δὲ ὡς αὐτῷ τὸ πᾶν ἐπέτρεψαν· ἀναξίους ἑαυτοὺς
ἡγούμενοι ταύτης τῆς χάριτος· φαιδρῷ τῷ προσώπῳ προσευξαμένου
αὐτοῦ· καὶ πάντων τὸ ἀμὴν εἰρηκότων· εὐθὺς ἐπέστησαν τῷ σπηλαίῳ νυ-
κτός· τινὲς ἄνδρες ἀγνῶτες παντελῶς· καὶ ἀπορρηθὲν αὐτοῖς ἣν κομ-
φασκόντων· πάντα φερόντων· ὅσα οὐδὲ ἀκοὴν αὐτῶν ἐληλύθει· καὶ ὅ-
σα ἐν Αἰγύπτῳ οὐ γίνονται· καρποὺς παντοδαποὺς παραδείσου· τα-

φυλὰς καὶ ῥοὰς καὶ σῦκα καὶ καρύα, παρὰ καιρὸν ἅπαντα ταῦτα ἠρημένα καὶ μέλι
κηρίων τίμιον καὶ γάλακτος μεσαρουγάμμον καὶ μικολάφους παμμεγέθεις· ἄρτους
καθαροὺς καὶ θερμούς· ξένης τε χώρας ὄντας αὐτοῖς κομιζομένους. οἱ δὲ κομίσαντες
αὐτὰ ἄνδρες ἐπιδόντες τὸ μόνον ὡς παρά τινος μεγάλου ἀνδρὸς καὶ πλουσίου
ἀποσταλέντα, εὐθὺς μετὰ σπουδῆς ἀνεχώρησαν. μεταλαβόντων δὲ τῶν ἐ-
δεδομένων ἄχρι πεντηκοστῆς ἐξ αὐτῶν ἀπηρκέσθησαν· ὥστε θαυμάζειν
αὐτοὺς καὶ λέγειν· ὅτι ἀληθῶς ταῦτα παρὰ θεοῦ ἀπεστάλησαν. φασὶ δέ τινα τῶν μονα-
χῶν ἠξίου παραχρῆμα τὸν πατέρα δεχθῆναι· προσευξαμένου δὲ αὐτοῦ, ἡ τῆς τα-
πεινοφροσύνης αὐτοῦ ἀποδίδοται χάρις. καὶ τῆς πραΰτητος κτησαμένου
ἕξιν, τοσοῦτον δὲ ἦσαν οἱ περὶ αὐτὸν ὥστε ταύτας αὐτοῦ τὰς δυνάμεις. μαρτυ-
ρούντων ταύτας καὶ πολλῶν ἀδελφῶν. καὶ γὰρ λιμοῦ ποτε οὕτω πολλοῦ χρόνου
κατὰ τὴν Θηβαΐδα πιεζομένου, ἀκούσαντες οἱ πέριξ οἰκοῦντες τοῖς τόποις
λαοὶ ὅτιπερ οἱ περὶ αὐτὸν μοναχοὶ πολλάκις ἐξ ἀμηχάνων ἐτρέφοντο·
παρῆσαν ὁμοθυμαδὸν πρὸς αὐτὸν σὺν γυναιξὶν καὶ τέκνοις δι' εὐλογίας ἅμα
καὶ τροφὴν αἰτοῦντες· ὁ δὲ μὴ δεδιὼς μὴ ὑποτελευτήσῃ τῶν βρωμάτων, ἐδί-
δου πᾶσι τοῖς ἐρχομένοις ἑκάστῳ τὸ αὔταρκες ἡμέριον. ὑπολειφθεισῶν
δὲ τριῶν σπυρίδων μεγάλων μόνον μετὰ τῶν ἄρτων, ἐν τοῦ λιμοῦ ἐ-
πικρατοῦντος· προστάσσει μέσον φέρεσθαι τὰς σπυρίδας· ἃς οἱ μο-
ναχοὶ κατ' αὐτὴν τὴν ἡμέραν ἐσθίειν ἔμελλον· καὶ φησὶν ὑπήκοον πάντων
τῶν ἀδελφῶν καὶ τῶν ὄχλων, εἶπεν μεγάλῃ τῇ φωνῇ· μὴ οὐκ ἰσχύει ἡ χεὶρ
κυρίου πληθῦναι ταῦτα; καὶ ταῦτα δὲ λέγει τὸ πνεῦμα τὸ ἅγιον· οὐ μὴ ἐκλείψῃ ὁ ἄρτος
ἐκ τῶν σπυρίδων τούτων ἄχρις ἂν χορτασθῶμεν ἅπαντες τοῦ νέου
σίτου. καὶ διεβεβαιώσαντο πάντες οἱ παραγενόμενοι τότε τετρα-
μήνου πᾶσιν ἐπαρκέσαι τοὺς ἄρτους. ὁμοίως δὲ καὶ ἐπὶ ἐλαίου καὶ σίτου
πεποίηκεν· ὥστε παραφῆναι τὸν σατανᾶν καὶ ἐπιφανῆναι πρὸς αὐτόν· μὴ Ἠλί-
ας εἶ ἢ ἕτερός τις τῶν προφητῶν καὶ ἀποστόλων, ὅτι ταῦτα τολμᾷς;
ὁ δὲ πρὸς αὐτὸν ἔφη· ὅτι γὰρ οὐκ ἄνθρωποι ἦσαν οἱ ἄλλοι προφῆται καὶ ἀπόστολοι
οἱ ταῦτα ἡμῖν παραδόντες; ἢ τότε παρῆν μὲν ὁ θεός, νῦν δὲ ἀπεδή-
μησεν; δυνατὸς ὁ θεὸς ἀεὶ ποιεῖν ταῦτα· καὶ οὐδὲν ἀδύνατον αὐτῷ. εἰ οὖν ὁ θεὸς
ἀγαθός, σὺ διὰ τί πονηρός; τί γὰρ ὃ δεῖ λέγειν καὶ ἡμᾶς ἑωράκαμεν. (τι)

μετὰ σπυρίδας· φοιτῶμεν ἐν ταῖς τραπέζαις τῶν ἀδελφῶν οἱ τοὺς ἄρτους
φέροντες· καὶ ἐσθίομεν τῶν πεντακοσίων ἀδελφῶν ἄχρι καιροῦ· μετὰ τὸ π-
λιμὸν αὐτὰς ἀπεληλύθαμεν· ὡς δ' ἕτερον θαῦμα εἴδομεν τὸ ἐξῆς πολλῶν ἡμερῶν δι-
καιόν ἐστιν εἰπεῖν· ἐλθόντων πρὸς αὐτὸν τριῶν ἡμῶν ἀδελφοί· ἔτι ὁρώ-
μενοι πόρρω τῶν ἀδελφῶν ὑπ' αὐτῶν· ὡς ἐθεάσαντο τῶν προακουσάντων τῶν
παρ' αὐτοῦ· περὶ τῆς ἡμῶν πρὸς αὐτὸν ἀφίξεως· οἱ μετὰ σπουδῆς προ-
δραμόντες ὑπήντησαν ἡμῖν ψάλλοντες· τοῦτο γὰρ ἔθος ἐστὶ παρὰ πᾶσι
τοῖς μοναχοῖς· καὶ προσεκύνησαν τῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν· ἐφί-
λουν ἡμᾶς ἀλλήλοις ὑποδεικνύοντες ἡμᾶς καὶ λέγοντες· ἰδοὺ ἥκασιν οἱ ἀ-
δελφοὶ περὶ ὧν ὁ σωτὴρ πρὸ τριῶν ἡμερῶν προείρηκεν ἡμῖν λέγων· ὅτι
μετὰ τρεῖς ἡμέρας ἥξουσι πρὸς ἡμᾶς τρεῖς ἀδελφοὶ ἀπὸ Ἱεροσολύμων ἐρχό-
μενοι· καὶ οἱ μὲν προῆγον ἡμᾶς· οἱ δὲ ἠκολούθουν ὄπισθεν ἡμῶν ψάλλοντες
ἄχρις ἂν πλησίον αὐτοῦ ἐφθάσαμεν· ἀκούσας δὲ ὁ πατὴρ Ἀπολλὼς τῆς φω-
νῆς ψαλλόντων· ὑπήντησεν ἡμῖν καθὼς τὸ ἔθος αὐτῷ· τὸ πρὸς πάντας
τοὺς ἀδελφούς· καὶ ἰδὼν ἡμᾶς· προσεκύνησεν πρῶτον ἐπὶ τὴν γῆν
ἑαυτὸν ἐξαπλώσας· καὶ ἀναστὰς ἐφίλησεν· καὶ εἰσαγαγὼν ὑπενίψατο τοὺς
πόδας ἡμῶν μετὰ χερσὶν οἰκείαις· καὶ πρὸς τὴν ἀνάπαυσιν προετρέπε-
το· τοῦτο δὲ ἐποίει πᾶσι τοῖς ἐρχομένοις πρὸς αὐτὸν ἀδελφοῖς· οἱ γὰρ
σὺν αὐτῷ ἀδελφοὶ οὐ πρότερον τῆς τροφῆς μετελάμβανον· πρὶν ἢ τῆς
εὐχαριστίας τοῦ Χριστοῦ κοινωνήσωσιν· τοῦτο δὲ ἐποίουν κατὰ τὴν ἐννάτην ὥραν
ἡμερῶν· εἶθ' οὕτως διατεθέντες ἐκάθηντο ἀκούοντες αὐτοῦ διδάσκον-
τος πάσας τὰς ἐντολὰς ἄχρι τοῦ πρώτου ὕπνου· ἐκεῖθεν οἱ μὲν ἐξ αὐ-
τῶν ἐπὶ τὴν ἔρημον ἀνεχώρουν ἀποστηθίζοντες τὰς γραφὰς ὅλην τὴν
νύκτα· οἱ δὲ καὶ προσεκαρτέρουν αὐτοῖς τοῖς ὕμνοις τὸν θεὸν εὐφημοῦντες
ἄχρι ἡμέρας· οὓς ἐγὼ αὐτὸς τεθέαμαι· ἀφ' ἑσπέρας ἀρξαμένους τοὺς ὕ-
μνους· καὶ μέχρι πρωΐας παυσαμένους τῆς ᾠδῆς· πολλοὶ γοῦν αὐτῶν κα-
τὴν ἐννάτην ὥραν κατερχόμενοι ἐκ τοῦ ὄρους· καὶ τῆς εὐχαριστίας μεταλαμ-
βάνοντες πάλιν ἀνίεσαν· ἀρκούμενοι τῇ πνευματικῇ μόνῃ τροφῇ· ἄχρις
ἄλλης ἐννάτης· τοῦτο δὲ ἐποίουν πολλοὶ ἐξ αὐτῶν ἐπὶ πολλὰς ἡμέρας
ἦν δὲ ἰδεῖν αὐτοὺς ἀγαλλιωμένους κατὰ τὴν ἔρημον· ὡς οὐκ ἄν τις ἴδοι ἐπὶ τῆς

τῆς ἄλλης τιμαῖς ἀγαλλίασιν· οὐδὲ εὐφροσύνην πνευματικήν· οὐδὲ γὰρ σκυθρωπὸς οὐδὲ
κατηφής τις ἦν ἐν αὐτοῖς· ἀλλ᾽ εἴ τις πού σκυθρωπάζων ἀνεφάνη, ἐπυνθάνετο
παρ᾽ αὐτοῦ ὁ πατὴρ Ἀπολλὼς τὴν αἰτίαν· καὶ τὰ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἑκά-
στου ἀνήγγελεν· ἔλεγεν δέ· οὐ χρὴ σκυθρωπάζειν ἐπὶ τὴν σωτηρίαν· μέλλοντας βασιλείαν
οὐρανῶν κληρονομεῖν· σκυθρωπαζέτωσαν μὲν Ἕλληνες· κλαιέτωσαν δὲ οἱ Ἰουδαῖοι·
πενθείτωσαν δὲ οἱ ἁμαρτωλοί· οἱ δὲ δίκαιοι εὐφρανθήσονται· καὶ οἱ τὰ γήινα φρο-
νοῦντες· ἐπὶ τοῖς γηΐνοις εὐφραίνονται· ἡμεῖς δὲ τηλικαύτης ἐλπίδος
καταξιωθέντες· πῶς οὐχὶ διαπαντὸς εὐφραινόμεθα· τοῦ ἀποστόλου ἡμᾶς
παραινοῦντος· πάντοτε χαίρειν· ἀδιαλείπτως προσεύχεσθαι· ἐν παντὶ
εὐχαριστεῖν· καὶ τί δ᾽ ἄν τις εἴποι τὴν ἐν τοῖς λόγοις αὐτοῦ χάριν καὶ τὰς λοιπὰς ἀ-
ρετάς· ἃς δι᾽ ὑπερβολὴν θαύματος ἐσιωπήσαμεν· ἕκαστα δὲ παρ᾽ αὐτοῦ
καὶ τῶν ἄλλων ἀκούοντες· πολλὰ περὶ ἀσκήσεως καὶ πολιτείας κατὰ μόνας ἡ-
μῖν διαλεχθείς· πολλάκις καὶ περὶ τῆς ὑποδοχῆς τῶν ἀδελφῶν ἔλεγεν·
ὅτι δεῖ διερχομένοις τοῖς ἀδελφοῖς προσκυνεῖν· οὐ γὰρ αὐτοῖς ἀλλὰ τὸν θεὸν
προσεκύνησας· ἴδες γάρ φησιν τὸν ἀδελφόν σου· ἴδες τὸν θεόν σου· καὶ τοῦ-
τό φησιν παρὰ τοῦ Ἀβραὰμ παρειλήφαμεν· καὶ ὅτι δεῖ ἐξελθόντα τοὺς ἀ-
δελφοὺς πρὸς ἀνάπαυσιν παραβιάζεσθαι παρὰ τοῦ Λὼτ μεμαθήκα-
μεν· τοῦ παραβιασαμένου τοὺς ἀγγέλους· καὶ ὅτι δεῖ εἰ δυνατὸν τοῖς μονα-
χοῖς καθ᾽ ἑκάστην ἡμέραν τῶν μυστηρίων τοῦ Χριστοῦ κοινωνεῖν· ὁ γὰρ μακρύνων
ἑαυτὸν ἀπὸ τούτων· μακρύνεται ἀπὸ τοῦ θεοῦ· ὁ δὲ συνεχῶς τοῦτο ποιῶν συ-
νεχῶς τὸν σωτῆρα ἀποδέχεται· ἡ γὰρ σωτήριος φωνὴ φησίν· ὁ ἐσθίων μου τὴν
σάρκα καὶ πίνων μου τὸ αἷμα· ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ· τοῦτο συμ-
φέρει τοῖς μοναχοῖς· ὑπόμνησιν τοῦ σωτηρίου πάθους συνεχῶς ποιουμένους·
καὶ καθ᾽ ἡμέραν ἑτοίμους εἶναι καὶ παρασκευάζειν ἑαυτοὺς τοιούτους· ὥστε ἀ-
ξίους εἶναι πάντοτε πρὸς τὴν τῶν οὐρανίων καὶ θείων μυστηρίων ὑποδοχήν·
ἐπεὶ καὶ ἀφέσεως ἁμαρτιῶν· οὕτω καταξιούμεθα· τὰς δὲ καθολικὰς νηστείας
φησὶν μὴ ἐξὸν λύειν· ἂν μὴ πάσης ἀνάγκης· ἐν γὰρ τετράδι ὁ σωτὴρ παρ-
εδίδοτο· ἐν δὲ τῇ παρασκευῇ ἐσταυροῦτο· ὁ οὖν ταῦτα λύων· συμπαρα-
δίδωσιν τὸν σωτῆρα καὶ συσταυροῖ· ἀλλ᾽ ἐὰν ἥκῃ πρὸς ἡμᾶς ἀδελφὸς ἀναπαύ-
σεως δεόμενος ἢ κατάκοπος ὤν· παραθήσεις αὐτῷ μόνον τὴν τράπεζαν·

ἃ δὲ μὴ βούληται· μὴ ἀναγκάσῃς· κοινὸν μὲν γὰρ ἔχομεν πάντες τὴν πα-
ράδοσιν· ἐμέμφετο δὲ πολλὰ τοὺς τὰ σίδηρα φοροῦντας καὶ τοὺς κομῶντας·
οὗτοι γὰρ ἐνδείκνυνται φησίν· καὶ τὴν ἀνθρωπαρεσκίαν θηρῶσιν· δέον αὐ-
τοῖς μᾶλλον· νηστείαις ἐκλύειν τὸ σῶμα· καὶ ἐν κρυπτῷ τὸ καλὸν πράττειν·
οἱ δὲ οὐ τοῦτο· ἀλλὰ πᾶσι μὲν αὐτοὺς φανεροὺς καθιστῶσιν· καὶ πῶς τις ἐφ' ὅσοις
διδαχὰς αὐτοῦ πάσας· παραπλησίως οἷς αὐτοῦ τῇ πολιτείᾳ· ὡς οὐδὲ
γράφεταί τις· οὐδὲ φράσαι κατ' ἀξίαν δυνήσεται· πλεῖστα οὖν ἡμῖν πολλά-
κις ἡμῖν κατὰ μόνας· ὅλην τὴν ἑβδομάδα διαλεγόμενος· προπέμπων ἡ-
μᾶς ἔλεγεν· εἰρήνην ἔχετε μετ' ἀλλήλων· καὶ μὴ ἀπ' ἀλλήλων ἐν τῇ ὁδῷ χωρίζεσθε· εἰ-
πόντος δὲ τοῖς σὺν αὐτῷ ἀδελφοῖς· τίς ἂν ἐκ τῶν βούλοιτο ἐξ αὐτῶν συμπροπέμ-
ψαι ἡμᾶς· ἄχρι τῶν ἄλλων πατέρων· σχεδὸν πάντες παρεκάλουν προ-
θύμως συμπροπέμψαι ἡμᾶς· ὁ δὲ [illegible]ος Ἀπολλῶ τρεῖς ἐξ αὐτῶν ἐπιλε-
ξάμενος ἄνδρας ἱκανοὺς ἐν λόγῳ καὶ πολιτείᾳ· καὶ ἐμπείρους ὄντας τῆς ἑ-
λληνικῆς διαλέκτου· καὶ ῥωμαϊκῆς· καὶ αἰγυπτιακῆς· καὶ συμπροπέμπων
ἡμῖν. αὐτοῖς ἐνετείλατο μὴ πρότερον ἀφιέναι ἡμᾶς· πρὶν ἂν ἱκανῶς ἔ-
χοιμεν τοὺς πατέρας ὅλους θεωρήσαντες· οὓς ἂν βούληταί τις ἰδεῖν ἅπαντας
οὐκ ἂν φθάνοι διὰ παντὸς τοῦ βίου θεάσασθαι· εὐλογήσας οὖν ἡμᾶς ἐξα-
πέστειλεν λέγων· εὐλογήσαι ἡμᾶς κ(ύριο)ς ἐκ Σιών· καὶ ἴδοιτε τὰ ἀγαθὰ Ἱερουσα-
λὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν· περὶ ἀββᾶ ἀμοῦν·

[πε]

Πορευομένων δὲ ἡμῶν κατὰ τὴν ἔρημον ἐν μεσημβρίᾳ· ἐξαίφνης ὁρῶμεν
σύρματα μεγάλου δράκοντος· οἷα περ δοκοῦ διὰ τῆς ψάμμου ἑλκυσθέντος·
καὶ ἰδόντες φόβῳ πολλῷ συνεσχέθημεν· οἱ δὲ ὁδηγοῦντες ἡμᾶς ἀδελφοὶ
παρεκάλουν μὴ δειλιᾶν· ἀλλὰ μᾶλλον θαρσεῖν· καὶ ἐπέχεσθαι τοῦ ἴχνους τοῦ
δράκοντος· ὄψεσθε γάρ φησιν τὴν πίστιν ἡμῶν μελλόντων αὐτὸν
χειροῦσθαι· πολλοὺς γάρ φησιν καὶ δράκοντας καὶ ἀσπίδας καὶ κεράστας
χειρὸς ἀνῃρήκαμεν· καὶ τὸ γεγραμμένον ἐπ' αὐτοῖς ἐπληροῦτο· δέδωκα
ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· καὶ ἐπὶ πᾶσαν τὴν
δύναμιν τοῦ ἐχθροῦ· ἡμεῖς δὲ οὖν ἀπιστίᾳ φερόμενοι· καὶ ἔμφοβοι μᾶλ-
λον γενόμενοι· μὴ κατ' ἴχνος τοῦ δράκοντος ἠξιοῦμεν αὐτοὺς ἀλλὰ τὴν
εὐθεῖαν βαδίζειν· εἷς δὲ ἐξ αὐτῶν ἀδελφὸς ἀπὸ πολλῆς προθυμίας·

καταλαβόντων ἡμᾶς ἐπὶ τούτῳ τῷ τόπῳ, ἐπὶ τὴν ἔρημον ὁρμήσας ἦν· ἀνιχνεύων τὸ θηρίον· καὶ εὑρὼν μου καθήμενον κατὰ τῶν φωλεῶν· φωνὴν ἐβόα ἡμῖν ἐν τῷ σπηλαίῳ εἶναι τὸν δράκοντα· καὶ ἐκέλευσε πρὸς αὐτὸν ἔρχεσθαι τὸ ἐκβησόμενον· προστρέχοντες ἡμεῖς ἅμα αὐτῷ ἡμᾶς καὶ τῶν ἄλλων ἀδελφῶν μηδὲ δεδιέναι· ὁ δὲ ἡμᾶς μὴ ἀπολλοῦ τοῦ φόβου ἀπεῖναι ἡμῶν· οἱ φαινόμενοι τὸ θηρίον· συναντήσας ἡμῖν ἐξέφυγεν ὁ ἀδελφὸς ἐκ χειρὸς ἕλκων εἰς τὸ ἑαυτοῦ μοναστήριον· φάσκων μὴ δύνασθαι τοὺς ἡμᾶς εἰς ὑπενεγκεῖν τὴν ὁρμὴν τοῦ θηρίου· καὶ μάλιστα ὅπου οὐδέποτε ἦν ἐπὶ τὸ τοιοῦτον ἑωρακότων· πολλάκις γὰρ αὐτὸν ἔλεγεν ἑωρακέναι τὸ ζῷον ὑπερμεγέθες ὑπάρχον· καὶ ὑπὲρ δεκαπέντε πήχεις ἔχον· μένειν οὖν ἡμᾶς κελεύσας ἐπὶ τούτῳ τῷ τόπῳ· ἀπῄει πρὸς τὸν ἀδελφόν· ἦλθον μετὰ ταῦτα ἡμεῖς τοῦ φωλεοῦ· ἐπειρᾶτο γὰρ ἐκάμνομεν μετὰ ταῦτα ἡμεῖς τοῦ τόπου· πρὶν ἀνελεῖν τὸν δράκοντα· καὶ δὴ ἀπήγγειλας αὐτὸν ἦλθε πρὸς ἡμᾶς τὴν ὀλίγον ἀπάγων ἡμῶν μετεωμένον· ἀναπαυσάμενοι οὖν πρὸς ἐκεῖνον τὸν ἀδελφόν· ὡς ἀπὸ ἐμὸς μιλίου τὸ μοναστήριον ἔχοντα ἱκανῶς ἀνεκτησάμεθα· διηγεῖτο δὲ ἡμῖν ἐκεῖνος· γεγενῆσθαι κατ' ἐκεῖνον τὸν τόπον· ἔνθαπερ αὐτὸς ἐκαθέζετο· ἄνδρα ἅγιον· ὃς αὐτῷ ἐμαθήτευσεν Μουσῆ ὀνόματι· πλήσας δυνάμεως ἐν ἐκείνῳ τῷ τόπῳ ἐποίησεν· πρὸς ὃν πολλάκις ἐλθόντων οἱ λωποδύται· τοῖς ἄρτοις καὶ τὰς τροφὰς αὐτοῦ ἐλαφύραγον· ἐξελθὼν δὲ μιᾷ τῶν ἡμερῶν εἰς τὴν ἔρημον· δύο δράκοντας μεγάλους περὶ ἑαυτὸν συνήγαγε· κελεύσας αὐτοῖς παραμένειν τῷ τόπῳ καὶ φυλάττειν τὴν θύραν· οἱ δὲ ἀνδροφόνοι ἐπελθόντες κατὰ τὸ ἔθος· καὶ θεασάμενοι τὸ θαῦμα· ἀχανεῖς γενόμενοι ὑπὸ ἐκπλήξεως ἔπεσαν ἐπὶ πρόσωπον· ἐξελθὼν δὲ ἰδὼν αὐτοὺς ἐμμέσους γενομένους καὶ σχεδὸν ἡμιθανεῖς· καὶ ἀναστήσας αὐτούς· ὠνείδιζε λέγων· ὁρᾶτε πόσον ὑμεῖς θηριωδέστεροι τῶν θηρίων ἐστέ· οἱ μὲν γὰρ διὰ θεὸν τοῖς βουλήμασιν ἡμῶν ὑπήκουσαν· ὑμεῖς δὲ οὐδὲ τὸν θεὸν ἐφοβήθητε· οὐδὲ τῶν χριστιανῶν εὐλαβηθέντες ἀπήχθητε· φαγὼν δὲ αὐτοὺς ἐν τῷ κελλίῳ παρέθηκεν τράπεζαν· καὶ ἐνουθέτει μεταβαλεῖν τὸν τρόπον· οἱ δὲ παραυτὰ μεταμαθόντες κρείττους πολλῶν ἀνεφάνησαν· μετ' οὐ πολὺ δὲ καὶ αὐτοὶ τὰ αὐτὰ σημεῖα ἐπιτελοῦντες ἐφθησαν· ἄλλοτε δὲ φησὶν μεγάλου δράκοντος πλησίον χώρας λυμαινομένου· καὶ τὰ πολλὰ τῶν ζώων ἀναιροῦντος· ἦλθον οἱ περιοικοῦντες τὴν ἔρημον· πάντες ὁμοῦ πρὸς τὸν πατέρα δεόμενοι· ἀφανισθῆναι ἐκ τῆς χώρ-

αὐτῶν τὸ θηρίον· οἱ δὲ ὡς μηδὲν δυνάμενοι αὐτοῖς ὠφελῆσαι· λυπούμενοι τοὺς ἄνδρας ἀπέπεμψεν· ἕωθεν δὲ ἀναστὰς ἐπὶ τὴν ὁδὸν τοῦ θηρίου ἀπήρχετο· καὶ διέκλινεν τὰ γόνατα εἰς προσευχήν· ἐπιτελεῖν ἤρξατο πρὸς αὐτὸν τὸ θηρίον· ῥοιζήματι μεγάλῳ ἄσθμα δεινὸν προπέμπον καὶ φυσῶν καὶ συρίζον· καὶ πικρὸν [illegible] ἀποπέμπον· ὁ δὲ οὐ φοβηθεὶς· ἐπιστραφεὶς πρὸς τὸν δράκοντα εἶπεν· χειρώσηταί σε Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι· καὶ τοῦτο εἰπόντος τοῦ ἀββᾶ διερράγη ὁ δράκων ἐκφυσήσας πάντα τὸν ἰὸν μετὰ τοῦ αἵματος διὰ τοῦ στόματος ἐξεμέσεν· ἐλθόντες δὲ οἱ γεωργοὶ καὶ μεθ' ἡμέρας· καὶ τὸ μέγα ἔκπληκτοι θεασάμενοι καὶ τὴν πικρὰν μὴ φέροντες ὀσμὴν· ἄμμον πολλὴν ἐπ' αὐτὸν ἐσώρευσαν· παρεστῶτος αὐτοῖς ἔτι τοῦ πατρός· οὐ γὰρ ἐτόλμων προσιέναι καίτοι νεκροῦ ὄντος τοῦ δράκοντος· παῖς γάρ φησιν ποτὲ ποιμαίνων ἀθρόως ἐπιζῶντα τὸν δράκοντα θεασάμενος· ἐνεκατεψυγμένος ἔκειτο ἀχανής· ἐκ τῶν ὤμων ἀπνοῶν ὁ παῖς ἐν τῷ χόρτῳ ἐπὶ τὴν ἐρήμῳ πᾶσαν ἡμέραν· ἀγρόντων αὐτὸν πρὸς ἑσπέρας οἱ ἴδιοι· [illegible] τα πεφυσημένον ὅλον ἐκ τῆς ἐκστάσεως· ἄγοντες πρὸς τὸν πατέρα· ἀγνοοῦντες τὴν αἰτίαν τοῦ συμβάντος αὐτῷ· ὁ δὲ ἀναμνησθεὶς αὐτοῦ· καὶ ἐλαίῳ αὐτὸν χρίσαντος· ἀνένηψεν ὁ παῖς διηγούμενος τὸ ὅραμα· ὅθεν μάλιστα κινηθεὶς ὁ ἀνὴρ πρὸς τὴν ἀναίρεσιν ἐτράπη τοῦ δράκοντος·

Περὶ ἀββᾶ Κοπρῆ πρεσβυτέρου·

[πδ] Ἦν δέ τις πρεσβύτερος ἔχων ἐκεῖ πλησίον μοναστήριον ἐν τῇ ἐρήμῳ· Κοπρῆς λεγόμενος ἀνὴρ ἅγιος· ἐτῶν σχεδὸν ἐνενήκοντα· ἡγούμενος ἀδελφῶν πεντήκοντα· ὃς καὶ αὐτὸς πολλὰς δυνάμεις ἐποίει· θεραπεύων νόσους καὶ ἰάσεις πολλὰς ἐπιτελῶν· καὶ δαίμονας ἀπελαύνων· καὶ πολλὰ θαύματα ἀποτελούμενος· τινὰ μὲν καὶ ἐνώπιον ἡμῶν ἐργασάμενος· οὗτος ἡμᾶς ἐθεάσατο· κατησπάσατο καὶ ὑπερηύξατο· καὶ τοὺς πόδας ἡμῶν νίψας· ἠρώτα ἡμᾶς τὰ ἐν τῷ κόσμῳ πραττόμενα· ἡμεῖς δὲ ἠξιοῦμεν αὐτὸν· μᾶλλον ἡμῖν τῆς οἰκείας αὐτοῦ πολιτείας τὰς ἀρετὰς ὑφηγήσασθαι· καὶ πῶς αὐτῷ τὰ χαρίσματα· ὁ θεὸς ἐδωρήσατο καὶ ἐκ ποίας μεθόδου ταύτης ἠξιώθη τῆς χάριτος· ὁ δὲ μηδὲν ὑπερηφανῶν λογισάμενος· ὑφηγεῖτο ἡμῖν τὸν ἑαυτοῦ βίον· καὶ τῶν αὐτοῦ [illegible] καὶ μεγάλων καὶ πολλῶν μείζονα αὐτοῦ [illegible] ὧν τὴν πολιτείαν αὐτὸς ἐμιμήσατο·

οὐδὲν γάρ φησιν θαυμαστὸν τὸ ἐμὸν ἔργον ὡς τεκμαίρω· πρὸς τὸ τῶν πα-
τέρων ἡμῶν πολίτευμα. **περὶ ἀββᾶ εὐαγρίου.** [πη]

Εἴδομεν δὲ καὶ εὐάγριον· ἄνδρα σοφὸν καὶ λόγιον· ὃς τῶν λογισμῶν ἱκανὴν εἶχεν τὴν
διάκρισιν· ἐκ πείρας τὸ πρᾶγμα παρειληφώς· ὃς πολλάκις κατελθὼν εἰς
τὴν ἀλεξάνδρειαν· τοὺς τῶν ἑλλήνων φιλοσόφους ἀπεστόμιζε· οὗτος παρ-
ήγγελεν τοῖς μεθ' ἡμῶν ἀδελφοῖς· ὕδατος μὴ κορέννυσθαι· οἱ γὰρ δαίμο-
νές φησιν τοῖς ὑδρηχόοις τόποις συνεχῶς ἐπιβαίνουσιν· ἄλλους τε πο-
λλοὺς πρὸς ἡμᾶς περὶ ἀσκήσεως ἐποιήσατο λόγους· ἐστήριξας ἡμῶν τὰς
ψυχάς· πολλοὶ τε αὐτῶν· οὔτε ἄρτον ἤσθιον· οὔτε ὀπώραν· ἀλλ' ἀντικείδας
μόνον· τινὲς δὲ αὐτῶν· οὐδὲ ἐκάθευδον ὅλην τὴν νύκτα· ἀλλ' ἢ καθήμενοι
ἢ ἑστῶτες· ἄχρι πρωῒ διεκαρτέρουν εὐχόμενοι. **περὶ ἀββᾶ παπερμουθί.**

Ἦν τις πατὴρ πρὸ ἡμῶν· ὀνόματι παπερμουθί· πρῶτος τῶν μὲν τῷ τόπῳ τούτῳ [πθ]
μοναχῶν αὐτὸς γενόμενος· ὃς καὶ τὸ μοναχικὸν ἔνδυμα τοῦ πρῶτος αὐτὸς
ἐφόρεσεν· αὐτὸς ἀρχιλῃστὴς πρότερον καὶ νεκροτάφος, ἑλλήνων ὑπάρχων· καὶ δι-
αβόητος ἐπὶ κακίᾳ γενόμενος· πρόφασιν δ' ἔσχε σωτηρίας τοιαύτην· ἐπειδὴ πο-
τε εἰς μίαν παρθενευούσῃ συλλῆσαι τὸ μοναστήριον αὐτῆς προεθυμήθη· λέγεται
δὲ μηχανῇ τινὶ ἐπὶ τὰ δώματα· καὶ ἀνελθὼν δὲ ποίας εἰσελθεῖν τὸ ταμεῖον·
ἢ πάλιν ποίας ὑποχωρήσεως· ἐμφμεγλοτιζόμενος ἐπὶ τοῦ δώματος ἄχρι ἡ-
μέρας· καὶ μικρὸν ἀφυπνώσας ὁρᾷ ὥσπερ βασιλέα τινὰ λέγοντα αὐτῷ· κατά-
παυσον τοὺς ὕπνους· καὶ περὶ τοὺς φόνους ἔτι καὶ τῶν μικρῶν τούτων κλεμμάτων· τὴν
σπουδὴν ἔχε ἐπαγρυπνῶν· ἀλλὰ βουληθεὶς μεταλαβεῖν τὸν τρόπον·
ἐπὰν τὴν στρατιὰν ἀγγελικὴν· τρέφεσθαι λαβεῖν παρ' αὐτοῦ ταύτην τὴν
ἐξουσίαν· ὁ δὲ ἀσμένως ὑπεδέξατο· καὶ δὴ τάγμα μοναχῶν ὑποδείκνυσιν·
καὶ ἄρχειν αὐτὸν παρεκελεύετο· ἔξυπνος γενόμενος ὁ ἀνὴρ· ὁρᾷ τὴν παρ-
θένον αὐτοῦ παρεστῶσαν καὶ λέγουσαν· πόθεν σοι παραγέγονας ἐνταῦθα·
ἢ τίς ὑπάρχεις τὴν τύχην· ὁ δὲ μηδὲν εἰδέναι φήσας τῷ· αὐτῇ τὴν ἐκκλη-
σίαν ὑποδειχθῆναι αὐτῷ παρεκάλει· καὶ δὴ ὡς ἐπεδείχθη· προσπεσὼν τοῖς τῶν
πρεσβυτέρων γόνασι· ἠξίου χριστιανὸς γενέσθαι καὶ μετανοίας χώραν λαβεῖν·
ἐπιγνόντες δὲ αὐτὸν οἱ πρεσβύτεροι· καὶ θαυμάσαντες τὸ ἐμὸν θέντων· λοιπὸν
καὶ ἐδίδασκον τοῦ μηκέτι εἶναι ἀνδροφόνον· ἠξίου δὲ αὐτοὺς τὸν ψαλμὸν

ἐπακούειν· καὶ τρὶς μετέχων ἐπαΐκου μόνον· τοῦ προεστῶτος ἐτόλμουν·
ἀρξάμενος αὐτοῦ ταῦτα ἔφη πρὸς μάθησιν· καὶ ἐποίησα μῆνας παρ' αὐτοῖς τρεῖς ἑβδο-
μάδας· ἐξελθὼν εὐθέως ἐπὶ τὴν ἔρημον ὥρμησεν· καὶ τριετῆ διάγων χρόνον
κατὰ τὴν ἔρημον· ἐν ἀγῶσι καὶ δάκρυσι διηνεκέσιν· προσεφώνει ταῖς ἀγρίαις
βοτάναις ἠρκεῖτο καὶ πάντας ἐγένετο· ἐπανῆλθε δὲ εἰς τὴν ἐκκλησίαν· ἐμπρ-
ακτον ἀπέλαβε τὸ μάθημα· χάριν δὲ αὐτοῦ δεδόσθαι θεόθεν ἔλεγεν· ἀποστη-
θίζειν ἔξωθεν τὰς γραφάς· ἐθαύμαζον δὲ αὐτὸν πολλοὶ οἱ πρεσβύτεροι· ἀκρο-
ταν τὴν μετελθόντα τὴν ἄσκησιν· καὶ φωτίσαντες αὐτὸν παρεκάλουν συνδια-
τρίβειν· ὁ δὲ ἐποίησε μῆνας παρ' αὐτοῖς ἑπτὰ ἑβδομάδας· ἐπὶ τὴν ἔρημον πάλιν
ἐξῆλθε· καὶ ἤδη ἔμεινεν ἐπὶ ἔτεσιν ἄλλοις· ἐν τῇ πανερήμῳ διατελέσας· πολλῆς χά-
ριτος ἀνὴρ ἠξιώθη· ἄρτος μὲν γὰρ αὐτῷ τῇ κυριακῇ μόνῃ πρὸς κεφαλὴν ηὑρίσ-
κετο· εὐχαριστήσας οὖν καὶ μεταλαμβάνων· ἕως τῆς ἄλλης κυριακῆς ἠρκεῖτο·
ἐπανῆλθε δὲ πάλιν ἐκ τῆς ἐρήμου τὴν ἄσκησιν ἐνδεδυμένος· καὶ τιμᾶν
περὶ τὴν αὐτοῦ πολιτείαν ἐλθὼν ἐρεθίζων· προσῆλθε δὲ αὐτῷ τις νεανίας
μαθητευθῆναι βουλόμενος· ὁ δὲ εὐθὺς ἐνδύσας αὐτὸν λεβητῶνα καὶ κουκούλιον
αὐτοῦ τὴν κεφαλὴν περιθεὶς· ἐπὶ τὴν ἄσκησιν προεβίβαζεν· τὴν μη-
λωτὴν περὶ τοὺς ὤμους αὐτοῦ περιθέμενος καὶ λέντιον αὐτῷ περιζω-
σάμενος· καὶ δὴ ἀποθανόντος τινὸς τῶν χριστιανῶν ἐτελεύτα προσκαρτερῶν αὐτοῖς
ταῖς ἀγρυπνίαις καθαρίως ἐκήδευσεν· ἰδὼν δὲ αὐτὸν ὁ μαθητὴς θαυμά-
σιος· τοὺς τεθνεῶτας κηδεύοντας· εἶπεν πρὸς αὐτόν· ἀββᾶ μετὰ θάνα-
τον οὕτως κηδεύσεις δὲ διδάσκαλε· ὁ δὲ πρὸς αὐτὸν ἔφη· οὕτω κηδεύσω σε
ἄχρις ἂν εἴπῃς ἀρκεῖ· μετ' οὐ πολὺ δὲ τοῦ χρόνου τέθνηκεν ὁ νεανίας·
καὶ ὁ λόγος ἔργον ἐγένετο· κηδεύσας γὰρ αὐτὸν εὐσεβῶς· λέγει πρὸς αὐτὸν
ἐπὶ πάντων· καλῶς ἐκηδεύθης τέκνον· ἢ ἔτι μικρὸν λείπεται·
φωνὴν ἀφῆκεν ὁ νεανίας ὁ τεθνηκὼς ἐπήκοον τῶν πολλῶν· ἔχει
καλῶς πάτερ· τὴν γὰρ ἐπαγγελίαν ἐπλήρωσας· θαυμάσαι δὲ τοὺς πα-
ρόντας εἶχεν ἐξαίσιον καὶ ἐθαύμαζον ἐπ' αὐτῷ τὸν θεόν· ὁ δὲ ἐπὶ τὴν ἔρη-
μον εὐθὺς ἀνεχώρει· τὴν εὐδοξίαν ἐκκλίνων· καὶ δή ποτε ἐπὶ τῆς ἐρημ-
κατοικίᾳ· διετέλει μετὰ ἀδελφῶν τῶν παρ' αὐτοῦ μαθητευθέντων· μο-
νοκατάλληλα· καὶ μέλλοντος τοῦ ἐμοῦ αὐτῶν τελευτᾶν· τότε τοῦ θεοῦ

αὐτῷ ἀποκαλυφθῆναι τοῦτο· ἑσπέρα δὲ ἤδη ὥρα ἦν· καὶ ἡ κώμη πόρρω ἐτύγχανε·
μὴ βουλομένου δὲ αὐτοῦ νυκτὸς τὴν ἀκαιρίαν ἐκκλίνοντος· καὶ τὸ ἔργον πα-
ρέλκειν μελετῶντος· ἐπεὶ πάντη τέως τὸ φῶς ἔχεσθαι ἐμήνυεν· καὶ ὁ πο-
ρευόμενος ἐν τῷ φωτὶ οὐ μὴ προσκόπτη· δυομένου οὖν τοῦ ἡλίου· φωνὴν
ἐφθέγξατο πρὸς αὐτὸν λέγων· ἐν ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ· στῆθί μοι μικρὸν
ἐπ' αὐτῷ τῆς ὁδοῦ μου· ἄχρις ἂν φθάσω τὴν κώμην ἀφικόμενος· ὁ δὲ ὡς ἦν μὲν
κύκλιον περιέστη· καὶ οὐ παρενέδυ· ἄχρις ἂν ἐκεῖνος ἧκεν πρὸς τὸ χω-
ρίον· ὡς φανερὸν τοῦτο τοῖς ἐγχωρίοις γενέσθαι· οἱ γὰρ τὴν τοῦ ἡλίου θέ-
σιν δρομικὴν ποιησάμενον· ἐθαύμαζον ἐπὶ πολλαῖς ταῖς ὥραις·
θεωροῦντες αὐτὸν μὴ δυόμενον· ἰδόντες δὲ τὸν Πατερμούθιον ἐκ
τῆς ἐρήμου ἐρχόμενον· ἐπυνθάνοντο παρ' αὐτοῦ· τί τὸ σημεῖον
τοῦτο ἄρα ἀφῆκε τὸ τοῦ ἡλίου· ὁ δὲ φησὶν πρὸς αὐτούς· οὐ μέμνησθε τῆς
τοῦ σωτῆρος φωνῆς λεγούσης· ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως·
καὶ μείζονα τούτων σημεῖα ποιήσετε· τούτων δὲ εὐθέως εἰσῆλθε φόβος καὶ
παρέμειναν τε αὐτῷ τινὲς ἐξ αὐτῶν μαθητευόμενοι· εἰσελθὼν δέ
ποτε τὴν οἰκίαν ἑνὸς τῶν ἀδελφῶν τῶν νοσούντων· καὶ εὑρὼν αὐτὸν
ἤδη θανοῦντα· προσελθὼν τῇ κλίνῃ καὶ προσευξάμενος· καὶ καταφιλή-
σας αὐτόν· ἠρώτα εἰ πρὸς θεὸν βούλοιτο ἀπιέναι μᾶλλον· ἢ ἔτι ζῆν
ἐν σαρκί· ὁ δὲ ἀνακαθίσας εἶπεν αὐτῷ· κρεῖττον τὸ ἀναλῦσαι καὶ
σὺν Χριστῷ εἶναι· τὸ γὰρ ζῆν ἐν σαρκὶ οὐκ ἀναγκαῖον ἐμοί· οὐκοῦν κάθευ-
δε φησὶν ἐν εἰρήνῃ τέκνον· πρεσβεύων ὑπὲρ ἐμοῦ πρὸς τὸν θεόν· ὁ δὲ ὥσ-
περ εὐθὺς ἀναπεσὼν ἐκοιμήθη· οἱ γὰρ παρόντες πάντες ἐξεπλάγησαν
λέγοντες· ἀληθῶς θεοῦ ἄνθρωπος ἐστὶν οὗτος· κηδεύσας δὲ αὐτὸν καθαρίως ἐν ὕ-
μνοις πᾶσαν τὴν νύκτα διετέλεσεν· ἕτερον δὲ ἀδελφὸν κάμνοντα ὡς
ἐπεκτεταμένος· ὡς εἶδεν αὐτὸν δυσφοροῦντα πρὸς τὴν τελευτήν· δεινῶς
ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενος· ἔλεγεν πρὸς αὐτόν· ὡς ἀνέτοιμος
ὑπάρχεις πρὸς τὸν θεὸν κατηγόρους ἀποφέρων τοὺς λογισμοὺς· τῆς
ῥᾳθύμου πολιτείας· ὁ δὲ ἐδέετο αὐτοῦ καὶ ἱκέτευεν πρεσβεῦσαι ὑπὲρ
αὐτοῦ πρὸς τὸν θεόν· χρόνον ἐνδοῦναι αὐτῷ μικρὸν τὴν ζωὴν μέλλοντα δι-
ορθώσασθαι· ὁ δὲ φησὶν πρὸς αὐτόν· νῦν καιρὸν μετανοίας ζητεῖς· ὅτε

ἡ ζωή σου ὡς ἐπληρώθη· πεποίηκας πάντα τὸν χρόνον· οὐκ ἐθεράπευσας τὰ
τραύματα θεραπευθεῖσαι· ἀλλὰ καὶ ἐπὶ πέραν προσέλθῃς· ὁ δὲ ὡς ἐπεὶ μόνον ἐμπρὸ
αὐτὸν ἱκέτευον· ἀπεκρίνατο πρὸς αὐτὸν ὁ γέρων· μὴ ἐπεράτω ἡ ζωή σου πρὸ
θεὸς καὶ καλ... εἰ κατὰ ἀλήθειαν μετανοοῦμεν· δεόμεθα ὑπὲρ σοῦ τοῦ θεοῦ· ἀγα
θὸς γάρ ἐστι καὶ μακρόθυμος· καὶ χαρίσεταί σοι ἔτι μικρὰν ζωήν ἵνα τὸ πᾶν
ἀποδώσῃς· καὶ εὐξάμενος εἶπεν αὐτῷ· ἰδοὺ τελείως ἐπικεχάρισταί σοι ὁ θεὸς τῇ
ζωῇ ταύτῃ· μόνον ἐκ ψυχῆς μετανόησον· καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς,
ἀνέστησεν παραχρῆμα· καὶ ἐπανήγαγεν αὐτὸν διὰ τὴν ἔρημον· καὶ πληρωθ
έντων ἐτῶν τελείων πάλιν ἤγαγεν ἐπὶ τὸν τόπον· οὐκ ἀνθρώποις· ἀλλὰ ἐνώπιον
τοῦ θεοῦ παριστῶν· ὡς θαυμάσαι πάντας ἐπὶ τῇ αὐτοῦ πολιτείᾳ·
καὶ συνελθόντων τῶν περὶ αὐτὸν τῶν ἀδελφῶν τίθησιν αὐτὸν ἐν μέσῳ αὐτῆς
καὶ δι' ὅλης τῆς νυκτὸς λόγους διδασκαλίας αὐτοῖς παρεδίδου· ὡς δ' ἔμελλεν
ἀπάγειν ὁ ἀδελφός· καὶ δι' ἡμέρας ὑπομείνας μόνος πάντελῶς ἐκοιμήθη· ἐπευ
ξάμενος ὑπὲρ αὐτοῦ ἐκήδευσεν κατὰ πρόσωπον προσπέμψας πρὸς τὴν τα
φήν· πολλάκις δὲ αὐτὸν φασὶν καὶ τὸν ποτάμιον ὕδατι ἐπιβαί
νοντα τὸν Νεῖλον· ἀχείρωτον διεπορθμεῦσαι· ἄλλοτε δὲ δι' ἀέρος καὶ
τοὺς ἀδελφοὺς ἐπὶ τοῦ δώματος ἀνῃρέθη τῶν θυρῶν κεκλεισμένων·
πολλάκις δὲ ὅπουπερ ἤθελεν εὑρίσκετο· διηγεῖτο δέ ποτε τοῖς ἀδελφ(οῖς)
ἐκ τῆς ἐρήμου ἐπανελθών· ἀνειληφέναι αὐτὸν ἐν ὁράματι φησὶν ὡς
καὶ τεθέασθαι ὅσα μένει ἀγαθὰ τοῖς κατ' ἀλήθειαν μοναχοῖς· ἅπερ οὐδὲ
ἐξειπεῖν λόγος δύναται· καὶ ἀπηνέχθαι αὐτὸν ἐν σαρκὶ ἔφησε τὸν πα
ράδεισον· καὶ ἑωρακέναι πλῆθος ἁγίων· μετειληφέναι δὲ αὐτὸν ἔλεγεν τῶν
παραδείσου· καὶ μαρτυρεῖ τὸ πρᾶγμα ἐδείκνυεν· σῦκον γὰρ μέγιστον καὶ
ἐξαίρετον καὶ εὐωδίας πολλῆς γέμον· πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ἀπεκό
μισεν· ἐπιδεικνὺς αὐτοῖς ὅτι ἀληθῆ φησὶ τὰ παρ' αὐτοῦ λεγόμενα·
ὅπερ σῦκον ὁ διηγούμενος ἡμῖν ταῦτα Κόπρις πρεσβύτερος μέγας
ὑπάρχων· ἐν ταῖς χερσὶν τῶν μαθητῶν αὐτοῦ ἐθεάσατο· καὶ κατεφί
λησεν καὶ τὴν ὀσμὴν ἐθαύμασεν· πολλοῖς γὰρ ἔτεσι φησὶ μένειν μὲν
παρὰ τοῖς ἑαυτοῦ μαθηταῖς· διὰ ἐπίδειξιν φυλαττόμενον· ἦν γὰρ
παμμεγέθες· μόνον γὰρ ὀσφρήσατο αὐτοῦ τις τῶν νοσούντων· εὐθέως

τῆς νόσου ἀπηλλάττετο· κατὰ δὲ τὴν ἀρχὴν τῆς ἐν τῇ ἐρήμῳ αὐτοῦ ἀ-
ναχωρήσεως· ἐπὶ ἑπτὰ ἑβδομάδας αὐτὸν μὴ βεβρωκέναι· ἀλλὰ μόνον
φασὶν εὑρίσκειν ἐξ κυριακῆς τὴν ἔρημον ἄρτον ἐπιφερόμενον ἀνὰ ἑβδομάδα· ὃν ἐπιά-
σας αὐτὸν μεταλαβεῖν ἀπηλλάγη· ἄλλοτε δὲ τὸν δαίμονα μαθήσαντα ἐρῶ
αὐτῷ ἐπιδεῖξαι τοῦ φαραὼ χρυσίου καθαροῦ τέμνοντας· πρὸς ὃν φη-
σὶν ὁ ἀνήρ· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν· ταῦτα δὲ καὶ ἄλλα
πολλὰ ὁμολογεῖ μεγάλα ἀφήσειν κατορθώσειν ὁ πατὴρ ἡμῶν ὥσπερ Μωυσῆς·
ποιῶν σημεῖα καὶ τέρατα· καὶ ἄλλοι τοιοῦτοι πατέρες πολλοὶ ἡμῶν γεγόνασιν
ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος· Περὶ ἀββᾶ Κόπρη πρεσβυτέρου·
Ἴδε θαύματα ὧν ἡμεῖς οἱ μικροὶ τὰ μικρὰ καταπορευόμενοι· χωλοὺς [9]
καὶ τυφλοὺς θεραπεύοντας· ἅπερ καὶ ἐκ τέχνης οἱ ἰατροὶ ἐνεργοῦσιν· καὶ ὡς
ἦν ἔτι ταῦτα διηγούμενος Κόπρης ὁ πρεσβύτερος· ἀπὸ μυσταγωγίας δὲ
ἐξ ἡμῶν ἀδελφὸς ἀπόστολος τελεσθεὶς ἐκ τῶν λεγομένων φερομένων· ὅ ἐστιν βι-
βλίον θαυμαστὴν ἐν ταῖς χερσὶν τοῦ ἀνδρὸς ἐπικείμενον ἦν· χρυσοῖς
γράμμασι γεγραμμένον· καὶ ἐφεστῶτα ἄνδρα τινὰ ἀπὸ πολιῶν· μετὰ ἀπα-
λῆς αὐτῷ λέγοντα· οὐκ ἀκούετε προσεχῶς ἀλλὰ νυστάζετε· ὃ ἦν παρα-
χθεὶς εὐθὺς ἡμῖν ἀκροωμένοις· τὸ ὀφθὲν ῥωμαϊστὶ ἐξέφηνεν· ἔ-
τι δὲ τούτων λαλοῦντος πρὸς ἡμᾶς ταῦτα· ἐπῆλθέν τις ἄγροικος καὶ λάχα-
νον ἔχων μετὰ ψάμμου· καὶ παραφανεὶς ἐκδεχόμενος πληρωθῆναι
αὐτῷ τὴν διήγησιν· ἐπυνθανόμεθα δὲ ἡμεῖς τοῦ πρεσβυτέρου· τίς
ὁ ἀδελφὸς ἄγροικος μετὰ τῆς ψάμμου· ἀπεκρίνατο δὲ πρὸς ἡμᾶς ὁ πατὴρ
λέγων· τέκνα· οὐ κεχρήμεθα ἡμᾶς καυχᾶσθαι πρὸς ὑμᾶς οὐδὲ
ἐξηγεῖσθαι τῶν κατορθωμάτων· ἵνα μὴ ἐπαρθέν τι κατὰ
διάνοιαν τὸν μισθὸν ἀπολέσωμεν· διὰ δὲ τὴν ὑμῶν σπουδὴν καὶ ὠφέ-
λειαν· ὅτι ἐκ τοσούτου μήκους πρὸς ἡμᾶς ἐληλύθατε· οὐ ζημιώσω ὑμᾶς
τῆς ὠφελείας· ἀλλὰ περὶ ἡμῶν ὁ θεὸς κομίσειν παρόντων τῶν
ἀδελφῶν διηγήσομαι· ἄκαρπον ἦν πλησίον ἡμῶν χωρίον· καὶ οἱ κε-
κτημένοι αὐτὴν ἄγροικοι· σπείροντες ταύτην ἐν τῷ μόλις ἐν διπλῷ
τὸ σπέρμα ἐθέριζον· σκώληξ γὰρ γενόμενος ἐν τῷ στάχυι· ὅλον τὸν
καρπὸν διέφθειρεν· οἱ δὲ κατηχηθέντες πρεσβύτεροι παρ' ἡμῶν καὶ χριστιανοί

γιγομένως τὸν ἅγιον ᾐτήσαντο εὔχεσθαι ὑπὲρ τοῦ θερισμοῦ· εἰπόντων δὲ αὐτῶν ἐ-
χάριν ποιεῖν πρὸς τὸν θεόν· καὶ ἦν ἐρημικὴ αὕτη ἡ ἄμμος ἡμῶν καρποφορήσαι
ὅτι γὰρ οὐδὲν ἀναβαλλόμενοι ἐκ τῆς ψάμμου ταύτης τῆς παρ' ἡμῖν παρου-
μένοις· τοὺς ἑαυτῶν κόλπους πληρώσαντες εὐλογιῶν προσέφερον ἄγι-
οι οὕτω· ἑτέρῳ δὲ ἡνίκα μὴ ἦν αὐτοῖς κατὰ τὴν ποίησιν αὐτῶν γενέσθαι· ἔπειτα
αὐτὴν σὺν τοῖς ... ἐν ταῖς χερσίν· καὶ ἐξέφυ πολύκαρπος αὐτῶν ἡ χώρα
γεγένηται παρὰ πᾶσαν τὴν γῆν Αἰγύπτου· τοσοῦτον οὖν ἔθος ἔχοντες
κατ' ἐνιαυτὸν ἡμῖν ἐνοχλοῦσιν· ἓν δέ μοι μέγα φησὶν ὁ θεὸς πολλῶν πα-
ρόντων· θαυματουργεῖν· κατελθόντων γὰρ ἑτέρῳ ἐν τῇ πόλει ποτέ· ἀκρο-
ἀνδρῶν τινῶν μανιχαίων τοὺς δήμους ἀποπλανήσαντα· ὡς δὲ αὐτῷ
δημοσίᾳ οὐκ ἐδυνάμην· στραφεὶς πρὸς τὸ πλῆθος ἔφη· ...
μεγάλην εἰς τὴν πόλιν ἀνάψατε· καὶ εἰσερχόμεθα ἀμφότεροι ἐν τῇ φλογί·
καὶ ὅστις ἡμῶν ἀβλαβὴς διαμένει· οὗτος ἔχει τὴν καλὴν πίστιν· ὡς δὲ εἶ-
πον τοῦτο· καὶ οἱ ὄχλοι ἐν σπουδῇ τὴν πυρὰν ἀνῆψαν· ἑλκόμενοι αὐτοῦ μετ' ἐ-
μοῦ αὐτοῦ εἰς τὸ πῦρ· ὁ δέ φησιν· εἷς ἕκαστος ἡμῶν κατὰ μόνας εἰσελθέτω· καὶ
πρὸ τοῦ ἀπελθεῖν ὁ φθάσας αὐτὸς ὁ πειράζων· ὁ δὲ ἐν ὀνόματι τοῦ Χριστοῦ κατα-
σφραγισάμενος ἀπελήλυθα· ἡ φλὸξ δὲ κατὰ διαμερισθεῖσα οὐ
παρηνώχλησέν μοι· ἡμιώριον ἐν αὐτῇ διατρίψαντι· ἰδόντες οἱ
ὄχλοι τὸ θαῦμα ἀνεβόησαν· καὶ ἠνάγκαζον πάλιν κατὰ κάμον εἰς τὴν
πυρὰν εἰσελθεῖν· ὁ δὲ οὐκ ἤθελεν· δεδιώς· λαβόντες οὖν αὐτὸν οἱ δῆμοι
εἰς μέσον ὤθησαν· καὶ περιφλογισθεὶς ὅλος· ἀτίμως τῆς πόλεως ἐξερρί-
φη· τῶν δήμων κραζόντων τὸν πλάνον ζῶντα κατακαῦσαι· ἐμὲ δὲ
ἀναλαβόντες οἱ ὄχλοι καὶ εὐφημοῦντες εἰς τὴν ἐκκλησίαν προέπεμψαν·
ἄλλοτε δὲ μοναστήριόν τι διὰ μαθητὰς τιμῆς τῶν ἐθνῶν τοῖς ἰδίοις
... αὐτῶν ἐθυσίαζον· εἶπον δὲ αὐτοῖς· ... τῶν ἀλόγοις ...
καὶ ὑμᾶς αὐτῶν ἐτελοῦντο ἀλογώτεροι· οἱ γὰρ ὡς καλῶς ... τι· εὐθέ-
ως μοι ἠκολούθησαν ... καὶ πάντως ποτὲ δέ μοι ἐν
τῇ πλησίον χώρᾳ ὑπάρχοντι· διὰ τὴν ἐρχομένην πρὸς ἡμᾶς
ἀδελφότητα· καὶ ἐμοῦ τινὸς αὐτὸν ... ἐργαζομένου· ἦλθε
τις τῶν Ἑλλήνων συλλῆσαι ... ὡς δὲ συλλήσας ἀπῆλθεν

ἕως περί τις ἡμῶν ἐγγὺς αὐτῶν οὐκ ἠδύνατο· ἀλλ' ἐν ἀμμῶσιν ἐν πόλει βήτι
οἵ περ ἐξελήφθησαν· μὴ θερμαινομένου ὅλως τοῦ ὕδατος· ἐν ἑαυτῷ
δὲ γενόμενος ὁ ἀνὴρ ἀναλαβὼν τὰ λάχανα· πρὸς ἡμᾶς διεκόμισε
παρακαλῶν συγχωρηθῆναι αὐτῷ τὸ πλημμέλημα· καὶ ἐπεμέλετο χρισ-
τιανὸς ὅπερ ἐλέγομεν· ἦσαν γὰρ κατ' αὐτὴν τὴν ὥραν ξένοι πρὸς ἡμᾶς
ἐλθόντες ἀδελφοὶ ἰδίως μάλιστα· ἐπιτήδειος ἡμῖν· τὰ λάχανα προ-
σηνέχθη· μετὰ λαβόντων οὖν ἐξ αὐτῶν· εὐχαριστήσαμεν τῷ θεῷ διπλῆν
εὐφροσύνην ποιησάμενοι· τήν τε τοῦ ἁγίου σελῶν· καὶ τὴν τῶν ἀδελ-
φῶν ἀνάπαυσιν· Περὶ ἀββᾶ Σούρου καὶ ἀββᾶ Ἠσαΐου καὶ ἀββᾶ Παύλου· [9a]
Ἀββᾶς Σοῦρος δέ ποτε· καὶ ἀββᾶς Ἠσαΐας· καὶ ἀββᾶς Παῦλος συνετύχα-
νον ἀλλήλοις· ἄνδρες εὐλαβεῖς ἀσκηταί· τὸν μέγαν ὁμολογητὴν ἀββᾶν
Ἀνοὺφ ἐπισκεψάμενοι· ἀπεῖχεν δὲ αὐτῶν τρεῖς μονὰς τὸ διάστημα· καὶ
φασὶν πρὸς ἀλλήλους· ἐπιδείξωμεν ἕκαστος ἡμῶν τὴν ἑαυτοῦ πολιτείαν·
καὶ ὅπως παρὰ θεοῦ ἐν τῷ βίῳ τούτῳ τετίμηται· ἀββᾶς Σοῦρος πρὸς αὐ-
τοὺς ἔφη· αἰτοῦμεν παρὰ θεοῦ δρόμον κατ' αὐτοῖς ἡμᾶς φθάσαι ἐπὶ τὸν
τόπον ἐν δυνάμει τοῦ πνεύματος· καὶ μόνον εὐξαμένων αὐτῶν· πλοῖον ἕτοιμον
εὑρέθη παραχρῆμα· καὶ ἄνεμος ἐπιτήδειος· καὶ ἐμβάντες εὑρέθησαν ἐπὶ τὸν
τόπον ἀνελθόντες ἐπὶ τοῦ ῥεύματος· Παῦλος δέ φησιν πρὸς αὐτούς·
ἀπεκάλυψέν μοι ὁ θεὸς· ὅτι μετὰ τρεῖς ἡμέρας ἀναλαμβάνεσθαι τὸν ἅγιον·
Ἠσαΐας δέ φησιν πρὸς αὐτούς· καὶ τί θαυμαστὸν ὦ φίλοι ἐὰν συναντήσῃ ἡμῖν
ὁ ἀνὴρ ἑκάστου τὰς πολιτείας διηγορεύων· ὡς γὰρ προῆλθεν ἔμπροσθεν τοῦ
τόπου ὁ ἀνὴρ αὐτοῖς ἀπαντήσας ἠσπάζετο· ὁ δὲ Παῦλος φησὶν πρὸς αὐτόν·
φράσον ἡμῖν τὰ σεαυτοῦ κατορθώματα· μεθαύριον γὰρ πρὸς θεὸν ἀπελεύ-
σῃ· εἶπεν δὲ Ἀνοὺφ πρὸς αὐτούς· εὐλογητὸς ὁ θεὸς ὁ κἀμοὶ ταῦτα μηνύσας·
καὶ τὴν ὑμῶν παρουσίαν καὶ πολιτείαν· εἰπὼν δὲ ἑκάστου κατορθώματα·
καὶ τὰ ἑαυτοῦ λοιπὸν ἐξηγεῖτο λέγων· ἐξότε τοῦ σωτῆρος ὄνομα ὡμολόγησα· οὐ
προῆλθεν ψεῦδος ἐκ τοῦ στόματός μου· γήινον οὐδὲν προσεκτήθην· τοῦ
ἀγγέλου με ἡμέριον τρέφοντος τὴν οὐράνιον τροφήν· οὐδ' ἕτερόν τι μοι ἐπεθυ-
μία ἀνῆλθεν εἰς τὴν καρδίαν μου· πλὴν ἢ τοῦ θεοῦ· οὐδ' ἀπέκρυψεν ὁ θεὸς
τί τῶν ἐπιγείων ὧν οὐκ ἐγνώρισέν μοι· οὐκ ἔλειψεν φῶς τοῖς ὀφθαλμοῖς μου
οὐκ ἐν ἡμέρᾳ ὕπνωσα· οὐκ ἐν νυκτὶ ἀνεπαυσάμην τὸν θεὸν ἐκζητῶν

ἄγγελός μοι ἀοράτως παρῆν· τὰ τοῦ κόσμου διῳκονόμει ἐπιδεικνύων· τὸ
φῶς τῆς διανοίας μου οὐκ ἐσβέσθη· πᾶν αἴτημα παρὰ θεοῦ μου λαβὼν
ἐλάμβανον· ἴδον πολλάκις μυριάδας ἀγγέλων τῷ θεῷ παρεστώτων·
ἴδον χοροὺς δικαίων· ἴδον μαρτύρων ἀθροίσματα· ἴδον μοναχῶν πολιτεύ-
ματα· ἴδον πάντων τὸ ἔργον τῶν τὸν θεὸν ὑμνούντων· ἴδον τὸν σα-
τανᾶν πυρὶ παραδιδόμενον· ἴδον τοὺς ἀγγέλους αὐτοῦ κολαζομένους·
[ϙβ] ἴδον τοὺς δικαίους αἰωνίως εὐφραινομένους· ταῦτα καὶ ἄλλα πολλὰ
ὁρῶν ἡγούμενος ἐπὶ τρεῖς ἡμέρας· παραδίδωσι τὴν ψυχήν· τὴν δὲ εὐ-
θὺς ἄγγελοι ὑποδεξάμενοι· καὶ χοροὶ μαρτύρων σὺν ὁσίοις ἀνήγαγον· αὐτῶν ὁ-
ρώντων καὶ ἀκουόντων τοὺς ὕμνους· Περὶ ἀββᾶ Ἑλλῆ·

Ἄλλος δέ τις πατὴρ· ἀββᾶ Ἑλλὴν καλούμενος· ἐκ παιδόθεν τὴν ἄσκησιν
προκαρτερήσας· τοῖς πλησίον αὐτοῦ ἀδελφοῖς· πολλάκις πυρὸς ἐν
κόλπῳ ἐβάσταζεν ἐρεθίζων αὐτούς, προβαίνειν ἐπὶ δεῖξιν τῶν σημείων
λέγων αὐτοῖς· εἰ κατὰ ἀλήθειαν ἀσκεῖτε· τὰ σημεῖα λοιπὸν τῆς ἀρετῆς
ἐπιδείξασθε· ἄλλοτε δὲ αὐτῷ καθ' ἑαυτὸν γενομένῳ ἐν τῇ ἐρήμῳ·
ἐν ἐπιθυμίᾳ μέλιτος γέγονεν· εὐθὺς δὲ ὑπὸ πέτραν κηρία εὑράμενος φησίν·
ἄπελθε ἀπ' ἐμοῦ ἀκόλαστε ἐπιθυμία· γέγραπται γὰρ πνεύματι περιπατεῖτε
καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε· καὶ καταλιπὼν αὐτὰ ἀπεχώρησε· καὶ
δι' αὐτοῦ τρεῖς ἑβδομάδας νηστεύοντος· ὀπώρας εὑρὼν ἐρριμμένας εἶπεν·
οὐ μὴ φάγω οὐδὲ μὴ ἅψωμαι τι ἐξ αὐτῶν· ἵνα μὴ τὸν ἀδελφόν μου σκαν-
δαλίσω τουτέστι τὴν ψυχήν· γέγραπται γάρ· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζή-
σεται ἄνθρωπος· νηστεύσας δὲ καὶ ἄλλην ἑβδομάδα· ὕστερον ἀπενύσταξεν· καὶ ἐλ-
θὼν ἄγγελος κατ' ὄναρ φησὶν πρὸς αὐτόν· ἀναστὰς τὰ εὑρισκόμενα ἆρον
καὶ φάγε· ὁ δὲ ἐξαναστὰς κύκλῳ περιβλεπόμενος· καὶ ὁρᾷ πηγὴν βοτάνας
περιφερούσας κύκλῳ βλαστησάσας· μεγάλη φωνῆς δὲ τοῦτό που καὶ τῆς τροφῆς
τῶν λαχάνων· διεβεβαιοῦτο μηδὲν μὴ δ' ὕστερον αὐτῶν πώποτε γευσάμενος·
πλεῖον ἢ ἀγρῶν μικρὸν ἐν τῷ τόπῳ· ἔμεινεν ἐκεῖ ὀλίγας ἡμέρας ἀσιτοῦ-
ντος λοιπὸν τροφῆς ἐδέετο κλίνας τὰ γόνατα ηὔχετο· εὐθέως ἡ αὐτῷ παρ' αὐ-
τῶν βεβρωσίμων παρέκειντο καὶ ἄρτοι θερμοὶ· καὶ ἐλαῖαι καὶ ὀπῶραι ποικί-
λαι ἀφορμῇ· ἐπεσκέπτετο δέ ποτε τοὺς ἑαυτοῦ ἀδελφούς· οἷς καὶ πολλὰ νουθετῶν

σας· ἐπὶ τὴν ἔρημον ἔσπευδεν κομιζόμενός τινα τῶν εἰς τὰς χρείας ἐπι-
τηδείων· ἰδὼν δὲ ὁ μακάριος τινὰς βοσκομένους· φησὶ πρὸς αὐτάς· ἐν ὀ-
νόματι τοῦ Χριστοῦ ἀφ' ἑκάστου μία ἐξ ὑμῶν ὑποδεξαμένη μου τὸ βάρος· ἡ δὲ εὐθὺς
ἑαυτὴν ὥρμησεν· ἐπιθεὶς δὲ αὐτῇ τὰ σκεύη καὶ ἐπικαθίσας ἐν μιᾷ μόνῃ ἡμέρᾳ
ἐπὶ τὸ σπήλαιον ἔφθασεν· διαθεὶς δὲ αὐτοῦ τοὺς ἄρτους καὶ τὰς ὀπώρ-
ας ἐν τῷ ἡλίῳ· ἦλθεν ἐπ' αὐτὰ ὡς ἔθος ἦν τὰ θηρία πρὸς τὴν πηγήν· καὶ
φαγόντα μόνον τῶν ἄρτων ἐξέτυχαν· παραβαλλόντων πρὸς τινὰς
μοναχοὺς κυριακῆς οὔσης· ἔλεγεν πρὸς αὐτούς· ἴδης σήμερον τὴν σύ-
ναξιν οὐκ ἐπετελέσατε· τῶν δὲ φασκόντων· μὴ ἐληλυθέναι πέραθεν τὸν πρεσ-
βύτερον· ἔλεγεν πρὸς αὐτούς· ἀπελθὼν καλέσω αὐτόν· οἱ δὲ ἔφασκον μὴ
δύνασθαί τινα διαβαίνειν τὸν πόρον διὰ τὸ βάθος· ἀλλὰ γὰρ καὶ θηρίον
μέγιστον εἶναι τοῦ τόπου κορκόδειλον τινά· πολλοὺς ἀνθρώπους καταναλώσαντα·
ὁ δὲ μὴ μελλήσας εὐθὺς ἀναστὰς ὥρμησεν ἐπὶ τὸν πόρον· καὶ εὐθὺς αὐτὸν
τὸ θηρίον ἐπὶ τῶν νώτων ὑποδεξάμενον εἰς τὸ πέραν ἀποκατέστησεν· εὑρὼν
δὲ τὸν πρεσβύτερον ἐν τῷ χωρίῳ· παρεκάλει μὴ ὑπεριδεῖν τὴν ἀδελ-
φότητα· ἰδὼν δὲ αὐτὸν ἐκεῖνος ῥάκκος ἐνδεδυμένον πολύραφον· ἐ-
πύθετο παρ' αὐτοῦ· πόθεν ἄρα τὸ ῥάκος ἐκέκτητο· ἐπεὶ καλλίστον εἶχες
ἱμάτιον τῆς τύχης ἀδελφέ· τὴν ταπεινοφροσύνην αὐτοῦ θαυμάσας
καὶ ἀπελθὼν εἵπετο αὐτῷ ἀκολουθῶν εἰς τὸν ποταμόν· ὡς δὲ πορθμεῖον
οὐχ εὗρον· φωνὴν ἀφίησι μακρὰν ἐκεῖνος προσκαλούμενος τὸν κορκόδει-
λον· ὁ δὲ εὐθὺς ὑπακούσας αὐτοῦ παρῆν τὸν νῶτον ὑποστρωσάμενος·
ἠξίου δὲ τὸν πρεσβύτερον συνεπιβῆναι αὐτοῦ· ἔμφοβος δὲ γενόμενος ἐκεῖνος
ἐξ ὀρωμένου τοῦ θηρίου ἐπὶ τὰ ὀπίσθεν ἀνεχώρει· ὡς δὲ θάμβος ἔσχεν αὐτόν·
καὶ τοὺς αὐτοῦ περιοικοῦντας ἀδελφούς· θεασαμένοις αὐτὸν σὺν τῷ θηρίῳ
τὸν πόρον διαπορθμεύσαντα· ἀνελθὼν μετὰ τὴν ξηράν· συνεπάσατο τὸ θη-
ρίον· τεθνάναι ἄμεινον λέγων αὐτῷ καὶ κερδαίνειν τῶν ἀναιρεθεισῶν ψυχῶν
τὴν δίκην· τὸ δὲ παραχρῆμα πεσὸν ἐξέψυξεν· προσκαρτερήσας δὲ ἡ-
μέρας τρεῖς τοῖς ἀδελφοῖς· ἐκάθητο διδάσκων αὐτοῖς πάσας ἐντολάς·
καὶ τὰ ἑκάστου ἐν κρυπτῷ βουλεύματα· φανερῶς ἐξήγγελλεν· τὸν μὲν ὑ-
πὸ πορνείας ἐνοχλεῖσθαι λέγων· τὸν δὲ ὑπὸ κενοδοξίας· ἄλλον ὑπὸ πρ

φησί· ἕτερον δ' ὑπὸ ἑορτῆς· καὶ ὧν μὲν πραχθέντων· ὧν δὲ εἰρημένων αὐτοῖς ἀπεφήνατο· καὶ
τῶν μὲν τὴν κακίαν· τῶν δὲ τὰς ἀρετὰς ἐξελέγχων· ἀκούοντες δὲ ταῦτα ἐ-
θαύμαζον λέγοντες ἀληθῶς οὕτως εἶναι· εἶπε μὲν δὲ πρὸς αὐτούς· ἑτοιμάσατε
ἡμῖν λάχανα· ἐλεύσονται γὰρ σήμερον πλεῖστοι ἀδελφοὶ πρὸς ἡμᾶς· οἱ δὲ
ηὐτρέπιζον· ἐπιστάντων τῶν ἀδελφῶν· ἀλλήλους ἠσπάζοντο· ἠξίου δέ τις
τῶν ἀδελφῶν αὐτὸν συνδιάγειν ἐν τῇ ἐρήμῳ βουλόμενος· λέγοντος δὲ αὐτοῦ
μὴ δύνασθαι ὑπενεγκεῖν τοὺς πειρασμοὺς τῶν δαιμόνων· φιλονεικοῦντος περὶ
ἐκεῖνος διαπεισθείς· πάντα ὑπενεγκεῖν ἐπηγγέλλετο· καὶ δὴ ὑποδεξάμενος
αὐτὸν εἰς ἕτερον σπήλαιον οἰκεῖν παρεκελεύετο· ἐπιστάντες δὲ νυκτὸς
οἱ δαίμονες· ἐπομήτην αὐτὸν ἐπεχάρουν· τὸ πρῶτον αἰσχροῖς λογισμοῖς καὶ
μὴ δὲ διαταράξαι τῷ· ἐκδραμὼν ὁ ἐκεῖνος· τὰ συμβάντα αὐτῷ ἀπήγγειλεν
τῷ ἀββᾷ Ἑλλῆ· περιχαράξας δὲ ἐκεῖνος τὸν τόπον· ἐκέλευσεν τοὺς λοιποὺς
μετὰ ἀδείας μένειν αὐτόν· ἄρτων δὲ αὐτοῖς ποτὲ ἐπιλιπόντων ἐν τῷ
σπηλαίῳ· ἐπιστὰς ἄγγελος ἐν ἀδελφοῦ σχήματι ἐκόμιζεν αὐτοῖς τὴν τροφήν·
ἄλλοτε δὲ ἐπιζητοῦντες αὐτὸν ἀδελφοὶ δέκα τὸν ἀριθμόν· ἐπλανῶντο κατὰ τὴν
ἔρημον· ἑβδόμην ἡμέραν ἄσιτοι διατελοῦντες· εὑρὼν δὲ αὐτοὺς ἐκέλευσεν
ἀναπαύεσθαι ἐν τῷ σπηλαίῳ· οἱ δὲ ὡς ἐπείνησαν περὶ δείλης· ἐκεῖνος μη-
δὲν ἔχων παραθεῖναι· ἔλεγεν πρὸς αὐτούς· δυνατός ἐστιν ὁ θεὸς ἑτοιμάσαι τρά-
πεζαν ἐν ἐρήμῳ· εὐθὺς δὲ προθύρου παῖς τις καλὸς νεανίας· ἐπεὶ μὲν ἐκρού-
σε μὲν εὐχομένων αὐτῶν· ἀνοίξαντες δὲ ἴδον τὸν νεανίαν σπυρίδα μεγάλην με-
στὴν ἄρτων τε καὶ ἐλαιῶν ἔχοντα· ὑποδεξάμενοι δὲ αὐτὰ μετελάμβανον·
εὐχαριστοῦντες τῷ κυρίῳ· τοῦ παιδὸς εὐθὺς ἀφανοῦς γενομένου· ταῦτα καὶ ἄλλα
πλεῖστα θαυμαστὰ ὁ πατὴρ Κοπρῆς ἡμῖν ὑφηγησάμενος· καὶ φιλοφρονησά-
μενος ἡμᾶς κατὰ τὸ πρέπον· εἰς τὸν ἑαυτοῦ κῆπον εἰσήγαγεν· δείξας ἡμῖν
φοίνικας καὶ ἄλλα ὀπωρικὰ ἅπερ αὐτὸς ἐν τῇ ἐρήμῳ ἐφύτευσεν· ὑπὸ τῆς τῶν
ἀγροίκων πίστεως ὑπομνησθείς· πρὸς οὓς εἶπεν ὅτι δύναται καὶ ἔρημος καρ-
ποφορῆσαι· τοῖς ἔχουσιν πίστιν εἰς τὸν θεόν· ὡς γὰρ εἶδεν φησὶν αὐτοὺς τὴν
ψάμμον σπείροντας καὶ τὴν χώραν αὐτῶν καρποφοροῦσαν· κἀγὼ τὸ αὐ-
τὸ ἐπεχείρησα καὶ ἐπέτυχον· Περὶ Ἀπελλῆ πρεσβυτέρου·
[ϛγ] Εἴδομεν δὲ καὶ ἕτερον πρεσβύτερον ἐν τοῖς μέρεσι τοῖς Ἀχορέοις ὀνόματι Ἀπελ-

πελλὴν· ἀνδρα δίκαιον· καὶ τὴν χαλκευτικὴν τέχνην· πρὸ τοῦ μετελθόν-
τα καὶ ἐκάθεν εἰς ἄσκησιν τραπέντα· ὅς ἐλθόντος ποτὲ τοῦ διαβόλου πρὸς
αὐτὸν ἐν γυναικίῳ σχήματι· ὡς τὰς χρείας τῶν μοναχῶν χαλκευομένῳ
χαλκεύειν· ἁρπάσας ἐκ τοῦ πυρὸς πεπυρωμένον τὸ σιδήριον τῇ χειρὶ διὰ τὴν
σπουδήν· τὸ πρόσωπον αὐτῆς ὅλον καὶ τὸ σῶμα κατέκαυσεν· καὶ ἤκουον οἱ
ἀδελφοὶ ταύτης ὀλολυζούσης ἐν τῷ κελλίῳ· ἐξ ἐκείνου λοιπὸν ὁ ἀνὴρ πάν-
τοτε τὸ σιδήριον τῇ χειρὶ ἐκράτει πεπυρωμένον μὴ βλαπτόμενος· ὃς ἦν
καὶ φιλοφρόνως ὑποδεξάμενος πάντας ἐλθόντων σωματωδῶς γενομένων ἀξιοθέων
ἀνδρῶν ἀφικνεῖτο. ἐπὶ γῆν ὑπερορώντων· περὶ ἀββᾶ Ἰωάννου·

ἦν φησὶν ἐν τῇ ἐρήμῳ ταύτῃ ἀδελφὸς ἡμέτερος Ἰωάννης· ἄλλης μὲν λοι-
πὸν ἡλικίας· πάντας μὲν τοὺς νῦν μοναχοὺς ταῖς ἀρεταῖς ὑπερβάλλ-
ων· οὐδεὶς ταχέως ἀριθμὸν δύναται· διὰ τὸ ἀμετάβλητον αὐτοῦ· τὸ πρῶτον
ἐκ τόπου ἐν ταῖς ἐρήμοις· οὗτος τὸ πρῶτον μέρος ἐν τρισὶν ἔτεσιν ὑπὸ
πέτραν τινά· πάντοτε ὄρθιος εὐχόμενος διετέλεσεν· μὴ καθίσας ὅλως
μὴ κοιμηθείς. ἀλλ᾽ ὅσον μόνον ἑστὼς τοῦ ὕπνου μόνον ἀφήρπαζεν· τῇ κυρι-
ακῇ μόνον τῆς εὐχαριστίας μεταλαμβάνων τοῦ πρεσβυτέρου αὐτῷ ἀπο-
φέροντος· ἄλλο οὐδὲν ἐνδύνατο· καὶ δὴ μιᾷ τῶν ἡμερῶν μετασχηματι-
σάμενος ἑαυτὸν ὁ σατανᾶς εἰς τὸν πρεσβύτερον· ταχύτερον ἔφθη πρὸς αὐτὸν ἀπαντή-
σειν· προσποιούμενος αὐτῷ τὴν κοινωνίαν ἐπιδιδόναι· ἐπιγνοὺς δὲ αὐ-
τὸν ὁ μακάριος Ἰωάννης· εἶπε πρὸς αὐτόν· ὦ παντὸς δόλου καὶ πάσης ῥᾳδιουρ-
γίας πατήρ· ἐχθρὲ πάσης δικαιοσύνης· οὐ παύῃ ἀπατῶν τὰς τῶν χριστι-
ανῶν ψυχάς· ἀλλὰ τολμᾷς καὶ αὐτοῖς ἐπιβῆναι τοῖς ἀχράντοις μυστηρίοις;
ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· παρ᾽ ὀλίγον ἐκέρδησα ἄν σε καταβαλών·
οὕτως γὰρ καί τινα τῶν σῶν ἀδελφῶν ὑπεπλάνησα· καὶ ἔκφρονα γενόμενον·
εἰς μανίαν ἀπήγαγον· ὑπὲρ οὗ πολλοὶ δίκαιοι πολλὰ προσευξάμενοι· μόλις
ἴσχυσαν αὐτὸν εἰς φρόνησιν ἀγαγεῖν· καὶ ταῦτα εἰπὼν ὁ δαίμων· ἀπ᾽ αὐτοῦ ἀπε-
πλάγη· διὰ γὰρ τῶν ἑαυτοῦ ποδῶν διὰ τῆς ἀκινησίας τοῦ πολλοῦ χρόνου
καὶ τῶν ἰχώρων περιερχομένων· ἐπιστὰς ἄγγελος ἥψατο τοῦ στόματος αὐτοῦ
λέγων· ὁ κύριος ἔσται σοι ἀληθὴς βρῶσις· καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἀληθὲς πόμα·
καὶ ἀρκεῖ σοι ἕως ἡ πνευματικὴ τροφή· ἵνα μὴ ἐμπλησθεὶς ἐξεμέσῃς· καὶ θεραπ-

πείσας αὐτὸν μετέθηκεν ἐκ τοῦ νόμου· διηγεῖτο δὲ κατὰ τὴν ἔρημον μονάζουσι τῶν περὶ αὐτὸν ἐσθίειν βοτάνας· τῇ κυριακῇ δὲ τὸν αὐτὸν τρόπον ἀρίσκετο τῆς κοινωνίας μεταλαμβάνων· βάϊα δὲ ὀλίγα παρ' αὐτοῦ πρεσβυτέρου ἐξαιτησάμενος· ζώνας τοῖς ζῶσιν εἰργάζετο· βουληθέντος δὲ ἀπελθεῖν πρὸς αὐτὸν χωλοῦ τινος θεραπείας ἕνεκεν· καὶ ἐπιβαλόντος μόνον τοῦ ὤμου· οἱ πόδες αὐτοῦ τῆς ζώνης ἥψαντο τῆς παρὰ τοῦ ἀνδρὸς πεπεμμένης· παραχρῆμα ἐθεραπεύθη· ἄλλοτε εὐλογίας τοῖς ἀρρώστοις ἀποστέλλων καὶ αὐτοὶ ἀπηλλάγησαν εὐθέως τῆς νόσου· ἀποκαλύπτεται δὲ αὐτῷ περὶ τῶν αὐτοῦ μοναστηρίων ὅτι τινὲς αὐτῶν οὐκ ὀρθὴν ἔχουσι πολιτείαν· καὶ γράφει πᾶσιν ἐπιστολὴν διὰ τοῦ πρεσβυτέρου· ὅτι οἱ μέν τινες ῥαθυμοῦσι· οἱ δὲ ἀντιδοῦσιν πρὸς τὴν ἀρετήν· καὶ εὑρέθη ἀληθῶς οὕτως ἔχοντα· γράφει δὲ καὶ τοῖς πατράσιν· ὅτι τινὲς ἐξ αὐτῶν ὀλιγωροῦσιν· περὶ τῆς τῶν ἀδελφῶν σωτηρίας· ἄλλοι δὲ οἰκείως παρακαλοῦσιν· καὶ ἑκατέρων τὰς πράξεις καὶ τὰς κολάσεις ἀπήγγειλεν· καὶ πάλιν ἄλλους πρὸς τὴν τελειοτέραν κατάστασιν προσκαλούμενος· ὑπεμίμνησκεν ἀπὸ τῶν ἐσθητῶν τῶν δὲ τὴν μόνωσιν ἀναχωρεῖν· καιρὸς γὰρ λοιπὸν τὴν ἑαυτῶν ἐνδείξασθαι πολιτείαν· οὐ γὰρ παιδευθῆναι καὶ μὴ ποιεῖν τὸν πάντα χρόνον ὀφειλόμενον διαμένειν· ἀλλ' ἤδη τοῖς τελειοτέροις ἐπιβάλλειν νοήμασιν καὶ τῆς ἀνδρείας ἐφάψασθαι καὶ ταῖς μεγίσταις ἀρεταῖς ἐπιβῆναι· ταῦτα καὶ ἕτερα πολλὰ ὁ πατὴρ περὶ τοῦ ἀνδρὸς διηγεῖτο ἅπερ δι' ὑπερβολὴν θαυμάτων ἅπαντα οὐκ ἐγράψαμεν· οὐχ ὅτι οὐκ ἀληθῆ· ἀλλὰ διὰ τὴν τινῶν ἀπιστίαν· ἡμεῖς δὲ εἴκαμεν ὥσπερ πλήρεις φορτίων πολλῶν καὶ μεγάλων· τὰ αὐτὰ ἡμῖν διηγουμένων καὶ αὐτοῖς ὅπερ ἑωρακότων·

[ϙε]

Περὶ ἀββᾶ Παφνουτίου·

Ἐθεασάμεθα δὲ καὶ ἕτερον τόπον Παφνουτίου τοῦ ἀναχωρητοῦ ἀνδρὸς μεγάλου καὶ ἐναρέτου· ὃς οὐ πρὸ πολλοῦ χρόνου ἐτελειώθη ἐν τῇ περιχώρῳ Ἡρακλέως τῆς Θηβαΐδος· περὶ οὗ πολλοὶ πολλὰ διηγήσαντο· οὗτος μετὰ πολλὴν ἄσκησιν ἐδέετο τοῦ θεοῦ τίνι τῶν κατορθωσάντων ἁγίων ἄρα ὅμοιος ἦν· ἄγγελος δὲ ὀφθεὶς εἶπεν αὐτῷ· ὅμοιος εἶ τῷ αὐλητῇ τῷ ἐν τῇ πόλει διάγοντι· ὁ δὲ μετὰ σπουδῆς ὁρμήσας πρὸς αὐτὸν ἐπυνθάνετο παρ' αὐτοῦ τὴν αὐτοῦ πολιτείαν καὶ τὰς πράξεις αὐτοῦ διερευνώμενος· ὁ δέ φησιν πρὸς αὐτόν· ὅπερ

καὶ ἦν ἀληθές· ἁμαρτωλὸν ἑαυτὸν εἶναι καὶ μέγιστον καὶ πόρνον· ἀπὸ πολλοῦ
τινὸς χρόνου ἐκ τῆς λῃστρικῆς εἰς τοῦτο μεταβληθέντα· ὁ δὲ ἀκριβέστερον ἐπη-
ρώτα αὐτόν· τί ποτε καλὸν αὐτῷ κατόρθωτο πώποτε· ἔφησε μὲν οὖν πρὸς αὐτόν
καλὸν μὲν ἕτερον αὐτῷ συνειδέναι· πλὴν ὅτι ποτὲ ἐν τῷ λῃστρικῷ τόπῳ ὑ-
πάρχων· παρθένον Χ(ριστο)ῦ, μέλλουσαν ὑπὸ λῃστῶν διαφθαρῆναι, ἐξείλατο·
ἐν νυκτὸς ἄχρι τῆς κώμης ἀπεκατέστησε· ἄλλοτε δὲ πάλιν γυναῖκα εὔ-
μορφον ἀγροῦ πλανωμένην κατὰ τὴν ἔρημον· φυγάδα γενομένην ὑπὸ
τῶν ταξεωτῶν τοῦ ἄρχοντος καὶ τῶν βουλευτῶν διὰ χρέος δημόσιον ἀν-
δρικόν· καὶ ἀποδυρομένην τὴν πλάνην· ἐπυθόμην παρ' αὐτῆς τοῦ ὀδυρ-
μοῦ τὴν αἰτίαν· ἡ δὲ εἶπεν· μηδέν με ἐρώτα, δέσποτα· μηδὲ ἐξέταζε
τὴν ἀθλίαν· ἀλλ' ὡς θεράπαιναν ἰδίαν σήν· ὅπου βούλει ἀπάγαγε· τοῦ γὰρ ἀν-
δρός μου πολλάκις μαστιχθέντος· ἐπὶ δύο ἔτη χρόνον ὑπὸ χρέος δημο-
σίου χρυσίνων τριακοσίων· καὶ ἐν φυλακῇ κατακεκλεισμένου· καὶ τῶν φιλ-
τάτων μου παίδων τριῶν δὲ ἀπεμποληθέντων· ἐγὼ φυγὰς οἴχομαι·
τόπον ἐκ τόπου περιερχομένη· καὶ νῦν δὲ κατὰ τὴν ἔρημον πλανῶμαι·
πολλάκις εὑρεθεῖσα καὶ συνεχῶς μαστιγωθεῖσα· καὶ τρίτην ἔχω ἐν τῇ ἐρή-
μῳ ἡμέραν ἄσιτος διαμένουσα· ἐγὼ δὲ ἐλεήσας αὐτήν φησιν ἀναλαβὼν
εἰς τὸ σπήλαιον· δέδωκα αὐτῇ τοὺς πεντακοσίους χρυσίνους ἄχρι τῆς πόλεως
ὁδηγήσας· ἐλευθερώσας αὐτὴν μετὰ τῶν τέκνων καὶ τὸν ἄνδρα· πρ-
ὧν ἀπεκρίνατο ὁ Παφνούτιος· ἐγὼ μὲν οὐδὲν ἐν ἐμαυτῷ συνοῖδα τῶν
τοιούτων τι κατορθωκότι· ἐν δὲ τῇ ἀσκήσει πάντως ἀκήκοάς με ἀεὶ
διαβόητον· οὐ γὰρ ῥᾳθύμως τὴν ἑαυτοῦ ζωὴν διελήλυθα· ἐμοὶ οὖν ὁ θ(εὸ)ς
περὶ σοῦ ἀπεκάλυψεν· ὅτι οὐδὲν ἔλαττον ἐμοῦ ἔχεις ἐν τοῖς κατορθώμα-
σιν· εἰ οὖν οὐκ ὀλίγος ὁ λόγος ἀδελφὲ παρὰ σοὶ τῷ θεῷ τυγχάνει· μὴ τῆς
ἑαυτοῦ ψυχῆς ὡς ἔτυχεν καταφρονήσῃς· ὁ δὲ ῥίψας εὐθέως ὃς εἶχεν ἐν
ταῖς χερσὶν τοὺς αὐλούς· καὶ τὴν ἐναρμόνιον τῆς μουσικῆς ᾠδήν· ὡς
πν(ευματ)ικὴν μεταβαλὼν μελῳδίαν· τῷ ἀνδρὶ εἰς τὴν ἔρημον ἠκολούθη-
σεν· ἐν τρισὶ δὲ ἔτεσι μόλις κατὰ κράτος ἀσκήσας· καὶ ἐν ὑμνῳδίαις καὶ προ-
σευχαῖς τὸν ἑαυτοῦ χρόνον τῆς ζωῆς διατελέσας· πρὸς τὴν ὁσίων πορεί-
αν ἐστέλλετο· σὺν χοροῖς ἀγγέλων· καὶ τάγμασιν δικαίων ἀριθμηθείς· ἀνεπαύ-

σαντο· ὡς τοίνυν ἐκάμνον ἀσκήσαν πανκάλως ταῖς ἀρεταῖς ὁ τοῦ θεοῦ προαπ-
φάλειν· ἐπειθὰς ἑαυτὸν μᾶλλον ἀπολιτείαν τοῖς ἔμπροσθεν· ἠξίωσε τὸν
θ(εὸ)ν πάλιν δηλωθῆναι αὐτῷ· τίνι τῶν ἁγίων ἄρα ὅμοιος· καὶ πάλιν φω-
νῆς γενομένης πρὸς αὐτὸν λεγούσης· ἔοικας τῷ τῆς πλησίον κώμης
πρωτοκωμήτῃ· ὁ δὲ ὡς τάχιστα πρὸς αὐτὸν ἧκεν καὶ δὴ κρούσαντος αὐ-
τοῦ τὸν πυλῶνα· προσῆλθεν ἐκεῖνος κατὰ τὸ ἔθος· τὸν ξένον ὑποδεξά-
μενος· νίψας τοὺς πόδας αὐτοῦ· καὶ παραθεὶς τράπεζαν· προετρέ-
πετο μεταλαβεῖν τῶν ἐδωδίμων· πυθομένου δὲ αὐτοῦ τὰς πρά-
ξεις καὶ λέγοντος· ὦ ἄνερ τὰς αὐτοῦ πολιτείας φράσον· πολλοὺς γὰρ μο-
ναχοὺς ὡς μοι ὁ θεὸς ἐδήλωσεν ὑπερβέβηκας· ὁ δὲ λέγει αὐτὸν ἁμαρτω-
λὸν εἶναι καὶ ἀνάξιον τοῦ ὀνόματος τῶν μοναχῶν· ὡς δὲ ἐπέμενεν ἐρω-
τῶν· ἀπεκρίνατο ὁ ἀνὴρ λέγων· ἐγὼ μὲν οὐκ ἔχω ἂν εὐκαμπταίαν(?) ἐμαυ-
τοῦ δρᾶμα ταῖς ἐξαγορεῦσαι· ἐπειδὴ δὲ παρὰ θεοῦ λέγεις ἐληλυθέναι·
πάντως ἐρῶ σοι τὰ μὲν ἀπαγγελῶ σοι· ἐμοὶ ἀπολελοιπότι(?) ἤδη τοῦτ' ἔστιν ἔτος
ἐξ οὗ ἐμαυτὸν τῆς γαμετῆς μου ἐχώρισα· τρία αὐτῇ μόνον προσ-
ομιλήσας ἔτη· καὶ τρεῖς υἱοὺς ἐξ αὐτῆς ποιήσας· οἳ ἀδελφοὶ καὶ ταῖς χρείαις
μου ὑπηρετοῦσιν· οὐκ ἐπαυσάμην τῆς φιλοξενίας μέχρι τῆς
σήμερον· οὐκ ἐκαυχήσατό τις τῶν κωμητῶν πρὸ ἐμοῦ τὸν ξένον ὑπο-
δεξάμενος· οὐκ ἐξῆλθε πένης ἢ ξένος κεναῖς χερσὶ τὴν ἐμὴν
αὐλὴν μὴ πρότερον ἐφοδιασθεὶς κατὰ λόγον· οὐ παρεῖδον πένητα
δυστυχήσαντα· μὴ καὶ μὴν παραμυθίαν αὐτῷ χορηγήσας· οὐ-
κ ἔλαβον πρόσωπον τέκνου μου ἐν κρίσει· οὐκ εἰσῆλθον εἰς τὸν οἶκον
μου καρποὶ ἀλλότριοι· οὐκ ἐγένετο μάχη ἣν μὴ εἰρήνευσα· οὐκ ἐ-
μέμψατό τις ἐπαιτιώμενος τοὺς ἐμοὺς παῖδας· οὐκ ἥψαντο τῶν
ἀλλοτρίων καρπῶν αἱ ἀγέλαι μου· οὐκ ἔσπειρα πρῶτος τὰς ἐμὰς
χώρας· ἀλλὰ πᾶσιν αὐτὰς κοινὰς προθέμενος· τὰς ὑπολειφθεί-
σας ἐκαρπωσάμην· οὐ συνεχώρησα κατὰ δυναστευθῆναι τὸν πέ-
νητα ὑπὸ πλουσίου· οὐ παρελύπησά τινα ἐν τῷ βίῳ μου· καὶ ἐπὶ
πονηρῷ κατ' οὐδενὸς ἀπεξενήνοχα· ταῦτα θεοῦ θέλοντος σώζει-
δα ἐμαυτοῦ ἐπραξάμην· ἀκούσας δὲ ὁ παφνούτιος τὰς τοῦ ἀν-

προσάγεται· τὴν κεφαλὴν αὐτοῦ ἐφίλει λέγων· εὐλογήσαι σε κύριος ἐκ σιών
καὶ ἴδοις τὰ ἀγαθὰ ἱερουσαλήμ· καλῶς γὰρ ταῦτα κατώρθωσας· λείπεται δέ σοι
τῶν ἀρετῶν τὸ κεφάλαιον· ἡ πάνσοφος τοῦ θεοῦ γνῶσις· ἣν οὐ καὶ σὺ δυ-
νήσῃ ἀπονόμως κτήσασθαι· ἢν μὴ σεαυτὸν τοῦ κόσμου ἀπαρνησάμενος·
καὶ λαβὼν τὸν σταυρὸν τοῦ σωτῆρος ἀκολουθήσῃς· ὁ δὲ ὡς ἤκουσεν ταῦτα· εὐθὺς
μηδὲν τοῖς αὐτοῦ συνταξάμενος· εἵπετο τῷ ἀνδρὶ ἐπὶ τὸ ὄρος· καὶ διελθόν-
των ἐπὶ τὸν ποταμόν· μηδαμοῦ σκάφους παραφθέντος ἐν τῷ τόπῳ· προσ-
έταξεν ὁ παφνούτιος περάσαι τὸν ποταμόν· ὃν οὐδείς πώποτε
κατ᾽ ἐκεῖνον τὸν τόπον ἐπέζευσεν διὰ τὸ βάθος· παρελθόντων δὲ αὐτῶν
καὶ τοῦ ὕδατος αὐτοῖς ἕως τῆς ζώνης γεγενημένου· καὶ ἐπέστησεν αὐτὸν ἔν τι-
νι τόπῳ· αὐτοῦ δὲ ἑαυτὸν διαχωρήσαντος· ἐδέετο τοῦ θεοῦ κρεῖττον φανῆ-
ναι τῶν τοιούτων· μετ᾽ οὐ πολὺ δὲ χρόνου εἶδεν τὴν ψυχὴν τοῦ ἀνδρὸς· ὑ-
πὸ ἀγγέλων ἀναλαμβανομένην ὑμνούντων τὸν θεὸν καὶ λεγόντων· μα-
κάριος ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου·
καὶ πάλιν τῶν δικαίων ἀποκρινομένων καὶ λεγόντων· εἰρήνη πολλὴ
τοῖς ἀγαπῶσι τὸ ὄνομά σου· καὶ ἔγνω ὅτι ὁ ἀνὴρ τετελείωται· ὡς δὲ
ἐπέμενεν ὁ παφνούτιος διηνεκῶς ταῖς εὐχαῖς τὸν θεὸν· τὴν μακαρίαν
παρακαλῶν· πάλιν ἠξίου δηλωθῆναι αὐτῷ· τίνι ἂν εἴη ὅμοιος· ἔφη
δὲ πάλιν ἦλθε φωνὴ πρὸς αὐτόν· ἔμπορος ἐστὶ καὶ ζητῶν τι καλοὺς μαρ-
γαρίτας· ἀλλὰ ἀνάστηθι λοιπὸν καὶ μὴ μέλλε· ἀπαντήσεται γάρ σοι ὁ
ἀνὴρ ὅσον οὔπω καθεὶς· κατελθὼν δὲ ἐκεῖ ἀμέσως εἶδεν ἄνδρα τίμιον ἔμπορον·
ἀλεξανδρέα· ἄνδρα εὐλαβῆ καὶ φιλόχριστον· δύο μυριάδας χρυσίνων
πραγματευόμενος· μετὰ ἑκατὸν πλοίων ἐκ τῆς ἄνω θηβαΐ-
δος κατιόντι· πᾶσαν τὴν οὐσίαν αὐτοῦ καὶ ἐμπορίαν τοῖς πτωχοῖς
καὶ μοναχοῖς διανέμοντα· ὃς μετὰ τῶν αὐτοῦ παίδων δέκα σάκκους
ὀσπρίων ἀνέφερεν πρὸς αὐτόν· καὶ τί ταῦτα ὦ φίλε· πρὸς αὐτὸν ἔφη
παφνούτιος· ὁ δὲ εἶπεν πρὸς αὐτόν· ἰδού καρποὶ τῆς ἐμῆς ἐμπο-
ρίας ἐστίν· φέρε δικαίως ἂν ἀνάπαυσιν τῷ θεῷ προσφερόμενοι· τί δὲ φη-
σὶν πρὸς αὐτὸν παφνούτιος· καὶ σὺ τοῦ ὀνόματος οὐκ ἀπολάβῃς τοῦ
ἡμετέρου· ὁ δὲ ὡς ἐπὶ τοῦτο ἔσπευδεν πρὸς αὐτὸν ὁμολογεῖ· ἀπεκρί-

ματος πρὸς αὐτόν· μέχρι τίνος οὕτω τῇ κοσμικῇ πραγματεύῃ· τῶν οὐρανίων
ἐμπορευμάτων μὴ ἁπτόμενος· ἀλλὰ ταῦτα μὲν ἑτέροις μέλλων ἀφήκης·
σὺ δὲ τὸν κλῆρον τοῦτον ἐχόμενος· ἀκολούθησον τῷ σ(ωτῆ)ρι· ὁ δ' αὐτὸν ὕστερον πρ(ὸς)
αὐτὸν ἀφιζόμενος· ὁ δὲ μηδὲν ὑπερθέμενος τοῖς ἑαυτοῦ παισὶ ἐνετείλατο
τὰ λοιπὰ πάντα τοῖς πτωχοῖς διανεῖμαι· αὐτὸς δὲ ἀνελθὼν μετὰ τὸ ὄρος· καὶ ἑαυτὸν
ἐγκλείσας τῷ τόπῳ κατῆρξας· ἔνθα οἱ περὶ αὐτοῦ διὸ ἐπελάθεισαν·
προσεκαρτέρει τοῦ θ(εο)ῦ προσευχόμενος· ὀλίγου δὲ διαπεύσαντος χρόνου·
καταλαβὼν τὸ σῶμα οὕτω ὁ πολίτης ἐγένετο· ὡς δὲ καὶ τοῦτον προπέμ-
ψας μετὰ τῶν λοιπῶν· καὶ αὐτὸς τὴν ψυχὴν ἀπελίπετο· μηκέτι πλέον
ἀσκῆσαι δυνάμενος· ἄγγελος παραστὰς εἶπεν αὐτῷ· δεῦρο δή μοι
λοιπὸν ὦ μακάριε σὺ· μετὰ τὰς τοῦ θ(εο)ῦ αἰωνίους σκηνάς· ἥκασι γὰρ οἱ προ-
φῆται μετὰ τοὺς ἑαυτῶν χοροὺς ὑποδεξάμενοι· τοῦτο δέ σοι τὸ πρὶν οὐ-
κ ἐφάνη· ἵνα μὴ ἐπαρθεὶς καὶ ζημιωθῇς τῆς ἀξίας· ἐπιζητήσας δὲ
μίαν ἡμέραν· πρεσβυτέρων τινῶν κ(α)τ(ὰ) ἀποκάλυψιν πρὸς αὐτὸν ἐλη-
λυθότων· πάντα αὐτοῖς ὑφηγησάμενος· παρέδωκε τὴν ψυχ(ήν)·
ἐμφανῶς δὲ αὐτοῦ οἱ πρεσβύτεροι ἐθεάσαντο· σὺν χοροῖς δικαίων
[95] καὶ ἀγγέλων ἀναλαμβανόμενον· ὑμνούντων τὸν κ(ύριο)ν· Περὶ ἀββᾶ Πιτυρίωνο(ς)·
Εἴδομεν δὲ καὶ ἐν τῇ Θηβαΐδι ὄρος ὑψηλόν· τοῦ ποταμοῦ ἐπικείμενον·
φοβερὸν πάνυ καὶ κρημνῶδες· καὶ μοναχοὺς ἐκεῖ ἀσκοῦντας ἐν τοῖς σπηλαί-
οις· πατὴρ δὲ ἦν αὐτῶν· ὀνόματι Πιτυρίων· εἷς τῶν μαθητῶν Ἀντωνίου γ-
γενόμενος· καὶ τρίτος τὸν τόπον ἐκεῖνον διαδεξάμενος· ὃς πολλάκις
καὶ ἄλλας δυνάμεις ἐπιτελῶν· τὴν τῶν πνευμάτων ἐλασίαν ἐνεργῶς ἐποί-
ειτο· διαδεξάμενος γὰρ Ἀντώνιον· καὶ τὸν τούτου μαθητὴν Ἀμμοῦν
ἀκόλουθος τὴν κληρονομίαν τῶν χαρισμάτων ὑπεδέξατο· ὃς πολλοὺς
μὲν καὶ ἄλλους πρὸς ἡμᾶς ἐποιήσατο λόγους· οὐ μὴν, ἀλλὰ καὶ περὶ
τῆς τῶν πν(ευμάτ)ων διακρίσεως· ἰσχυρῶς διελέξατο· δαίμονας φάσκων τι-
νας, τοὺς τοῖς πάθεσιν ἀκολουθοῦντας· καὶ πάντα ἡμῶν πολλάκις
ἐπὶ τὸ κακὸν μετατρέποντας· ὅσοι οὖν ὦ τέκνα φησὶν πρὸς ἡμ(ᾶς)
βούλεσθε τοὺς δαίμονας ἀπελαύνειν· πρότερον τὰ πάθη δουλώσατε·
οὐ γὰρ ἂν πάθους τις περιγένηται· τούτου καὶ τὸν δαίμονα ἀπελαύ-

μηθ· καὶ δεῖ καὶ μικρὸν ὑμᾶς δουλῶσαι πάθει· ἵνα τούτων τῶν δαιμόνων
ἀπελάσητε· ἐπειδὴ δαίμων τῇ γαστριμαργίᾳ· ἐὰν οὖν τις γαστριμαρ-
γίας κρατήσῃ· ἀπελαύνει καὶ ταύτης τὸν δαίμονα· ἤσθιεν δὲ ὁ ἀνὴρ τῆς
ἑβδομάδος δεύτερον· ἔν τε τῇ κυριακῇ καὶ τῇ πέμπτῃ ζωμὸν ἀλεύρου
μηδενὸς ἑτέρου μεταλαμβάνων ἀνθ᾽ ὧν μὴ δυνάμενος· διὰ τὸ τὴν ἕξιν αὐτοῦ·
οὕτω πεπτωκέναι· Περὶ ἀββᾶ Εὐλογίου πρεσβυτέρου· [95]

Εἴδομεν δὲ καὶ ἄλλον πρεσβύτερον Εὐλόγιον ὀνόματι· ὃς ἐν τῷ προσφέρειν
τῷ θεῷ τὰ δῶρα· τοσαύτην χάριν ἐλάμβανεν γνώσεως· ὡς ἑκάστου
τῶν προσερχομένων μοναχῶν τὰς γνώμας ἀθρεῖν· οὗτος ἰδὼν πο-
λλάκις· μέλλοντας μοναχοὺς τινὰς περιέναι τῷ θυσιαστηρίῳ· ἐπέσχεν
αὐτοὺς λέγειν· πῶς κατατολμᾶτε τοῖς ἁγίοις προσελθεῖν μυστηρίοις·
πονηρὰς τὰς διανοίας ἔχοντες· καὶ σὺ μὲν ἐλογίσω τὴν νύκτα ταύτην
τὴν ἀπρεπῆ ταύτην τῆς πορνείας ἐνθύμησιν· ὁ δὲ ἕτερος φησὶν ἐλογί-
σατο ἐν τῇ ἑαυτοῦ διανοίᾳ· οὐδὲν διαφέρειν κἂν ἁμαρτωλὸν κἂν δίκαι-
ον προσελθεῖν τῇ χάριτι τοῦ Χριστοῦ· ὁ δὲ ἄλλος διεκρίθη πρὸς τὸ δῶρον· ἆρα
ἁγιάσει με προσελθόντα· ὑποχωρήσατε οὖν μικρὸν τῶν ἁγίων μυστηρίων·
καὶ μετανοήσατε ἐκ ψυχῆς· ἵνα ἄφεσις ὑμῶν γένηται τῶν ἁμαρτιῶν·
καὶ ἄξιοι γένησθε τῆς τοῦ Χριστοῦ κοινωνίας· ἐὰν γὰρ μὴ τὰς ἐνθυμήσεις πρότερον
ἐκκαθάρητε· οὐ μὴ δυνήσησθε προσελθεῖν τῇ χάριτι τοῦ Χριστοῦ·

Περὶ ἀββᾶ Ἰσιδώρου· [97]

Εἴδομεν δὲ κατὰ τὴν Θηβαΐδα μονήν τινα Ἰσιδώρου τινός· μεγάλοις τεί-
χη πλινθίνοις ὠχυρωμένην· χιλίους μοναχοὺς ἔνδοθεν ἔχουσαν· εἶχεν
δὲ ἔνδον καὶ φρέατα καὶ παραδείσους· καὶ ὅσα ἐστὶν ἀναγκαῖα· μηδενὸς ἔ-
ξω ποτὲ τῶν μοναχῶν ἐξιόντων· ἀλλὰ πρεσβύτερος ἦν ὁ θυρωρὸς·
μηδένα συγχωρῶν ἐξιέναι· μηδὲ εἰσιέναι ἄλλον· πλὴν εἴ τις ἐβούλε-
το ἄχρι τελευτῆς ἔνδον παραμένειν μηδαμοῦ προερχόμενος· ὃς δὴ καὶ ἐπὶ
τὸν πυλῶνα εἶχε μικρὸν καταγώγιον· τοῖς ἐρχομένοις ἐξένιζεν· καὶ ἐδίδου
εὐλογίας πρᾶος· ἐν εἰρήνῃ προέπεμπεν· δύο δὲ ἐξ αὐτῶν πρεσβύτεροι
μόνοι· τὰ ἔργα τῶν ἀδελφῶν διοικοῦντες ἐξήεσαν· καὶ τὰ ἀναγκαῖα
αὐτοῖς χρείας ἐπεκόμιζον· ἔλεγεν δὲ ἡμῖν ὁ τῷ πυλῶνι προσκαρ-

τέρων πρεσβύτερος· τοιούτοις ἅμα τοῖς ἐνδομαγίοις(?)· ὡς δῆλα αὐτῷ
πάντα τὰ σημεῖα ἐπιτελεῖν· καὶ μηδένα ἐξ αὐτῶν ἐμπεσεῖν [illegible] πρὸ
τελευτῆς· ἀλλὰ τὴν ἑκάστου ἡ μετάθεσις κυρίου Χριστοῦ· προμηνυομένας
σὺν κοιτῷ κληθεὶς ἐκοιμᾶτο· Περὶ ἀββᾶ Σεραπίωνος πρεσβυτέρου.

[ϙθ] Ἴδομεν δὲ ἐν τοῖς μέρεσιν τοῦ Ἀρσινοΐτου· πρεσβύτερον τινὰ ὀνόματι
Σεραπίωνα· πατέρα πολλῶν μοναστηρίων· καὶ ἡγούμενον πολλῆς ἀδελφό-
τητος· ὡς μιᾶς μυριάδος ὄντων τὸν ἀριθμόν· πολλὴν δὲ διὰ τῆς ἀ-
δελφότητος ἐκτελοῦντας οἰκονομίαν· πάντων ὁμοῦ ἐν καιρῷ θερισμοῦ
τοὺς ἑαυτῶν καρποὺς πρὸς αὐτόν· οὓς ἐπιμισθοῦ θέροις ἐκομίζοντο
ἑκάστου· ἐμ μισθίας σίτου· ἀρτάβας δέκα δύο· ὡς τεσσαράκοντα τοὺς
παρ' ἡμῖν μοδίους λεγομένους· καὶ ταῦτα εἰς διακονίαν πτωχῶν δι' ἑ-
αυτοῦ χορηγοῦντος· ὡς μηδένα πένεσθαι λοιπὸν ἐν τῇ περιχώρῳ· ἀ-
λλὰ καὶ τῆς εἰς Ἀλεξάνδρειαν πτωχοῖς διαπέμπεσθαι· οὐ μὴν οὐδὲ οἱ προ-
ειρημένοι πατέρες· κατὰ πᾶσαν τὴν Αἴγυπτον ἠμέλησάν ποτε ταύτης
τῆς διακονίας· ἀλλ' ἐκ τῶν καμάτων τῆς ἀδελφότητος· μετὰ πλοῖα
σίτου καὶ ἀμφιάσεως· εἰς Ἀλεξάνδρειαν τοῖς πτωχοῖς ἀποστέλλουσιν· διὰ
τὸ σπανίως ἅμα παρ' αὐτοῖς τοὺς χρείαν ἔχοντας· ἴδομεν δὲ καὶ εἰς τὴν πε-
ρίχωρον Βαβυλῶνος· καὶ Μέμφεως πατέρας πολλοὺς καὶ μεγάλους· καὶ πλῆθος
μοναχῶν ἀνάριθμον· πάντοίαις ἀρεταῖς κεκοσμημένον· ἴδομεν δὲ καὶ τοὺς
θησαυροὺς τοῦ Ἰωσήφ· ἐν οἷς(?) τὸν κατὰ τὸν καιρὸν ἐκεῖνον συνήγαγεν·

Περὶ ἀββᾶ Ἀπολλωνίου μάρτυρος.

[ρ] Γέγονεν δέ τις κατὰ τὴν Θηβαΐδα μοναχός· ὀνόματι Ἀπολλώνιος· οὗτος
πλήσας δι' ἀμέμπτου(?) τῆς πολιτείας αὐτοῦ ὑπεδέξατο· καὶ διὰ τοῦ ὀνόματος
τῆς διακονίας ἠξιωμένος· ὑπερβάλλων δὲ πάσαις ταῖς ἀρεταῖς τοὺς πο-
τὲ εὐδοκιμήσαντας· οὗτος ἐν τῷ καιρῷ τοῦ διωγμοῦ· παραθαρσύ-
νων τοὺς Χριστὸν ὁμολογήσαντας· πολλοὺς μάρτυρας ἀπετέλεσεν· καὶ αὐτὸς δὲ
συλληφθεὶς ἐν τῇ εἱρκτῇ ἐφυλάττετο· προσιόντων κατ' αὐτὸν τῶν Ἑλλήνων
οἱ φαυλότεροι· καὶ λόγοις αὐτὸν παροξυσμοῦ καὶ βλασφημίας προσέπι-
πτον· καὶ δέ τις ἐξ αὐτῶν χοραύλης· ἀνὴρ διαβόητος ἐν τοῖς ἀπο-
μασιν· ὃς προσελθὼν αὐτὸν ὕβριζεν· ἀνόσιον λέγων καὶ ἐπιθέτην

καὶ πλάνον· καὶ παραιτοῦνται ἀνθρώπων μισουμένων· καὶ ὁ φ ἄλογον ταῦθ' ἅπτομ
ἀποθανεῖν· πρὸς οὖν φησὶν ὁ Ἀπολλώνιος· ἐλεήσαι σε κύριος ἀμήν· καὶ μηκέτι
σου τῶν παρὰ σοῦ ἀγνοουμένων εἰς ἁμαρτίαν λογίσηται· ταῦτα δὲ ἀκού-
σας ὁ χοραύλης ἐκεῖνος Φιλήμων ὀνόματι· ἐδάκνετο φρένα ὑπὸ τῶν
λόγων τοῦ ἀνδρὸς κατανυγείς· ὁρμήσας δὲ εὐθὺς ἐπὶ τὸ βῆμα τοῦ δικαστοῦ
παρέστηκε· καὶ δὴ φασὶν ὑπὲρ αὐτὸν ἐπὶ τοῦ δήμου· ἀδικώτατε δικαστῶν
θεοφιλεῖς καὶ ἀμέμπτους ἄνδρας κολάζων· οὐδὲν γὰρ φαῦλον οἱ χριστιανοὶ ποι-
οῦσιν οὐδὲ λέγουσιν· ἀλλὰ καὶ τοὺς ἐχθροὺς αὐτῶν εὐλογοῦσιν· ὁ δὲ ταῦτα αὐτοῦ
λέγοντος· τὸ πρῶτον μὲν ᾤετο ἑαυτὸν ἠρεμάζεσθαι καὶ γελοιάζειν· ὡς δὲ
ἐπιμένοντα δὲ μεμηνὼς φησὶν ὁ ἄνθρωπος πρὸς αὐτὸν καὶ φρενῶν γέγονας ἐ-
ξάπινα· ὁ δέ· οὐ μαίνομαι φησὶν ἀδικώτατε δικαστά· χριστιανὸς γάρ
εἰμι· ὁ δὲ πολλαῖς κολακείαις καὶ μετὰ τοῦ ὄχλου πείθειν αὐτὸν ἐπειρᾶτο· ὡς δὲ ἀμε-
τάθετον εἶδεν· παντοίας βασάνους αὐτῷ προσῆγεν· τὸν δὲ Ἀπολλώνιον
ἀναρπάσασθαι ποιησάμενος· καὶ πολλαῖς αἰκίαις περιβαλὼν· ὡς πλεῖ-
ον αὐτὸν ἐβασάνιζεν· ὁ δὲ Ἀπολλώνιος πρὸς αὐτὸν ἔφη· εὔξαι ἡμῖν καὶ
σὺ δικαστὰ καὶ πάντας τοὺς παρόντας ταύτῃ τῇ πλάνῃ μου ἐξακολου-
θῆσαι· οἱ δὲ ὡς ταῦτα λέγοντα· ἀμφοτέρους πυρὶ παραδοθῆναι προσ-
τάσσει· ἐνώπιον παντὸς τοῦ πλήθους· ὡς δὲ ἐν τῇ φλογὶ ἦσαν παρόντος
τοῦ δικαστοῦ· φωνὴν ἀφίησι πρὸς τὸν θεὸν ὁ μακάριος Ἀπολλώνιος· κύριε
ἐπήκοον παντὸς τοῦ δήμου καὶ τοῦ δικαστοῦ· μὴ παραδοῖς δέσποτα
τοῖς θηρίοις ψυχὰς ἐξομολογουμένας σοι· ἀλλὰ σαυτὸν ἐμφανῶς ἡμῖν ἐ-
πίδειξον· καὶ δὴ νεφέλη δροσώδης καὶ φωτεινὴ ἐπελθοῦσα· ἐκάλυψεν τοὺς
ἄνδρας, τὸ πῦρ ἀποσβέσασα· θαυμάσαντες δὲ οἱ δῆμοι καὶ ὁ δικαστὴς ἐ-
βόων· μέγας ὁ θεὸς τῶν χριστιανῶν· ἀνηνέχθη δέ τις ταῦτα τῶν κακούργων τῷ
τῆς Ἀλεξανδρείας ἐπάρχῳ· ὃς ὠμούς τινας καὶ ἀχρείους περιφανεῖς κτορ
καὶ ταξεώτας ἐπιλεξάμενος· ἐξαπέστειλεν πρὸς τοὺς δεσμίους· ταῦτ'
ἀχθῆναι τοὺς περὶ τὸν δικαστὴν καὶ Φιλήμονα· ἤγοντο οὖν σὺν αὐτοῖς ὅ τε Ἀ-
πολλώνιος· καὶ ἄλλοι τινὲς οἱ ὁμολογήσαντες τῷ· πορευομένων δὲ αὐτῶν παν-
καὶ κατὰ τὴν ὁδόν· ἐπῆλθεν χάρις ἐπ' αὐτόν· καὶ ἤρξατο διδάσκειν τοὺς στρα-
τιώτας· ὡς δὲ καὶ αὐτοὶ κατανυγέντες ἐπίστευσαν τῷ σωτῆρι· παντὸς ὁμο-

θυμαζομένων τὸ βῆμα δὲ ἐσμ. οἱ ἤγον τό. οἷς ἅπαντας ὁ ἔπαρχος θεασάμενος μεθ'
ὧς ἴδεν ἅμα μεταθέντας τῆς πίστεως· τῷ βυθῷ τῆς θαλάσσης κελεύει παραδοθῆ
ναι. τοῦτο δὲ ὡς ὑπερολογούμενοι ἔργον τοῦ βαπτίσματος. ἀρόμενοι γὰρ οἱ ἅγιοι πρὸς τὰς
ὄχθας ἐκρεριμμένους. πᾶσι φανερὸν οὗ τε μένος ἐκ ἀπεσκάφασιν. ἔνθα δὲ ἅμα
πολλαὶ καὶ ἐπιτελοῦνται. τοσαύτη γάρ τις χάρις ἐστὶ τοῖς μὲν τοῦ ἀνδρός. ὥστε καὶ ὑπὲρ
ῥοῦν ηὔξατο εὐθέως ἀκουσθῆναι. τοὺς δὲ αὐτὸν οὕτω τιμήσαντος. ὧν καὶ ἡμεῖς
ἐν τῷ μαρτυρίῳ εὐξάμενοι. ἐθεασάμεθα ἅμα τοῖς σὺν αὐτῷ μαρτυρήσασιν. καὶ προσ
κυνήσαντες τῷ θεῷ, ἠσπασάμεθα αὐτῶν τὰ σκηνώματα. ἐν τῇ Θηβαΐδι.

[ρα]

περὶ ἀββᾶ Διοσκόρου πρεσβυτέρου.

Ἄλλον δὲ πρεσβύτερον εἴδομεν ἐν Θηβαΐδι Διόσκορον ὀνόματι. πατέρα μοναχῶν ρ̄·
οἷς μέλλουσιν αὐτοῖς προσελθεῖν τῇ χάριτι τοῦ Χριστοῦ· ἔλεγεν πρὸς αὐτούς. ὁρᾶτε
μή τις ἐν φαντασίᾳ γυναικὸς γενόμενος ἐν νυκτί· τολμήσαι προσελθεῖν τοῖς
ἁγίοις μυστηρίοις. μή τις ἐξ ὑμῶν ἐνυπνιαζόμενος φαντασθῇ. αἱ γὰρ ἄνευ
τῶν φαντασιῶν γονορροίαι αὐτομάτως γινόμεναι. οὐκ ἐκ προαιρέσεως
ἑκάστου. ἀλλ' ἀβουλήτως γίνονται. ἐκ φύσεως γὰρ προέρχονται ἐκ περι
ουσίας ὕλης ἐκκρινόμεναι. διό, οὐδὲ ὑπεύθυνοι εἰσὶν τῇ ἁμαρτίᾳ. αἱ δὲ φαν
τασίαι ἐκ προαιρέσεως ἔρχονται. καὶ τῆς κακῆς γνώμης ἐστὶ τεκμήριον.
δεῖ οὖν τὸν μοναχόν φησιν. καὶ τῆς φύσεως ὑπερβαίνειν τὸν νόμον. καὶ μηδὲ
ἔστιν ἂν μικρὸν μολυσμὸν σαρκὸς εὑρεθῆναι. ἀλλ' ὑποτήκειν τὴν σάρκα. καὶ μὴ συγ
χωρεῖν ἐν αὐτῇ περισσεύειν τὴν ὕλην. πειρᾶσθε οὖν κενῶσαι τὴν ὕλην
τῇ τῆς νηστείας ἀσκήσει ἢ παρατάσει. ἵνα μὴ καὶ πρὸς τὰς ὀρέξεις ἡμᾶς ἐρεθίζῃ.
οὐ δεῖ δὲ τὸν μοναχὸν. τῶν ὀρέξεων ὅλως ἐφάπτεσθαι. ἐπεὶ ἐν τίνι διοίσει
τῶν κοσμικῶν. ὡς πολλάκις ὁρῶμεν. καὶ τῶν περὶ τὸν κόσμον ἀπεχομένους δι' ὑ
γίειαν σώματος. ἢ δι' ἄλλας τινὰς οὐ καλὰς αἰτίας. πόσῳ δὴ οὖν μᾶλλον ἐπι
μελητέον τοῦ μοναχοῦ τῆς ψυχῆς τὴν ὑγίειαν. καὶ τοῦ νοῦ φησὶν καὶ τοῦ πνς.

[ρβ]

περὶ τῶν ἐν τῇ Νιτρίᾳ.

Κατήχθημεν δὲ καὶ εἰς Νιτρίαν. ἔνθα πολλοὺς καὶ μεγάλους ἀναχωρητὰς ἑωρά
καμεν. τοὺς μὲν ἐγχωρίους. τοὺς δὲ ξένους. ἀλλήλους ταῖς ἀρεταῖς ὑπερ
βάλλοντας. καὶ φιλονεικότερον πρὸς τὴν ἄσκησιν διακειμένους. πᾶσαν τὴν
ἀρετὴν ἐνδεικνυμένους. καὶ ἀγωνιζομένους ἐν τῇ πολιτείᾳ. ἀλλήλους ὑπερ

βαλλον· καὶ οἱ μὲν αὐτῶν περὶ τὴν θεωρίαν, οἱ δὲ περὶ τὴν πρακτικὴν ἠσ-
χολοῦντο· ἰδόντες γὰρ ἡμᾶς τινες ἐξ αὐτῶν· πόρρωθεν ἐρχομένους διὰ
τῆς ἐρήμου· οἱ μὲν μεθ' ὕδατος ἡμῖν προϋπήντησαν· οἱ δὲ τοὺς πόδας
ἡμῶν ἔνιπτον· οἱ δὲ τὰ ἱμάτια ἔπλυνον· οἱ δὲ ἐπὶ τροφὴν παρεκάλουν·
ἄλλοι δὲ ἐπὶ τὴν τῶν ἀρετῶν μάθησιν· ἄλλοι δὲ ἐπὶ τὴν θεωρίαν καὶ τὴν τοῦ
θεοῦ γνῶσιν· καὶ ὅπερ ἕκαστος αὐτῶν ἠδύνατο· τοῦτο ἐσπούδαζεν ἡμᾶς ὠφελεῖν·
καὶ τί ἄν τις ἀπείποι πάσας αὐτῶν τὰς ἀρετὰς μηδὲν ἐπαξίως λέγειν δυνά-
μενος· ἔρημον οἰκοῦσι τόπον· καὶ τὰ κελλία ἐκ διαστήματος ἔχουσιν
ὡς καὶ μὴ διαγνωρίζεσθαι πόρρωθεν ὑφ' ἑτέρου· μηδὲ ὁρᾶσθαι ταχέως·
μηδὲ φωνῆς ἐπακούειν· ἀλλ' ἐν ἡσυχίᾳ πολλῇ διάγειν· ἑκάστου καθ' ἑαυτοῦ
καθειργμένου· μόνον δὲ ἐν σαββάτῳ καὶ κυριακῇ ἐν ταῖς ἐκκλησίαις
συνάγονται καὶ ἀλλήλους ἀπολαμβάνουσιν· πολλοὶ δὲ αὐτῶν πολλάκις
καὶ τεταρταῖοι ἐν τοῖς κελλίοις αὐτῶν· εὑρίσκονται ἐν τῷ μὴ ὁρᾶν
ἀλλήλους· πλὴν ἐν ταῖς συνάξεσιν· καὶ οἱ μὲν αὐτῶν· ἀπὸ τριῶν σημείων
καὶ τεσσάρων εἰς τὴν σύναξιν ἔρχονται· τοσοῦτον μακρὰν ἀπ' ἀλλήλων
διεστήκασιν· ἀγάπην δὲ τοσαύτην ἔχουσι πρὸς ἀλλήλους καὶ περὶ τὴν
λοιπὴν ἀδελφότητα· ὡς πολλοὺς συμβουλεύειν αὐτοῖς σωθῆναι· ἕ-
καστον τὸ ἑαυτοῦ κελλίον· ὡς εὐθυμεῖν αὐτοῖς εἰς ἀνάπαυσιν διδοῦναι·

Περὶ ἀββᾶ ἀμμωνίου· [εγ]

Ἴδομεν δὲ καὶ πραΰτατον ἐκεῖ· ἀμμώνιον ὀνόματι ἐξαίρετα κελλία ἔ-
χοντα καὶ αὐλὴν καὶ φρέαρ καὶ τὰ λοιπὰ τὰ πρὸς χρείαν· ἐλθόντος δὲ πρὸς αὐτόν τινος
ἀδελφοῦ σωθῆναι σπεύδοντος· καὶ λέγοντος αὐτῷ ζητεῖν αὐτῷ κελλίον
πρὸς οἴκησιν· ὡς ἐπὶ τοῦτο ἐξελθὼν παρήγγειλεν αὐτῷ· μὴ ἀναχω-
ρεῖν αὐτὸν τῶν κελλίων· ἄχρις ἂν εὕρῃ αὐτῷ ἐπιτήδειον καταγώγιον· καὶ
καταλιπὼν αὐτῷ πάντα ὅσα εἶχεν σὺν αὐτοῖς τοῖς κελλίοις· ἑαυτὸν
εἰς μικρὸν κελλίον μακρὰν ἐκεῖθεν ἀπέκλεισεν· ὅσοι δὲ καὶ πλείονες ἦσαν ἄλλοι
οἱ ἐρχόμενοι σωθῆναι θέλοντες· συνῆγεν πᾶσαν τὴν ἀδελφότητα
καὶ οἱ μὲν πλίνθους ἐπιδιδόντες· οἱ δὲ ὕδωρ· ἐν ἡμέρᾳ μιᾷ τὰ κελλία· ἀ-
πεπληροῦντο· τοὺς δὲ μέλλοντας οἰκεῖν τὰ κελλία· ἐκάλουν πρὸς τὴν ἐκ-
κλησίαν εἰς εὐωχίαν· καὶ ὡς ἔτι εὐφραίνοντο· ἕκαστος ἐκ τοῦ οἰκ-

κελλίου ἐπιμελῶς ἑαυτοῦ τὴν μηλωτὴν ἢ τὴν ψιαθίδα ἄρτων ἢ τῶν λοιπῶν
ἐπιτηδείων· φέρων ταῦτα μετὰ κελλία ἀπέφερεν· ἵνα μηδενὶ φανερωθείη ἐν τῇ ἑκάστου
πληροφορίᾳ· ἐρχόμενοι δὲ ἐφεστῶτες οἱ μέλλοντες ἀνακάμπτειν κελλία· ηὕρισκον
[ρδ] ἐξέφημησαν ταῦτα ἐπιτήδεια. Περὶ ἀββᾶ Διδύμου.
Εἴδομεν γὰρ ἐκεῖ ἄνδρα ὀνόματι Δίδυμον· πρεσβύτην τῇ ἡλικίᾳ· ἀφόρητον
ὃς τοῖς σκορπίοις ἐκέχρηται· ἐπὶ ἀσπίδας· ποσὶν οἰκείαις ἀπέκτεινεν
μηδενὸς ἑτέρου τολμῶντος τοῦτο ποιῆσαι· ἀλλὰ γὰρ ἐν πολλοῖς ἑτέροις τῶν δοκούν
[ρε] των· ὑπ' αὐτῶν ἀνῃρέθησαν τῶν θηρίων μόνον ἀφάμενοι. Περὶ ἀββᾶ Κορνη
Εἴδομεν δὲ καὶ ἕτερον ἀπ' ἐρήμου ἀναχωρητὴν ὀνόματι Κορνήλιον· ἐν γήρᾳ καλῷ προο
δεύσαντα· ἐν ἀπάσῃ ἀρχαίων ἀνδρῶν· σὺν ἀντωνίῳ τινὶ μονήρει· ἑκατὸν
δὲ καὶ ἐτῶν ὑπάρχοντα· ὃς πολλὰ παρακαλέσας ἡμᾶς ἐνουθέτησεν·
ἑαυτὸν ἐξευτελίζειν· ποταπὴν ταπεινοφροσύνην· μέχρι γήρως κεκτημέ
νος· εἴδομεν δὲ καὶ τινὰς τρεῖς ἀδελφοὺς λογίους πάνυ ἐναρέτους· οἵ γε τὴν
ἐνάρετον αὐτῶν πολιτείαν φέρεσθαι σκοπὴν κρατηθέντων· τὰ ἑαυτῶν ὅσα ἀπέτε
μον· τολμηρῶς ἐν μεγάλῃ ἀνεποιήσαντο· ὁμοίως καὶ πάντα εὔλογον τιμὰ σκοπῶν
[ρϛ] ἵνα πολλοὶ ποσῶς μηδεὶς αὐτοὺς ἐνοχλῇ. Περὶ ἀββᾶ Μακαρίου μαθητοῦ Ἀντωνίου.
Ἐγὼ τοῦτο δὲ ἢ μὴν πολλοὶ τῶν ἐκεῖ πρὸ μακαρίου τὸν βίον τοῦ μαθητοῦ ἀν
τωνίου· πρὸ βραχέως χρόνου κοιμηθέντος τελειωθέντος· ὃς πλείστας μὲν
δυνάμεις ὥσπερ ἀντώνιος διεπράξατο· ποίους ἰάσεις ἐπετέλεσεν· αἳ
οὐκ ἂν φθάσειέ τις ἐξειπεῖν· ὀλίγα δὲ αὐτοῦ μνημονεύσαντες τῶν κα
[ρζ] τορθωμάτων μετρίως ζηλώσωμεν. Τοῦτος θεασάμενος ποτέ· παρὰ τῷ
μεγάλῳ ἀντωνίῳ· βάια ἐκλεκτὰ ἐργαζόμενον· ἤτησεν παρ' αὐτοῦ μίαν
δέσμην τῶν βαΐων· εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἀντώνιος· γέγραπται οὐκ ἐπιθυ
μήσεις τὰ τοῦ πλησίον σου· ἐν μόνον φθεγξαμένου· εὐθέως τὰ βάϊα ἅπαντα ὡς
ἀπὸ πυρὸς ἐφρύγη· ὁ περιιδὼν ὁ ἀντώνιος ἔφη τὸν μακάριον· ἰδοὺ ἀνα
πέπαυται τὸ πνεῦμά μου ἐπὶ σέ· καὶ ἔσῃ λοιπὸν τῶν ἐμῶν ἀρετῶν κληρονόμος·
ἐκεῖθεν πάλιν αὐτὸν ὁ διάβολος· εὑρὼν ἐν τῇ ἐρήμῳ κεκμηκότα τῷ σώμα
τι· ἔφησεν πρὸς αὐτόν· ἰδοὺ τὴν χάριν ἔλαβες ἀντωνίου· τί δὴ ταῦτα μὴ κέ
χρησαι τῷ ἀξιώματι· καὶ αἰτῇς παρὰ θεοῦ βρώματα· καὶ ἰσχὺν πρὸς τὴν ὁδοιπο
ρίαν· ὁ δὲ ἔφησεν πρὸς αὐτόν· ἰσχύς μου καὶ ὕμνησίς μου ὁ κύριος ἐστίν· σὺ δὲ οὐκ ἐκ

πειράσαι τὸν δοῦλον τοῦ θεοῦ. ποίας οὖν φαντασίας αὐτῷ ὁ διάβολος· κάμη-
λον ἀχθοφόρον διὰ τῆς ἐρήμου πλαζομένην ἔχουσαν πάντα τὰ πρὸς τὴν
χρείαν ἐπιτήδεια· ἥτις ἰδοῦσα τὸν μακάριον ἔμπροσθεν αὐτοῦ ἐκάθισεν·
ὁ δὲ ὑπολαβὼν αὐτὴν φάντασμα εἶναι, ὥσπερ καὶ ἦν· ἔστη εἰς προσευχήν· ἡ δὲ
εὐθέως εἰς τὴν γῆν κατεπόθη. ἄλλοτε δὲ πάλιν νηστεύσας· καὶ προσευξάμενος
ᾐτήσατο παρὰ θεοῦ δειχθῆναι αὐτῷ τὸν παράδεισον· ὃν ἐν τῇ ἐρήμῳ τῆς Αἰ-
γύπτου· Ἰαννῆς καὶ Ἰαμβρῆς ἐφύτευσαν· ἀντίτυπον τοῦ ἀληθινοῦ παραδείσου
ποιῆσαι βουλόμενοι. πλαζόμενον οὖν αὐτὸν ἐπὶ τρισὶν ἑβδομάσι· καὶ ἄσι-
τον διατελέσαντα καὶ ἤδη λοιπὸν ἀποτυχήσαντα· ἄγγελος τοῦ θεοῦ ἐπέστησεν. οἱ
δὲ δαίμονες φυλάσσοντες τὰς ἀφόδους τοῦ παραδείσου· καὶ μὴ ἐῶντες αὐτὸν εἰ-
σελθεῖν· ἦν δὲ παμμεγέθες τὸ χωρίον· καὶ πολὺ τὸ διάστημα εἶχεν· ὡς δὲ ἐπευξά-
μενος εἰσελθεῖν κατετόλμησεν· εὗρεν ἔνδον δύο ἄνδρας ἁγίους· οἳ καὶ αὐτοὶ τὸν αὐ-
τὸν τρόπον ἐκεῖ ἐληλύθασιν· ἱκανὸν ἤδη χρόνον ἔχοντες· προσευχόμενοι
δὲ ἀλλήλους ἠσπάσαντο· πολλὴν ἐπ' ἀλλήλοις χαίροντες· νίψαντες δὲ αὐτοῦ τοὺς
πόδας· τὸν καρπὸν τοῦ παραδείσου παρέθηκαν· ὁ δὲ μεταλαβὼν ηὐχαρίστη-
σεν τῷ κυρίῳ· θαυμάζων ἐπὶ τοῖς καρποῖς τοῖς μεγάλοις καὶ πάνυ ποικίλοις· οὕτως
ἔλεγον οὖν πρὸς ἀλλήλους· καλὸν ἦν ὧδε εἰσαγαγεῖν πάντας τοὺς μοναχούς· ἦσαν
δέ φησι πηγαὶ τρεῖς· ἐν μέσῳ τοῦ παραδείσου μεγάλαι ἐκ τῆς ἀβύσσου βρύουσαι·
καὶ ποτίζουσαι τὸν παράδεισον· δένδρα δὲ παμμεγέθη καὶ πολύκαρπα· πᾶν
γένος ὀπώρας· τοῖς ὑπὸ τὸν οὐρανὸν καρποφοροῦντα· ἐπιμείνας δὲ ἡμέ-
ρας πρὸς αὐτοὺς ἑπτά· ἠξίου ἀπελθεῖν ὁ μακάριος εἰς τὴν οἰκουμένην καὶ
ἀγαγεῖν αὐτοῦ τοὺς μοναχούς· οἱ δὲ ἅγιοι ἄνδρες ἔλεγον πρὸς αὐτόν· μὴ δύνα-
σθαι αὐτὸν τοῦτο ποιῆσαι· πολλὴν γὰρ εἶναι τὴν ἔρημον καὶ πεπταμένην· καὶ δαί-
μονας κατὰ πᾶσαν τὴν ἔρημον τοὺς πλανῶντας τοὺς μοναχοὺς καὶ ἀναιροῦντας·
ὡς πολλοὺς καὶ ἄλλους πολλάκις βουληθέντας εἰσελθεῖν ἀναιρεθῆναι· ὁ δὲ μακάρι-
ος μὴ ἀνασχόμενος ἐν τῷ μένειν ἐκεῖ· ἀλλ' εἰπὼν ὅτι δεῖ εἶναι αὐτοὺς ἀγαθὴν ἐνθάδε
ἵνα τῆς τρυφῆς ἀπολαύσωσιν· ὥρμησεν ἐπὶ τὴν οἰκουμένην· ἐπιφερό-
μενος τινὰ τῶν καρπῶν πρὸς ἐπίδειξιν· καὶ βαΐων δὲ πλῆθος συλλέξας ἐ-
βάσταζεν· σημεῖα τιθεὶς ἑαυτῷ κατὰ τὴν ἔρημον· ἵνα μὴ σφαλῇ ποῦ ἐρχό-
μενος· ἀφυπνώσας δὲ κατὰ τὴν ἔρημον καὶ ἐξυπνήσας· εὗρεν πάντα τὰ βα-

γ᾽ ὑπὸ πρὸς κεφαλὴν αὐτοῦ· συγκειμένων ὑπὸ δαιμόνων· ἑτέροις φησὶν ἁμαρτάν
εἰ θέλημα θεοῦ ἐστίν· οὐ δυνάμεθα ἡμεῖς κωλῦσαι τοῦ εἰσελθεῖν εἰς τὸν παράδεισον
παραγενόμενος δὲ εἰς τὴν οἰκουμένην· ἐπεδείκνυεν τοῖς μοναχοῖς τοὺς καρ
πούς· προτρεπόμενος αὐτοὺς εἰσελθεῖν εἰς τὸν παράδεισον· συναχθέντες δὲ
πατέρες πολλοὶ πρὸς αὐτὸν εἶπον· μὴ ἐπ᾽ ὀλέθρῳ τῶν ψυχῶν ἡμῶν ὁ παράδεισος γέ
γένωμεν· οἱ γὰρ αὐτοὶ ἡμῶν ἀπολαύσομεν· ἀπολήψομεν τῶν ἀγαθῶν ἡμῶν ἐπὶ
τῆς γῆς· τίνα δὲ μισθὸν ἕξομεν ὕστερον πρὸς θεὸν ἀφικόμενοι· ἢ ὑπὲρ ποία
ρετῆς τιμηθησόμεθα· καὶ ἔπεισαν αὐτὸν τοῦ μὴ καταπελθεῖν· ἄλλοτε δὲ σταφυλ
ῆς ἐμφθείσης αὐτῷ νεαρᾶς· ἐπιθυμήσας ταύτην μεταλαβεῖν· ἐνδεικνύμενος τὴν
ἐγκράτειαν· ἀπέστειλεν αὐτὰς πρὸς ἀδελφόν τινα καμνόντα· καὶ αὐτὸν σταφυλὴν
ἐπιθυμοῦντα· ὁ δὲ δεξάμενος καὶ λίαν περιχαρὴς γενόμενος· κρύψαι μὲν ἑαυτοῦ
τὴν ἐγκράτειαν βουλόμενος· πρὸς ἄλλον αὐτὰς ἀδελφὸν ἐξαπέστειλεν· ὡς αὐ
τοῦ ἀνορέκτως ἔχοντος περὶ τὸ βρῶμα· δεξάμενος δὲ πάλιν κἀκεῖνος
τὸ αὐτὸ πάλιν ἐποίησεν· λίαν ποθῶν καὶ αὐτὸς μεταλαβεῖν· ὡς δὲ λοιπὸν εἰς
πολλοὺς ἀδελφοὺς ἦλθον αἱ σταφυλαί· μηδενὸς βουληθέντος αὐτῶν μεταλαβεῖν
ὁ τελευταῖος δὲ πάλιν λαβών· πρὸς μακάριον ἀπέστειλεν ὡς μέγα δῶρον αὐ
τῷ χαριζόμενος· ἐπιγνοὺς δὲ αὐτὰς ὁ μακάριος καὶ πολυπραγμονήσας· ἐθαύ
μασεν χάριτας οὖν τῷ Χριστῷ ἐπὶ τῇ τοιαύτῃ αὐτῶν ἐγκρατείᾳ· καὶ οὐδὲ αὐτὸς ἐξ αὐτῶν
τέλος μετείληφεν· ἄλλοτε δὲ φησὶν τὸν μακάριον σπήλαιον οἰκοῦντα ἐν
τῇ ἐρήμῳ προσεύχεσθαι· ἄλλο τε σπήλαιον ὑαίνης πλησίον ἐτύγχανεν· ἥτις
εὐχομένου αὐτοῦ ἐπέστη καὶ τῶν ποδῶν αὐτοῦ ἥπτετο· καὶ λαβομένη καὶ αὐτοῦ ἠρέμα τοῦ
κρασπέδου· εἷλκεν ἐπὶ τὸ οἰκεῖον σπήλαιον· ὁ δὲ ἠκολούθει αὐτῇ λέγων· τί
ἄρα θέλει τὸ θηρίον τοῦτο ποιῆσαι· ὡς δὲ ἤγαγεν αὐτὸν ἄχρι τοῦ ἑαυτῆς σπηλαί
εἰσελθοῦσα ἐξήγαγε πρὸς αὐτὸν τοὺς ἑαυτῆς σκύμνους τυφλοὺς γεννηθέντας·
ὁ δὲ ἐπευξάμενος θεωροῦντας τοὺς σκύμνους τῇ ὑαίνῃ ἀπέδωκεν· ἡ δὲ ὥς
περ δῶρον χαριστήριον φέρουσα τῷ ἀνδρὶ δέρμα μέγιστον κριοῦ μεγάλου τοῖς
ποσὶν αὐτοῦ παρέθηκεν· ὁ δὲ ἐπιγελάσας αὐτῇ ὡς εὐγνώμονι καὶ αἴσθησιν ἐ
χούσῃ· χαρίεν ἑαυτῷ ὑπεστρώσατο· ὅπερ δέρμα· μέχρι νῦν παρά τινος διασέ
σωσται· φασὶν δὲ αὐτὸ καταχουργοῦσιν τὴν παρ Μελάνιαν κόρην· μαρτυρίας πίσιν
εἰς φοράδα μετὰ βαλλομένου· καὶ τῶν λογέων αὐτοῖς· ταύτην αὐτῷ προσαγαγοῦ

καὶ δ᾽ ἐκεῖθεν τῶν αὐτοῦ· ἐβουλήθη καὶ ταύτην εὐξάμενος μεταβαλεῖν εἰς γυναῖκα·
ἐπὶ ἑπτὰ ἡμέρας ἐγκλείσας αὐτὴν κατὰ μόνας· τῶν γονέων αὐτῆς παραμενόντων·
αὐτὸς δὲ εἰς ἕτερον κελλίον τῇ δεήσει σχολάζων· τῇ ἑβδόμῃ ἡμέρᾳ εἰσελ-
θὼν ταυτῶν γονέων· ἀλείψας αὐτὴν ὅλην ἐλαίῳ καὶ κλίνας τὰ γόνατα ηὔξατο
σὺν αὐτοῖς· καὶ ἀναστὰς· ἀπέδειξεν αὐτὴν εἰς κόρην μεταβληθεῖσαν·

Περὶ ἀββᾶ Ἀμμοῦν· [ρη]

Ἦν δέ τις πρὸ τούτου ἐν ταῖς Νιτρίαις Ἀμμοῦν ὀνόματι· οὗτι μὲν τύχην μάλα
λαμπρὰν μὲν ἐμνημονευμένην ἰδεῖν ὅλα πάντως· οὗτος πρῶτος τῶν μοναχῶν πᾶσαν ἤ-
πρᾶξιν κατείληφεν· συγγενὴς μὲν ὑπάρχων καὶ πλουσίους ἔχων γενήτορας·
οἳ καὶ ἠνάγκαζον αὐτὸν γῆμαι μὴ βουλόμενον· ὡς δ᾽ αὐτοὺς τιμᾶν ἐπείσθη· ἐπέ-
θηκαν συναφθῆναι τὴν κόρην ἐν τῷ θαλάμῳ· συμπαρθενεύσας αὐτῇ ἐν τῷ κρυ-
πτῷ· μετ᾽ οὐ πολλὰς δὲ ἡμέρας· ἑκάτεροι μὲν ἐπὶ τὰς Νιτρίας ἐξῆλθον· ἐκείνη
δὲ τὴν οἰκίαν πᾶσαν πρὸς παρθενίαν προσεκαλεῖτο· καὶ δὴ τὸν οἶκον αὐ-
τῆς μοναστήριον κατεσκεύασεν· μόνου οὖν αὐτοῦ ἐν ταῖς Νιτρίαις διά-
γοντος· φέρουσι παιδαλίσκον τινὰ πρὸς αὐτὸν ἁλύσει δεδεμένον· λυσσώ-
μενος γὰρ αὐτὸν δήξας κύων· ἐκ τάχους τὴν λύτταν ἀπέδωκεν· ὥσπερ ἀπε-
σὺν ἑαυτὸν ὅλον ἀφόρητον ἔχων τὸ πάθος· ὡς οὖν ἴδεν αὐτοὺς τοὺς γονεῖς·
πρὸς τὴν ἱκεσίαν χωροῦντας· τί μοι κόπους παρέχετε φησὶν ὦ οὗτοι·
ταῦ ὑπὲρ τὴν ἐμὴν ἀξίαν ζητοῦντες· ἔχοντες ἐν χερσὶν τὸ βοήθημα·
ἀπόδοτε γὰρ οὖν τὴν χήραν τὸν βοῦν ὃν λαθραίως αὐτῆς ἀπεκτάνατε· καὶ ὑγιὴς
ὑμῖν ἀποδοθήσεται· οἱ δὲ ὡς ἠλέγχθησαν καὶ δὴ χαίροντες ἐποίουν ἅπερ
ταχθέντα· ὁ παῖς εὐθὺς εὐξαμένου αὐτοῦ ὑγίανεν· ἄλλοτε δὲ παρῆσαν
πρὸς αὐτὸν τινῶν ἐπισκέψεως ἕνεκα· πρὸς οὓς δοκιμάζων ὁ ἀνὴρ τὴν γνώ-
μην αὐτῶν εἶπεν· πίθον μοι ἐνεγκόντες ἵνα ἔχω ὕδωρ ἱκανὸν πρὸς
ὑποδοχὴν τῶν ἐρχομένων· ἐπαγγειλαμένων δὲ αὐτῶν ἐνεγκεῖν· μετὰ
μελήσεως ὁ ἕτερος παραιτησάμενος εἰς τὴν κώμην· λέγει τῷ ἑτέρῳ· οὐ
καταποκτεινόμενον τὴν κάμηλον· οὐδὲ ἐπιτίθημι φησὶν τὸν πίθον αὐτῇ·
ἵνα μὴ ἀποθάνῃ· ἀκούσας δὲ ταῦτα ὁ ἄλλος· τὰς οἰκείας ὁμοίως ὑποζύγῳ
πολλῷ καμάτῳ τὸν πίθον ἀνήνεγκεν· περιλαβὼν δ᾽ αὐτὸν ὁ Ἀμμοῦν εἶπεν·
ὅτι ἡ κάμηλος τοῦ ἑτέρου σου τέθνηκεν ἕως οὗ παραγέγονας ἐνταῦθα·
ὁ δὲ ὑποστρέψας· εὗρεν αὐτὴν ὑπὸ λύκων ἐσπαραγμένην· πολλὰ τε καὶ ἄλλα

θαυμάσια ὁ ἀνὴρ διεπράξατο· ἦλθον δέ ποτε μοναχοί τινες πρὸς αὐτὸν πα-
ρὰ τοῦ ἀββᾶ Ἀντωνίου ἀποσταλέντες καὶ φωνοῦντες πρὸς αὐτόν· διορύξης τοῦ μα-
λουάρη ἐν μέσῃ· οἱ δὲ ἀδελφοὶ ἐξεφώνησαν ἰδόντες αὐτὸν μεταπεσεῖν ἐν τῷ πέ-
ραν αὐτοὶ κολυμβῶσι διαπεράσαντες· ἐπεὶ δὲ πρὸς Ἀντώνιον παρεγένον-
το· πρὸ τοῦ λαλῆσαι Ἀντώνιος λέγει πρὸς αὐτόν· πολλά μοι ὁ θεὸς ἀπο-
καλύψας περὶ σοῦ τὴν μετάθεσίν σου δηλώσαντος· ἀμφότεροι καὶ ὁμοῦ πρὸς αὐτὸν
ἐπεκαλεσάμενοι· ἵνα ἀλλήλους ἀπολαύσωμεν· ὑπὲρ ἀλλήλων πρεσβεύσο-
μεν· πάσας δὲ αὐτὸν ἔν τινι τόπῳ κεχωρισμένῳ μακρὰν· καὶ ἀναχωρῆσαι
ἐκάθεν· ἄχρι τῆς μεταθέσεως προετρέψατο· τελειωθέντος δὲ αὐτοῦ χρό-
νοις· ἰδὼν αὐτοῦ τὴν ψυχὴν ὁ ἀββᾶς Ἀντώνιος ἀναλαμβανομένην ὑπὸ ἀγγέλων
εἰς τὸν οὐρανόν·

[ρθ] Περὶ ἀββᾶ Μακαρίου τοῦ πολιτικοῦ·

Ἄλλον δὲ φασὶν Μακάριον γεγενῆσθαι· ὃς εἰς τὸ σκητίον πρὸς τὸ μοναστήριον
ἐπῆξεν· ἔστι δὲ καὶ ὁ τόπος ἔρημος· μυχθηνὸν βρομεινῆς ἀπὸ αὐτοῦ ἀπέχων τῷ
διαστήματι· ἐπὶ τὴν ἔρημον κινδυνώδη· ὅσοι δὲ ἐκεῖ ἀναστάντες τέλειοι ἄνδρες·
οὐδεὶς ἀπελθὼν ἐν ἐκείνοις τοῖς τόποις διὰ τὸ παρὰ ἀμφοῖν ἀγρίους ὄντος· καὶ ἀπα-
ραμύθητος ἀπὸ τῶν ἐπιτηδείων· ὅσοι περ ἠρήθησαν ἀνὴρ οὗτος Μακάριος
πολιτικὸς ὑπάρχων· συνήφθη ποτὲ τῷ μεγάλῳ Μακαρίῳ· καὶ ὡς ἔμελλον δια-
πορθμεύειν τὸν Νεῖλον· συνέβη ἐλθεῖν αὐτοὺς εἰς πορθμεῖον μέγιστον· ἐν ᾧ
τριβοῦνοι δύο τινὲς· μετὰ πολλοῦ κόμπου εἰσεληλύθασιν· ῥέδιον ἔχοντες
ὁλόχαλκον· καὶ χρυσοχαλίνους ἵππους· καὶ δορυφόρους τινὰς στρατιώτας
καὶ κλειοφόρους παῖδας καὶ χρυσοζώνους τινάς· ὡς οὖν εἶδον τοὺς μοναχοὺς οἱ τρι-
βοῦνοι ἐρρυπωμένα παλαιὰ ἐνδεδυμένους εἰς τὴν γωνίαν· ἐμακάριζον αὐτῶν
τὴν εὐτέλειαν· εἷς δὲ ἐξ αὐτῶν τῶν τριβούνων ἔφη πρὸς αὐτούς· μακάριοί ἐστε
ὑμεῖς οἱ τὸν κόσμον ἐμπαίξαντες· ἀποκριθεὶς δὲ ὁ πολιτικὸς Μακάριος εἶπεν
πρὸς αὐτόν· ἡμεῖς μὲν τὸν κόσμον ἐπαίξαμεν· ὑμῖν δὲ ὁ κόσμος ἐμπαίζει·
γίνωσκε δὲ ὅτι οὐκ ἐξ ἑαυτοῦ· ἀλλ᾿ ἐκ προφητείας τοῦτο εἴρηκας· ἀμφότεροι γὰρ
μακάριοι καλούμεθα· ὁ δὲ κατανυγεὶς ἐπὶ τοῖς λόγοις· ἀπελθὼν οἴκαδε ἀπε-
δύσατο τὰ ἱμάτια· καὶ μονάζειν ἤρξατο· ποιήσας πολλὰς ἐλεημοσύνας·

[ρι] Περὶ ἀββᾶ Παύλου τοῦ ἁπλοῦ· μαθητοῦ τοῦ ἀββᾶ Ἀντωνίου·

Γέγονεν δέ τις Παῦλος ὀνόματι· ἁπλοῦς λεγόμενος· οὗτος τὴν ἑαυτοῦ γαμετὴν

ἐπανελθὼν ἀπὸ τοῦ φόρου καταλαβὼν μοιχευομένην· μηδενὶ μηδὲν εἰπὼν
ἐπὶ τὴν ἔρημον πρὸς ἀντώνιον ὁρμήσας· καὶ προσπεσὼν αὐτοῦ τοῖς πο-
σίν· παρεκάλει σωτηρίας αὐτοῦ σωθῆναι βουλόμενος· ἔφη δὲ πρὸς αὐτὸν ὁ ἀν-
τώνιος· δύνασαι σωθῆναι ἐὰν ἔχῃς ὑπακοήν· καὶ ὅπερ ἂν παρ' ἐμοῦ ἀκούσῃς τοῦ-
το ποιήσῃς· ὁ δὲ παῦλος ἀποκριθεὶς εἶπεν· πάντα ποιήσω ὅσαπερ ἂν
προστάξῃς· δοκιμάζων δὲ αὐτοῦ τὴν γνώμην ὁ ἀντώνιος· λέγει πρὸς αὐτόν·
στῆθι καὶ προσεύχου ἐν τῷ τόπῳ τούτῳ· ἕως οὗ ἐξελθὼν ἐξενέγκω σοι ἔργον
ὅπερ ἂν ἐργάσῃ· καὶ εἰσελθὼν διὰ τὸ σπήλαιον· προσεῖχεν αὐτῷ διὰ θυρίδος
ἀκίνητον μένοντα· ἐκ τούτου ὅλην τὴν ἑβδομάδα ὑπὸ καύματος
φρυγόμενον· ἐξελθὼν δὲ μετὰ τὴν ἑβδομάδα εἶπεν πρὸς αὐτόν· δύ-
ρομεται λαβεῖν τῆς τροφῆς· καὶ ὡς παρέθηκε τράπεζαν καὶ παξαμᾶν· καθή-
σομ φησὶν καὶ μὴ φάγῃς ἄχρις ἑσπέρας· ἀλλὰ πρόσεχε μόνον τοῖς ἑβδομήκοις·
ἑσπέρας δὲ γενομένης καὶ τοῦ παύλου μὴ βεβρωκότος· λέγει πρὸς αὐτὸν ὁ ἀντώ-
νιος· ἀνάστα εὖξαι καὶ κάθευδε· ὁ δὲ καταλιπὼν τὴν τράπεζαν ἐποίησεν
οὕτως· μεσαζούσης δὲ τῆς νυκτὸς· ἐγείρας αὐτὸν πρὸς εὐχήν· ἄχρις ἐμμα τῆς
ὥρας ἡμερινῆς· παρέτεινε τὰς εὐχάς· παραθεὶς δὲ πάλιν τράπεζαν·
ἐκέλευσεν αὐτὸν μεταλαβεῖν· ὡς δὲ τρίτον τὸν ἄρτον τῷ στόματι προσ-
σενήνοχεν· ἀναστῆναι προστάξας αὐτὸν καὶ ὕδατος μὴ ἅπτεσθαι· ἔπε-
μπεν δὲ τὴν ἔρημον περιάγειν λέγων αὐτῷ· μετὰ τρεῖς ἡμέρας ἧκε ἐνταῦ-
θα· τούτου δὲ γενομένου καὶ ἀδελφῶν τινῶν πρὸς αὐτὸν ἐληλυθότων· προ-
σέχειν ὁ παῦλος τῷ ἀντωνίῳ· τί κελεύει αὐτὸν ἐργάσασθαι· εἶπεν δὲ πρὸς
αὐτὸν ὁ ἀντώνιος· σιωπῶν διακόνησον τοῖς ἀδελφοῖς· καὶ μηδόλως γεύσῃ·
ἄχρις ἂν οἱ ἀδελφοὶ ὁδεύσωσιν· οἱ δ' ἄλλοι τῶν τρίτη ἑβδομὰς ἐπληρώθη
μὴ βεβρωκότος τοῦ παύλου· οἱ ἀδελφοὶ ἠρώτων αὐτόν· τίνος ἕνεκεν
σιωπᾷ· τοῦ δὲ μὴ ἀποκρινομένου λέγει πρὸς αὐτὸν ὁ ἀντώνιος· τί σι-
ωπᾷς ἕνεκεν· τοῦ δὲ μὴ ἀποκρινομένου· ὁμίλησον τοῖς ἀδελφοῖς·
ὁ δὲ ὡμίλησεν· ἄλλοτε δὲ στάμνου μέλιτος αὐτῷ ἐνεχθέντος· εἶπεν ὁ ἀν-
τώνιος πρὸς αὐτόν· κλάσον τὸ ἀγγεῖον καὶ ἐκχυθήτω τὸ μέλι· ἐποίησεν δὲ
οὕτως καὶ λέγει πρὸς αὐτόν· σύναξον πάλιν τὸ μέλι μυακίῳ ἄνωθεν ἵνα
μὴ ῥυπαρίαν τινὰ συνενέγκῃς· καὶ πάλιν ἀντλεῖν ὕδωρ προσέταξ-

πᾶσαν ἡμέραν· καὶ διδάξας αὐτὸν σπυρίδας πλέκειν μεθ' ἡμέρας τινάς· κελεύει πάσας αὐτὸν ἀναλύειν τὰς σπυρίδας· καὶ παραλύσας αὐτοῦ τὸ ἱμάτιον ἐκέλευσεν ῥάπτειν· καὶ πάλιν παραλύειν· καὶ πάλιν ἐκ δευτέρου ἐκέλευσεν ῥάπτειν· καὶ τοσαύτην ὁ ἀνὴρ ἐκτήσατο ὑπακοήν· ὥστε καὶ χάριν αὐτὸν δοθῆναι θεόθεν τῆς κατὰ τῶν δαιμόνων ἐλασίας· οὓς γὰρ οὐκ ἠδύνατο ὁ μακάριος ἀντώνιος· ἐκβαλεῖν δαίμονας· τούτους πρὸς παῦλον ἀπέστελλεν· καὶ αὐθωρὸν ἐξεβάλλοντο·

[ρια]

Περὶ ἀμμωνᾶ πρεσβυτέρου·

Εἴδομεν δὲ καὶ ἄλλην ἔρημον ἐν αἰγύπτῳ· παράλιον μὲν οὖσαν· ἀμαχώτατα(?) τε ἐν ᾗ πολλοὶ καὶ μέγιστοι ἀναχωρηταὶ κατοικοῦσιν πλησίον ὑπάρχουσαι τῆς διόλκου πόλεως· εἴδομεν ἐκεῖ πρεσβύτερον ἄνδρα φιλόσοφον καὶ λίαν ταπεινόφρονα· ὀπτασίαις ἐχόμενον συνεχῶς· ὀνόματι ἀμμωνᾶν· οὗτος προσφέρων ἅπαξ τῷ θεῷ τὰς λατρείας· ἑώρα ἄγγελον ἐκ δεξιῶν ἑστῶτα τοῦ θυσιαστηρίου· καὶ τοὺς προσερχομένους τῇ χάριτι ἀδελφοὺς σημειούμενον· καὶ γράφοντα τὰ ὀνόματα αὐτῶν ἐν βιβλίῳ· μὴ παραγενομένων δέ τινων ἐν τῇ συνάξει· ἴδεν τὰ ὀνόματα αὐτῶν ἀπαλειφόμενα· οἳ μετὰ δέκα τρεῖς ἡμέρας ἐτελεύτησαν· τοῦτον πολλάκις οἱ δαίμονες βασανίσαντες ἀσθενῆ ἅπαρ

ῥίεβαλλον· ὥστε μὴ δύνασθαι αὐτὸν ἑστηκέναι ἐν τῷ θυσιαστηρίῳ καὶ προσφέρειν· ἄγγελος δὲ ἐλθὼν καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς ἐνεδυνάμωσε παραχρῆμα· καὶ ὑγιῆ τῷ θυσιαστηρίῳ παρέστησεν· οὕτως βασάνοις οἱ ἀδελφοὶ θεασάμενοι ἐξεπλάγησαν·

[ριβ]

Περὶ ἀββᾶ ἰωάννου

Εἴδομεν δὲ καὶ ἄλλον ἰωάννην ἐν διόλκῳ· πατέρα μοναστηρίων· καὶ αὐτὸν πολλὴν χάριν ἔχοντα· τό τε ἀβραάμιον σχῆμα καὶ τὸν πώγωνα ἀαρών· δυνάμεις τε καὶ ἰάσεις ἐπιτελέσαντα· καὶ πολλοὺς παραλυτικοὺς καὶ ποδαλγοὺς θεραπεύσαντα· *|| εἴδομεν δὲ καὶ ἄλλους πολλοὺς πρεσβυτέρους καὶ μοναχοὺς κατὰ πᾶσαν τὴν αἴγυπτον· πολλὰ σημεῖα καὶ δυνάμεις ἐπιτελοῦντας· ὧν διὰ τὸ πλῆθος οὐκ ἐμνημονεύσαμεν· ἀλλὰ ὀλίγα ἀπὸ πολλῶν διηγησάμεθα· τί γὰρ ἄν τις εἴποι περὶ τῆς ἄνω θηβαΐδος τῆς κατὰ συήνην ἐν ᾗ καὶ θαυμασιώτεροι ἄνδρες τυγχάνουσιν· καὶ πλῆθος μοναχῶν ἀπείρων· ὧν οὐκ ἄν τις πιστεύσειεν τὴν πολιτείαν· ὑπὲρ ἀνθρώπων ζωὴν ὑπαρχούσας· οἳ καὶ νεκροὺς μέχρι σήμερον ἀνιστῶσιν· καὶ τῶν ὑδάτων

ἐπιβαίνοντι ὥσπερ ὁ πατρός· καὶ πᾶν ὅτι ὅσα ἦν διὰ τῶν ἄλλων ἀποτελέσειν ταῦτα καὶ μὴ διὰ τῶν ἐπιτελῆ· ἀλλ' ἐπειδὴ κίνδυνος ἡμῶν μέγιστος περιετέθη τῆς λυκῶν ἀπελθεῖν διὰ τὴν τῶν λῃστῶν ἔφοδον· οὐκ ἐτολμήσαμεν τοῖς ἄλλοις ἐκείνοις ἰδεῖν· οὐδὲ γὰρ τοῖς προρηθεῖσι πᾶσιν ἀκινδύνως εἴδομεν· οὐδὲ ἀπόνως· οὐδὲ ἀμογητί, τὰς ἱστορίας ταύτας ἑωράκαμεν, ἀλλὰ πολλὰ προπαθόντες καὶ μικροῦ κινδυνεύσαντες· μόλις κατηξιώθημεν ταῦτα θεάσασθαι· ἕβδομον γὰρ θάνατον ὑπέστημεν· ἐν δὲ τοῖς ὀγδόοις οὐκ ἥψατο ἡμῶν τι κακόν·

Πρῶτον μὲν γὰρ λιμῷ καὶ δίψῃ· πέντε νυχθημέροις διὰ τῆς ἐρήμου περιπατήσαντες· μικροῦ δῆν ἐναποτυχήσαμεν· α

Ἄλλοτε ἐν ὀξέσιν καὶ τραχέσιν ἕλεσιν ἐμπεσόντες· καὶ τοὺς πόδας ἑαυτῶν διατρήσαντες· ὥσαν ὑπὸ στιγμέσθαι τὰς ἀλγηδόνας μικροῦ δὴ ἀπεψύξαμεν·

Τρίτον δὲ βορβόροις ἐμπεσόντες ἄχρι ὀσφύος· καὶ οὐκ ἦν ὁ ῥυόμενος· καὶ τὰς τοῦ μακαρίου Δαβὶδ φωνὰς ἀνεβοῶμεν· σῶσόν με ὁ θεὸς ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις· καὶ σῶσόν με ἀπὸ πηλοῦ ἵνα μὴ ἐμπαγῶ·

Τέταρτον τῆς τῶν ὑδάτων ἡμῖν πληθύος ἐπιρρυείσης ἐκ τῆς τοῦ Νείλου αὐξήσεως· καὶ ἐπὶ τρεῖς ἡμέρας δι' ὑδάτων πορευομένων· καὶ ἐν τοῖς ἀομθοις μικροῦ δῆν κατακλυσθῆναι· ὅτε καὶ βοῶμεν λέγοντες· μή με καταποντισάτω καταιγὶς ὕδατος μηδὲ καταπιέτω με βυθός· μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ· δ

Πέμπτον δὲ λῃσταῖς περιεπέσαμεν· κατὰ τὴν θάλασσαν ὁδεύοντες ἐπὶ τὴν διόλκον ἀφικόμενοι· οἳ ἄχρι τοῦ τὸ ἡμᾶς κατεδίωξαν καταλαβεῖν βουλόμενοι· ἄχρι τοῦ τὴν πνοὴν ἡμῶν ἐν ταῖς ῥισὶν ἡμῶν κενὴν ὑπολειφθῆναι ὡς ἐπὶ δέκα μίλια ἡμῶν διωχθέντων· ε

Ἕκτον δὲ τὸν Νεῖλον πλέοντες μικροῦ κατεποντίσθημεν καταστραφέντων· ἕβδομον ἦν· ὅτε κατὰ τὴν Μαρεώτιδα λίμνην· ἐν ᾗ ὁ χάρτης γεννᾶται· εἰς νῆσόν τινα ἀπερρίφημεν ἔρημον· καὶ τρεῖς νυχθήμερα ὑπαίθριοι ἐμείναμεν· κρύους μεγάλου καὶ ὄμβρου ἡμῖν ἐπικειμένου· ἦν γὰρ ὁ καιρὸς τῶν ἐπιφανίων·

ἐν δὲ τῇ ὁδῷ πειρασμῶν μὲν ἐστὶ τὸ διήγημα· ὅμως ὠφέλιμον· πα-
ρεέντων γὰρ ἡμῶν διὰ τιμὸς τόπους καὶ τὰς μητρίας· κοιλάδα τινὰ κα-
τὰ τὴν χώραν μεγάλην ὕδατι ποιοῦσαν· ἐν ᾗ ἐγένοντο μὲν τῶν κροκόδει-
λοι πολλοὶ ἦσαν· τοῦ ὕδατος ἐκ τῶν χωρῶν ὑποχωρήσαντος· τρεῖς ὁμοίως με-
γάλους κορκοδείλους ἐπὶ τὸ τέλος τοῦ βόθρου ἐκτεταμένους· εὑρίσκομεν ἡ-
μεῖς ὃ ὅμοιοι τεθνεῶσι· νομίζοντες αὐτοὺς τεθνηκέναι· τοὺς δὲ εὐθέως ἐφ' ἡ-
μᾶς ὁρμῆσαι· ἡμᾶς δὲ μεγάλῃ φωνῇ τὸν Χριστὸν ὀνομάσαντας· ἐκβοήσαν-
τας· Χριστὲ βοήθει· οἱ δὲ θῆρες ὥσπερ ὑπὸ ἀγγέλου ἀποστραφέντες· ἑαυτοὺς εἰς
τὸ ὕδωρ ἠκόντισαν· ἡμεῖς δὲ δρόμῳ συντόμῳ ἐπὶ τὰς μητέρας ἀπεληλύθα-
μεν· τὴν τοῦ Ἰὼβ φωνὴν μελετῶντες· ἐν ᾗ φησὶν ἐξ ἀναγκῶν ἑπτάκις ἐ-
ξελεῖταί σε· ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν· ἀχάριστοι μὲν οὖν τῷ
κυρίῳ· τῷ ἐκ τοσούτων κινδύνων ἡμᾶς ῥυσαμένῳ· καὶ μεγάλας θεωρίας
ἡμῖν ἐπιδείξαντι· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν·~

ἕως ὧδε· ἡ κατ' Αἴγυπτον μοναχῶν ἱστορία·~

Βίος τοῦ ἀββᾶ Παύλου τοῦ Θηβαίου· λόγος· περ·

Ἐν πολλοῖς πολλάκις· ζήτησις ἐγένετο παρά τισι· ἐν τίνι πρώτῳ τὴν ἔ-
ρημον οἰκεῖσθαι ἤρξατο· τινὲς γὰρ τῶν ἀρχαιοτέρων μνημονεύσαντες
ἐκ τοῦ μακαρίου Ἡλίου καὶ Ἰωάννου ἀρχὴν εἰληφέναι· τὴν ἐν τῇ ἐρήμῳ δι-
αγωγὴν λέγουσιν· ἀλλ' ὁ μὲν Ἡλίας μᾶλλον καταφαίνεται γενόμενος· ὑπὲρ
μοναχὸς καὶ Ἰωάννης πρὸ τοῦ γενέσθαι αὐτὸν ἤρξατο προφητεύειν· ἄλλοι
δὲ κατὰ τὴν πολλῶν δόξαν διαβεβαιοῦνται Ἀντώνιον· τοῦ τοιούτου ἐπιτη-
δεύματος ἀρχηγὸν γενέσθαι· καὶ εἰ τὰ μάλιστα τοῦτο ἔχει μερικῶς τὸ μὲν πρῶ-
τον· οὐκ αὐτὸς μὲν πρῶτος πάντων γέγονεν· ὑπ' αὐτοῦ δὲ πλείονες εἰς τοῦ-
τον τῆς θεοσεβείας ζῆλον προκέκληνται· Ἀμάτας τις γὰρ οὖν καὶ Μακά-
ριος μαθηταὶ Ἀντωνίου· ὑφ' ὧν καὶ ἐτάφη ἕως τῆς σήμερον διαβεβαιοῦν-
ται· Παῦλον τινὰ Θηβαῖον τοῦ πράγματος τοῦ ... ἔξαρχον γεγενῆσθαι·
καὶ ἡμεῖς περὶ τούτου συνεφορήμεθα· τοιγαροῦν ἐπειδὴ αὐτῶν
οὐ μόνον ἐμνημόνευκεν· ἀλλὰ καὶ ἐφ... μεμαρτύρηκεν· βεβ-

χεται μάλα Παύλου τῆς ἀρχῆς ἕνεκεν καὶ τοῦ τέλους γράψαι ἐσπούδασα· ὅπως ἐν
μέσῳ τῇ ἡλικίᾳ ἐβίωσεν· ἢ τίνας ὑπὸ τοῦ διαβόλου ἢ πῶς ἤνεγκεν πειρασ-
μούς· λανθάνει τοὺς πολλούς· ἐπὶ Δεκίου γὰρ καὶ Βαλεριανοῦ τῶν διωκτῶν· ἐν
ᾧ καιρῷ Κορνήλιος ἐν Ῥώμῃ· Κυπριανὸς ἐν Καρταγένῃ μακαρίως ἐτελειοῦντο·
πολλοὺς ἐν τῇ Αἰγύπτῳ καὶ Θηβαΐδι ἡ ἐκκλησία πειρασμοὺς ὑπήνεγκεν· καὶ πᾶς
χριστιανῶν ἐσπούδαζεν ὑπὲρ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ ξίφει ἀναιρεθῆναι· ὁ δὲ ἐχθρὸς
τῆς ἀληθείας· οὐ τὰ σώματα· ἀλλὰ τὰς ψυχὰς ἀναιρεῖν ἐβούλετο· τοιγαροῦν
ἐπιμένοντος ἐν τῇ πίστει τοῦ τιμίου μάρτυρος καὶ ἐν αὐτῷ τῷ ξύλῳ καὶ τοῖς βασά-
νοις νικωμένου· προσέταξε τὸ μέλιτι περιχρισθὲν δι' ὅλου τοῦ σώματος
ἐν αὐτῷ τῷ διακαεῖ ἡλίῳ· τῶν χειρῶν ἐπὶ τῶν νώτων δεδεμένων αὐτῷ καθίζ-
εσθαι δηλαδὴ ὅπως τῶν τοῖς κέντροις ὀξέως πεπυρωμένοις τυγχάνοις· ὁ δὲ οὐχ ἡ-
ττᾶται· ἕτερον νεανίαν ἐν αὐτῇ τῇ ἀκμῇ τῆς ἡλικίας ἀνθοῦντα· ἐν κήποις
διηνθισμένοις· προσέταξεν ἄγεσθαι· κατακλῖσαι μεταξὺ τῆς ἐλαφρῶς ἐπεστρωμένης
τῶν κρίνων· τοῦ τε ἀνθοῦντος τῶν ῥόδων· ἡσύχως παραρρέοντος ὕδατος· ἁπα-
λῶς τε ὑποσυρίζοντων τῶν φύλλων ἐπὶ στρωμνῆς ἁπαλῆς καὶ δήσαντες
δεσμοῖς κατέλιπον· ἁπάντων τε ἀναχωρούντων· πόρνη τις ὡραία ἐλθοῦσα
ἤρξατο ἀπαλῶς περιλαμβάνειν τὸν τράχηλον· καὶ ὅπερ λέγειν ἐστὶ μύσος·
ταῖς χερσὶ τὰ τοῦ ἀνδρὸς κεκρυμμένα κρατοῦσα· ἵνα τοῦ σώματος ἐνδυ-
θὲν ἀνακινηθέντος· νίκην ἑαυτῇ περιποιήσηται· ἡ ἀναίσχυντος ἄσεμνος παρελ-
θοῦσα· τί ἔδει τὸν στρατιώτην Κυρίου διαπράξασθαι· ποῖ ἐνθυμεῖσθαι τῶν
πόνων βασάνων μὴ νικηθέντα· καὶ μέλλοντα νικᾶσθαι ὑπὸ ἡδυπαθείας· καὶ δὴ ἄνω-
θεν ἐμπνευσθείς, δήγματι τὴν γλῶσσαν ἐκκόψας· ἀντὶ φιλήματος τῇ ὄψει
ταύτης προσέπτυσεν· καὶ οὕτως τῆς ἡδυπαθείας καὶ τὴν ἐπιθυμίαν ἐξέκοπτεν
διὰ τοῦ πειρατοῦ τὸν πόνον μετέθου· κατὰ τὸν αὐτὸν τοιγαροῦν καιρὸν· ἐν ᾧ
ταῦτα διεπράττοντο κατὰ τὴν κάτω Θηβαΐδα ὁ μακάριος Παῦλος με-
τὰ τῆς ἰδίας ἀδελφῆς· ἤδη σὺν ἀφθόνοις ἀνδρὶ ἀμφοτέρων τῶν πατέρων τελευτη-
σάντων· καὶ ἐν εὐπόρῳ τῇ κληρονομίᾳ ὁ Παῦλος καταλειφθείς· ἐτῶν περί-
που εἴκοσι· γράμμασί τε ἑλληνικοῖς καὶ αἰγυπτιακοῖς ἄκρως παιδευθεὶς τὴν
ψυχὴν πραῶς ὑπερβαλλόντως τὸν θεὸν ἀγαπῶν· ἀκμάζοντος τοῦ διωγμοῦ
ἐν ἰδιάζοντι χωρίῳ διῆγεν· ἀλλά τι· τὰς διανοίας τῶν ἀνθρώπων ἡ πλε-

ὁμεξίαι· πρόφασιν γὰρ μαθεῖν μὴ παραμένων κατάλληλα· τῆς γὰρ ἀδελφῆς αὐτοῦ ὁ ἀνὴρ τοῦτον
προδοῦναι ἐσπούδαζεν ὃν διαφυλάττειν ὤφειλεν· καὶ οὔτε γυναικὸς τὰ δάκρυα
οὔτε τῆς συγγενείας ὁ θεσμός, οὐχ ὁ θεὸς ὁ πάντα ἐφορῶν· ἀπὸ τῆς ἀθεμίτου δια-
νοίας τοῦτον ἀνεκαλεῖτο· ἀλλ' ἐπεὶ ἔμαθε μὲν τὴν ὠμότητα αὐτοῦ ὁ σεβαστὸς ἐ-
πιτελεῖν σπουδάζων· καὶ δὴ τὸν ἔνεδρον αὐτοῦ ὁ σώφρων νεανίας περιέχων· εἰς
ἐρήμους ὀρέων τόπους καταφυγών· τοῦ διωγμοῦ τὸ πέρας προσεδέχετο· καὶ
τὴν ἀνάγκην εἰς προαίρεσιν μετέθηκεν· καὶ κατὰ βραχὺ προκόπτων· εὗρεν πε-
τρῶδες ὄρος, ἐν ᾧ σπήλαιον ἦν βραχυτάτῳ λίθῳ περικλειόμενον· ἀποκαλύ-
ψας πάλιν κατὰ τὸ περίεργον τῶν ἀνθρώπων· ἀκορέστως τὰ ἔνδον πάντα περιειργά-
ζετο· καὶ δὴ ἔνδον ὁρᾷ φοίνικα τὴν καθαρωτάτην πηγὴν σκέποντα· τοιγαροῦν ἐπιποθή-
σας τὸν τόπον, ὡς ὑπὸ θεοῦ δεδομένον αὐτῷ πρὸς κατοίκησιν· πάντα τὸν
καιρὸν αὐτοῦ τῆς ζωῆς ἐν τῇ ἐρήμῳ διετέλεσεν· τροφὴν καὶ ἔνδυσιν ἐκ τῶν
φοινίκων ἔχων· ὅπερ ἵνα μηδενὶ ἀδύνατον εἶναι νομισθῇ· Ἰησοῦν διαμαρτύ-
ρομαι καὶ τοὺς ἁγίους ἀγγέλους· ἐν αὐτῷ τῷ μέρει τῆς ἐρήμου τοὺς ἐπὶ τῆς Συ-
ρίας ὑπάρχοντας· πλησιάζον τοῖς μέρεσι τῶν Σαρακηνῶν ἑωρακέναι
μεμοναχούς· ἐν οἷς πεντήκοντα ἔτεσιν ἐν κατακλείσει· κριθίνῳ
ἄρτῳ· καὶ πεπηλωμένῳ ὕδατι τρεφόμενον· ἕτερον ἐν λάκκῳ τινὶ παλαιῷ
ὅνπερ οἱ Ἕλληνες γούβαν καλοῦσι, πέντε ἰσχάσι καθεκάστην ἡμέραν συγκρ-
τείσθαι· ταῦτα ἄπιστα φαίνεται τοῖς μὴ πιστεύουσι· ἀλλ' ἐπάνειμι ὅθεν αὐτὸς ἐπανέλ-
θω ὅθεν καὶ ἀρξάμενος· ἑκατοστοῦ καὶ τρίτου καὶ δεκάτου ἔτους ὁ μακάριος ὑπῆρχε
Παῦλος· ὅσιον βίον διάγων ἐπὶ γῆς· καὶ ἐνενηκοστοῦ τῆς ἐν ἄλλῃ ἐρήμῳ Ἀν-
τώνιος διέτριβεν· καὶ ὡς αὐτὸς διηγήσατο ἐφάνη· ἐν τῇ ἐνθυμήσει τῆς διανοίας
αὐτοῦ ἐπῆλθεν· ὡς οὐδεὶς ἕτερος ἔνδον τῆς ἐρήμου τῶν μοναχῶν διάγει· καὶ
αὐτῆς νυκτὸς ἡσυχάζοντι· ἀπεκαλύφθη ἄλλος ἕτερος ἐνδότατος πολλῷ αὐτοῦ βελ-
τίονα· πρὸς ὃν καὶ ὁ θέλησιν καὶ χάριν σπουδάσαι· εὐθέως οὖν ἤδη ἡμέρας
ἐπιγενομένης, ὁ μακάριος τῇ ἑαυτοῦ βακτηρίᾳ ἑαυτὸν ὑποβαστάζων· ἀρ-
ξάμενος τὴν ὁδοιπορίαν διανύειν ἀγνοῶν τὴν ὁδόν· ἤδη δὲ μεσημβρίας ἐπιγε-
νομένης τοῦ ἡλίου ἅπασαν τὴν ἐκπύρωσιν ποιοῦντος· οὐκ ἐπαύσατο ἐκ τῆς προκει-
μένης ὁδοῦ λέγων· πιστεύω τῷ θεῷ μου, ὅτι τὸν δοῦλον αὐτοῦ ὃν μοι ἐπηγγεί-
λατο δείξει· καὶ εὐθέως μεταξὺ ἴδεν ἄνθρωπον ἵππῳ μεμιγμένον· ὃν ἤδη οἱ ποιη-

τῶν· ἴσως κένταυρον κέκληκεν· πρὸς ὃν ἔφη· σὺ λέγε ἐν ποίῳ μέρει ὁ
δοῦλος τοῦ θεοῦ κατοικεῖ· ἀπεκρίνατο καὶ αὐτὸς βαρβαρικὴν φωνήν· ἐπι
κλῶν μᾶλλον τὰ ῥήματα ἤπερ αὐτὰ σαφηνίζων· ἐκ στόματος δὲ φρικώ
δους κολακικὴν φαινόμενος· ἐστράφη πρὸς ὁμιλίαν· καὶ τὴν δεξιὰν χεῖ
ρα ἐκτείνας· τὴν ποθουμένην μετέδειξεν ὁδόν· οὗτος δὲ τὸ πλάτος τῶν πεδί
ων διατρέχων· ἐκ τῶν ὀφθαλμῶν θαυμάζοντος τοῦ ἀναχωρητοῦ· ἀφανὴς
ἐγένετο· ἀλλὰ τοῦτο· εἰ ὁ διάβολος πρὸς ἔκπληξιν αὐτοῦ ὑπεκρίνατο·
εἴτε καὶ τὸ εἶδος ἡ ἔρημος τερατώδες ζῶον ἐνδεικνύναι ἀσφαλῶς οὐκ ἔχομεν·
ὅθεν θαυμάζων ὁ Ἀντώνιος περὶ τῆς ὀπτασίας ἧς ἴδεν· καθ᾽ ἑαυτὸν ἐν
θυμούμενος· περαιτέρω προέβαινεν· ἐν κοιλάδι πετρώδει λιθώδη μικροφυᾶ
ἀνθρωπίσκον ὁρᾷ ἐπὶ μετώπου κέρατα φέροντα· ὡς καὶ τὰ τελευταῖα
τοῦ σώματος· αἰγὸς πόδας ἀπετέλει· καὶ τοῦτο τὸ θέαμα περιχαρῶν· τὸν
θυρεὸν τῆς πίστεως καὶ τὸν θώρακα τῆς ἐλπίδος· ὁ καλὸς ἀγωνιστὴς ἀνα
λαβών· τίς εἴη ὁ βλεπόμενος ἐπηρώτα· θνητός εἰμι καὶ εἷς τῶν
κατοικούντων τὴν ἔρημον ἔφασκεν· οὓς ἡ πολυποίκιλος τῶν ἐθνῶν δει
σιδαιμονία ἠπατημένη· σατύρους τε ὀνομάζουσα τρισκάλαν· πρεσβεί
αν προσκομίζω ἐκ τῆς ἀγέλης μου· δεόμεθα ἵνα ὑπὲρ ἡμῶν τὸν κοινὸν
δεσπότην καθικετεύσῃς· τὴν γὰρ σωτηρίαν τοῦ κόσμου πάλιν ἐληλυθέναι
ἐμάθομεν· καὶ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ· τοιαῦτα αὐτοῦ
λαλοῦντος· ὁ γέρων τὴν ὁδοιπορίαν διανύων· δάκρυσι τὸ πρόσωπον
περιρρεόμενος· ἐχαίρετο ἐπὶ τῇ [illegible] τοῦ Χριστοῦ δόξῃ καὶ τῇ ἀπωλείᾳ τοῦ σατανᾶ·
ἀλλὰ θαυμάζων ὅτι περιεδέξατο ταῦτα καὶ τοὺς λόγους νοῶν· τήν τε βα
κτηρίαν ἐπὶ τοῦ ἐδάφους κρούων ἔλεγεν· οὐαί σοι Ἀλεξάνδρεια· ἥτις
ἀντὶ τοῦ θεοῦ τέρατα προσκυνεῖς· οὐαί σοι πόλις πόρνη· ἐν ᾗ ὅλου τοῦ
κόσμου οἱ δαίμονες συνήχθησαν· ποίαν ἀπολογίαν ἔχεις· τῶν θηρί
ων Χριστὸν ὁμολογούντων· οὕτως τῶν ῥημάτων αὐτοῦ πληρουμένων· ὡς ὑπό
πτερον τὸ ζῶον γενόμενον ἀπέφυγεν· καὶ τοῦτο μὴ ἄπιστον φαίνεσθαι
ἐπὶ τοῦ βασιλέως Κωνσταντίου· ἁπάσης τῆς οἰκουμένης μαρτυρούσης· ἐ
ν Ἀλεξανδρείᾳ· τοιοῦτον τέρας ζῶον κατηνέχθη μέγα θαῦμα τῷ δήμῳ·
καὶ μετὰ ταῦτα ἀποθανόντος αὐτοῦ· τὸ σκήνωμα πρὸς τὸ μὴ διαλυθῆ

αὐτό· ὑπὸ τοῦ ἀέρος σμυρνισθέν· ἐν αὐτῷ ὅσχ᾽ ἀπὸ τὸν βασιλέα· ἱστορεῖ χάριν ἔχομεν.
ἀλλ᾽ εἰ μὴ αὐτὸ παρακάμενον δηλώσω· ὁ ἀντώνιος ἣν ὁδὸν ἐνήρξατο διαπεραῖν· τῶν θη-
ρίων τοσοῦτον τὰ ἴχνη καθορῶν· ἐν τοσούτῳ πλάτει τῆς ἐρήμου· τί δὲ οἱ διαπρά-
ξασθαι οὐκ οἶδεν· παρῳχηκυίας ἡμέρας ἑτέρας· ἐνθυμούμενος τοῦτο πρὸ ὀ-
φθαλμῶν εἶχεν· ὅτι ἀδύνατον αὐτὸν ἐστὶν ὑπὸ Χριστοῦ ἐγκαταλειφθῆναι· δευτέραν
νύκτα τῇ προσευχῇ προσκαρτερῶν· πρὸς αὐτῇ τῇ ἡμέρᾳ· λύκαιναν ὁρᾷ
πρὸς αὐτῇ τῇ ἀρχῇ τοῦ ὄρους· μετὰ πολλοῦ ἄσθματος ἀνερχομένην· ἣν περ
ἀκολουθήσας· καὶ πλησίον τοῦ σπηλαίου γενόμενος· τοῦ θηρὸς ἐλάσαντος· προσελθὼν
ἤρξατο ἐνορᾶν κατὰ τὸ εἰσερχόμενον· ἡ τελεωτάτη τῆς σκοτίας τὸν φόβον ἀπω-
θεῖται· καὶ μόλις ἔνδοθεν τὸ φῶς θεασάμενος ὡς ἀκορέστως περισσῶν· προσ-
κρούσας λίθῳ τινὶ ἐκ τοῦ ποδὸς τὸν ψόφον ἀπετέλεσεν· οὗ ἐκτυπηθέντος ὁ μακάριος
παῦλος· τὴν εἴσοδον αὐτῷ γενομένην ἀπέκλεισεν· τότε δὴ ὁ ἀντώνιος
πρὸ τῆς θύρας πεσὼν· ἄχρις ἕκτης σχεδὸν ὥρας τὴν εἴσοδον ἠξίου ἀνοῖξαι
τίς εἶναι λέγων καὶ πόθεν· καὶ διατί ἐλήλυθα οἶδας· ἐμαυτὸν ἀνάξιον τῆς θέας σου
ὅμως ἐὰν μὴ ἀδοὺς συγχωρῶ· ὅτ᾽ ἄθηρία ὑποδεχόμενος διατί ἄνθρωπον ἀποβάλλεις
ἐζήτησα· καὶ εὗρον· κρούω ἵνα μοι ἀνοιγῇ· ὅπερ ἐὰν μὴ ἐπιτύχω· ἐνταῦθα ἀ-
ποθανοῦμαι πρὸ τῶν θυρῶν σου· ἵνα κἂν τὸ σκῆνος μου θεασάμενος
θάψῃς· τοιαῦτα διαβεβαιουμένου· μόλις ἀπόκρισιν τυγχάνει τοῦ μακα-
ρίου λέγοντος· οὐδεὶς οὕτως ζητεῖ ἀπειλῶν· οὐδεὶς μετὰ δακρύων κατηγο-
ρεῖ· οὕτως χαριέντι χρώμενος τὴν εἴσοδον αὐτῷ ἀνέῳξεν· καὶ δὴ περιπτυξάμε-
νοι ἀλλήλοις ἕκαστος τὸν πλησίον· τοῖς ἰδίοις ὀνόμασι ἠσπάζοντο καὶ μετὰ τὸ ἅγιον
φίλημα καθεσθέντος ὁ παῦλος μετὰ τοῦ ἀντωνίου· ἔφη· τίνα τοσοῦτον κά-
ματον ἐζήτησας ἤδη σεσηπότα γέροντα οὗ ὁρᾷς ἀνθρώπων· χοῦν μετ᾽ ὀλίγον γενησό-
μενον· ἀλλ᾽ ἐπειδὴ ἡ ἀγάπη πάντα ὑπομένει· καὶ ἐν ταῖς ἀρχαίαις πόλεσι και-
νόστεγοι οἶκοι δομοῦνται· τίς ὁ πῶς ὁ κόσμος βασιλεύεται· καὶ εἰ ἔτι οἱ ἄρχοντες
τοῦ ὑπὸ τῆς τῶν δαιμόνων πλάνης αἰχμαλωτίζονται· ἐν τούτῳ τῷ λό-
γῳ ὁρῶσι κόρακα· ἐν κλάδῳ φυτοῦ καθεζόμενον· ὅπερ ἐκεῖθεν ἠρέ-
μως διαπτὰς ὁλόκληρον ἄρτον θαυμαζόντων αὐτῶν· πρὸ προσώπου
αὐτῶν ἀπέθετο· οὗ μετὰ τὴν ἀναχώρησιν· λέγει ὁ παῦλος· ὁ κύριος ἡμῖν τὸ ἄ-
ριστον ἀπέστειλεν· ἀληθῶς ἐλεήμων καὶ φιλάνθρωπος· ἑξήκοντα λοιπὸν ἔτη εἰσὶν

ἐμοῖς ἡμῖν ἔσται ἄρτου κλάσματος μετέχειν· ἀλλ' ὅμως τῇ παρουσίᾳ σου τοῖς ἰδί-
οις τέκνοις τοῦ χ(ριστο)ῦ ἐδυσωπήθησαν τὸ σιτηρέσιον· τοιγὰρ οὕτω τῷ κ(υρί)ῳ εὐχαριστή-
σαντες· πλησίον τῆς πηγῆς ἀμφότεροι ἐκαθέσθησαν· ἐνταῦθα τίς πρότερος κλά-
σαι τὸν ἄρτον ἐφιλονείκουν· κατέλιπεν δὲ σχεδὸν ὑπὸ τῆς φιλονεικίας αὐ-
τῶν ἡ ἡμέρα· καὶ μόλις ἐκείνων ἀμφότεροι τε τοῦ ἄρτου ἐπιλαβόμενοι· τοῦ-
τον ἐν ὀνόματι κ(υρί)ου ἔκλασαν· καὶ τῷ κ(υρί)ῳ εὐχαριστήσαντες· πανύχιον ἠγρύπνουν
ἡμέρας γενομένης· οὕτως περὶ τῶν αὐτῶν· πολλαὶ ταῖς ἀδελφὲ ἐν ταῖς
τῇ πτωχείᾳ κατοικοῦμεν ἡμεῖς· πολλαὶ τὸν σὸν δοῦλον ἐπηγγείλαντο μοι ὁ χ(ριστό)ς·
ἀλλ' ἐπειδὴ τῆς κοιμήσεως μου ὁ καιρὸς πάρεστιν· καὶ ὅπερ πάλαι ἐπεπόθουν
ἀναλῦσαι καὶ εἶναι σὺν χ(ριστ)ῷ πληρωθέντος τοῦ χρόνου· ὑπολείπεταί μοι ὁ τῆς δικαι-
οσύνης στέφανος· σὺ ἀπελθὼν παρακαλῶ ἐπὶ τῆς γῆς τὸ σῶμά μου καλύψαι· μ-
ηδὲ μὲν τῇ γῇ ἀποδοθῇ· τοῦτο μὲν λεχθὲν ὁ ἀντώνιος δακρύσας καὶ στενά-
ξας μὴ ἐγκαταλειφθῆναι ὑπ' αὐτοῦ· ἀλλὰ συνοδοιπορεῖν τῆς ὁδοῦ ἱκέτευσεν· καὶ κατ' αὐ-
τοῦ κόσμον φιλοσοφήσας ζητῶν τὰ ἑαυτοῦ ἀλλὰ τὰ τοῦ πλησίον· συμφέρει γάρ σοι τὸ ἄ-
χθος ἀποθέσθαι τῆς σαρκός· ἀλλὰ τοῖς λοιποῖς οὐ συμφέρει ἀδελφοῖς εἶναι σου
μὴ μετὰ τὸ γενόμενον· διὸ ὥσπερ ἐπείχθη τε παρακαλῶ· εἰ τοῦτο ἀληθές
καὶ τὴν πόλιν ἣν ὁ ὅσιος ἀθανάσιος ὁ ἐπίσκοπος ἐδωρήσατο· πρὸς ἐντυλιγμὸν
τοῦ σώματός μου ἐπικόμισαι· τοῦτο δὲ ὁ μακάριος παῦλος ἤτει· οὐ τὸ ἔν-
δυμα ἐπιποθῶν· ὅπερ εἶδεν ἐν τῇ γῇ φθαρησόμενον· ἀλλ' ἵνα μετὰ ἀνέ-
σεως ἐξέλθῃ τοῦ βίου· θαυμάσας τοιγαροῦν ὁ ἀντώνιος· ὅτι περὶ ἀθανασί-
ου καὶ τῆς πόλεως αὐτοῦ ἤκουσεν· ὡς χ(ριστό)ν ἑαυτὸν ὁρῶν καὶ ἐν τοῖς σπλάγχνοις αὐτοῦ
τὸν κ(ύριο)ν προσκυνῶν· ἔτι πολλὰ ἀποκρίνεσθαι οὐκ ἐτόλμησεν· ἀλλὰ μετὰ
ἡσυχίας δακρύων φιλήσας αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ τὰς χεῖρας ἐπὶ τὸ
μοναστήριον ἀπήχθη· ὅπερ μετὰ ταῦτα ὑπὸ τῶν σαρκικῶν διηρπ-
άσθη· καὶ δὴ παραγενομένου αὐτοῦ οἱ δύο μαθηταὶ αὐτοῦ· οἱ ἤδη ἐν πολλῷ χρό-
νῳ ὑπηρετοῦντες αὐτῷ· ἀπαντήσαντες ἔφασκον· ποῦ τοσοῦτον χρό-
νον διέτριβες πάτερ· ὁ δὲ ἀπεκρίνατο οὐαί μοι τῷ ἁμαρτωλῷ τῷ ἐπιπλάστου
μοναχοῦ ὄνομα ἐπικομιζομένου· εἶδον ἠλίαν· εἶδον ἰωάννην ἐν τῇ
ἐρήμῳ· καὶ ἀληθῶς ἐν τῷ παραδείσῳ παῦλον εἶδον· καὶ οὕτως τὸ στόμα τι-
μήσας κόψας τὴν χεῖρα ἀπὸ τὸ στῆθος πλήττων· ἐκ τοῦ μοναστηρίου τὴν πόλιν προ-

ἐκόμιζεν· παρακαλούντων τῶν μαθητῶν τελεώτερον· περὶ τοῦ πράγματος ἀναδιδα-
χθῆναι ἔφη ὁ Ἀντώνιος· καιρὸς τοῦ λέγειν καὶ καιρὸς τοῦ σιωπᾶν· καὶ ἐξελθὼν ἔξω· καὶ
οὔτε τὸ βραχύτατον τροφῆς μεταλαβὼν· ἐπὶ τὴν ὁδὸν ἔξεισιν· καὶ ἐπιπόθως ἐκεῖνον
διψῶν ἐκεῖνον καθ' ὁδὸν ἐπιθυμῶν· ἐκεῖνον ὀφθαλμοῖς καὶ διανοίᾳ ἀσπαζόμενος·
ὑφορᾶτο γὰρ μὴ ἀπόντος αὐτοῦ· τὴν ὀφειλὴν ἀποδῷ τῷ κυρίῳ τοῦ πνεύματος· ἐπειδὰν
οὖν ἡμέρας δευτέρας ἐπιγενομένης περὶ τρίτην ὥραν ἴδεν κατὰ τὴν ὁδὸν ἀγγέλων τάγ-
ματα· καὶ προφητῶν ἀποστόλων χοροὺς· ἐν μέσοις χιόνι λαμπρότητι τὸν Παῦλον ἀναβαίνοντα·
καὶ ἐν τοῖς ὑψώμασιν ἀνερχόμενον· εὐθέως οὖν ὁ Ἀντώνιος ἐπὶ γῆς πεσὼν·
ψάμμον τε ἐπὶ τὴν κεφαλὴν πασάμενος· κλαίων καὶ στένων ἔλεγεν· διατί με
Παῦλε κατέλιπες· διατί ἀπέρχῃ μὴ ὑπ' ἐμοῦ τὸν τελευταῖον ἀσπασμὸν δε-
ξάμενος· διηγεῖτο γὰρ μετὰ ταῦτα ὁ μακάριος Ἀντώνιος· τοσαύτῃ ταχύ-
τητι τὸ ὑπόλοιπον τῆς ὁδοῦ διηνυκέναι· ὡς μὴ κοῦφον κρίνεσθαι πτηνοφορμέ-
ον τὴν ὑπ' αὐτοῦ γενομένην ὁδοιπορίαν· καὶ γὰρ εἰσελθὼν εἰς τὸ σπήλαιον· ὁρᾷ
ἐπὶ γόνατα τὸν μακάριον· ἄνωθεν τε ἔχοντα τὸν αὐχένα καὶ τὰς χεῖρας διαπεπτα-
μένας· καὶ πρῶτον αὐτὸν προσεδόκα ἔτι ζῆν· διὸ καὶ συνηύχετο· ἐξ οὐδε-
νὸς δὲ στεναγμὸν κατὰ τὸ ἔθος τοῦ εὐχομένου ἤκουσεν· συνῆκεν ὅτι τὸ σῶμα
τοῦ θεοῦ τὴν προσκύνησιν προσήκει τῷ πάντα ζῆν· ὅθεν ἐντυλίξας αὐτὸ
καὶ προκομίσας τὸ σκήνωμα κατὰ τὸ ἔθος· μετὰ ὕμνων καὶ ψαλμῶν κατὰ
τὴν παράδοσιν τῆς Χριστιανικῆς θρησκείας· περίλυπος ὑπῆρχεν ὁ Ἀν-
τώνιος· ὅτι οὐκ ἦν ἐπικομισάμενος σκαλίδιον ἐν ᾧ οἷόν τε ἦν ὀρύξαν-
τα τὴν γῆν καταθέσθαι· ἀπορῶν οὖν καὶ πολλὰ διαλογιζόμενος ἔφασκεν πρὸς
ἑαυτόν· εἰ βουληθείην αὖθις ἐπὶ τὸ μοναστήριον ἐπανελθεῖν· μὴ ἐπαρκεῖν τεσσάρων
ἡμερῶν δρόμον περὶ τὴν ὁδὸν ἔλεγεν· ἀποθανοῦμαι κἀγὼ ὡς ἔστιν δίκαιον
ἐνταῦθα τοῦ ἱκετεύοντος σου Χριστέ· καὶ ταῦτα αὐτοῦ διαλογιζομένου ἰδοὺ δύο λέοντες· ἐ-
κ τῆς ἐσωτάτης ἐρήμου ἐπὶ τὸ αὐτὸ τρέχοντες· οὓς θεασάμενος ὁ Ἀντώνιος
πρῶτον μὲν ἔφριξεν· μετὰ ταῦτα δὲ πρὸς τὸν θεὸν τὴν διάνοιαν ἐπαναβὰς
ὡς περιστερὰς αὐτοὺς ὁρῶν ἀτρεμὴς διέμεινεν· κἀκεῖνοι τὴν εὐθεῖαν τῆς
ὁδοῦ διανύοντες πρὸς τὸ σκήνωμα ἔστησαν τοῦ μακαρίου γέροντος· ταῖς τε
οὐραῖς κολακεύοντες περὶ τοὺς πόδας αὐτοῦ ἀνέπεσαν βρυχώμενοι σφοδρῶς
ὁμοῦ· ὡς ἐννοεῖν τὸν μακάριον Ἀντώνιον ἀποδύρεσθαι τοὺς θῆρας ἐπὶ

τῆς ἀναπαύσεως τοῦ μακαρίου Παύλου· ἔπειτα ἤρξαντο τὴν γῆν τοῖς ποσὶν παραλύειν· τὴν τε ψάμμον ἀποθούμενοι· ἐν ὅσῳ ἀνθρώπου τόπον κατώρυξαν· καὶ εὐθέως τοῦ κόπου αὐτῶν τὸν μισθὸν ἀπολαβεῖν βουλόμενοι· κινήσαντες τῶν ὤμων τὴν κεφαλὴν καὶ κατανεύσαντες πρὸς τὸν Ἀντώνιον παραγενόμενοι τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας τῇ γλώσσῃ κατέλειχον· ὡς κἀκεῖνον νοῆσαι τοὺς θῆρας τὴν εὐλογίαν παρ᾽ αὐτοῦ ζητεῖν· διὸ καὶ ἀναμφιβόλως πρὸς δόξαν θεοῦ συγχυθεὶς ὅτιπερ καὶ ἡ ἄλογος φύσις τὰ βέλτιστα ἐννοεῖ· ηὔξατο λέγων· κ(ύρι)ε· οὗ τῆς βουλῆς ἄνευ· οὔτε φύλλον ἀπὸ δένδρου πίπτει· οὔτε ἐκ τῶν πετεινῶν εἰς τὴν γῆν καταφέρεται· δὸς αὐτοῖς ὡς οἶδας καὶ τῇ χειρὶ ἐλέει πιμάσων· ἀπελθεῖν προσέταξεν· καὶ μετὰ τὸ ἀναχωρῆσαι αὐτούς· τὸ ἅγιον σῶμα βαστάσας κατέθετο κατὰ τὸ εἰωθός· ἔπειτα μεθημέραν γενόμενος κληρονόμος· τό τι χάρισμα αὐτοῦ ἐπικομίζεται· ὅνπερ ὁ μακάριος Παῦλος ἑαυτῷ ἦν ἐκ βαΐων φοινίκων κατασκευάσας· καὶ παραγενόμενος ἐν τῷ ἰδίῳ μοναστηρίῳ· ἅπαντα κατὰ ἀκολουθίαν τοῖς ἰδίοις διηγήσατο μαθηταῖς· καὶ κατὰ τὴν τοῦ πάσχα καὶ τῆς πεντηκοστῆς ἀεὶ τὸν Παύλου χιτῶνα ἐνεδιδύσκετο· ἱκετεύω τοιγαροῦν ἅπαντας τοὺς ἀναγινώσκοντας· ἱερῶν μνήμην τοῦ ἁμαρτωλοῦ μεμνῆσθαι σε ἔχειν· ὃς θ(εο)ῦ βουλήσει βούλομαι τὸν χιτῶνα Παύλου μετὰ τῆς πίστεως αὐτοῦ· ὑπὲρ τῶν βασιλέων πορφύραν μετὰ τῆς ἀξίας αὐτῶν :

Περὶ τοῦ ταξεώτου

Ἐν τοῖς χρόνοις Μαυρικίου τοῦ περικλύτου ἐν Καρθαγένῃ τῆς Ἀφρικῆς· γέγονέν τις τούτων ταξεώτης τις ὑπάρχων ἐν τῷ πραιτωρίῳ ἐν πολλαῖς ἁμαρτίαις διάγων· οὗτος θανατικοῦ μεγάλου καταλαβόντος τὴν Καρθαγένην· μετὰ καὶ ἑτέρων ἐξῆλθεν ἰδιάζειν ἐν μιᾷ κώμῃ πρὸ ἄστεως τῆς πόλεως· λαβὼν μεθ᾽ ἑαυτοῦ καὶ τὴν ἑαυτοῦ γυναῖκα· ὁ οὖν ἀφθόνως τὴν ἀπώλειαν τῶν ἀνθρώπων βουλόμενος· ἔρριψεν κἀκεῖ τὸν ταξεώτην εἰς μοιχείαν· εἰς τὴν γυναῖκα τοῦ γεωργοῦ τοῦ οἰκοῦντος ἐν τῷ προαστείῳ· καὶ μεθ᾽ ἡμέρας τινὰς τοῦ πεσεῖν αὐτόν· κρουσθεὶς ὑπὸ βουβῶνος ἐτελεύτησεν· μοναστήριον οὖν ὑπῆρχεν ἀπὸ ἓν ὡς μιλίου τοῦ προαστείου· ἐν ᾧ ἀπελθοῦσα ἡ γυνὴ αὐτοῦ· παρεκάλεσε τοὺς μοναχοὺς· ἐλθόντας θάψαι αὐτὸν ἐν τῇ ἐκκλησίᾳ· καὶ δὴ ἐν ὥρᾳ τρίτῃ· ψαλλόντων οὖν αὐτῶν τὴν ἐννάτην ὥραν· ἀκούουσι φωνῆς ἀπὸ βάθους βοὴν λεγούσης· ἐλεήσατε ἐλεήσατε· καὶ ἀκολουθήσαντες οὖν κατὰ τὸν ἦχον τῆς βοῆς· ἦλθον πάλιν ἐν τῷ τάφῳ· ἀνοίξαντες δὲ εὗρον τὸν

φιλ... β. χ...

ταξέως τὴν βοῶντα· καὶ σωπτομένως ἐμέ ἐγκαυτῶν· καὶ τὰς σινδόνας καὶ τὰς κηρεῖ-
διαλύσαντες· ὡς πρὸς τὸν μαθητὴν τὸν ὀρφανθέντα καὶ συμβεβηκότα αὐτῷ· ὁ δὲ μὴ
δυνάμενος ἐκ τοῦ πλήθους τῶν οἰμωγῶν διηγήσασθαι· παρεκάλεσεν αὐτοὺς
ἀπαγαγεῖν πρὸς τὸν μέγαν Θαλάσσιον τὸν πᾶσαν τὴν Ἀφρικὴν κατακοσμήσαντα·
ὡς οὖν ἀπήγαγον αὐτὸν καὶ διηγήσαντο αὐτῷ τὰ περὶ τὸν ἄνδρα· ἐπὶ τρεῖς ἡμέρας
περιέτρεπεν αὐτὸν διηγήσασθαι τὸ ὀρφανθέν αὐτῷ· ὁ δὲ οὐκ ἐδύνατο λαλῆσαι.
μόλις οὖν ποτε τῇ τετάρτῃ ἡμέρᾳ ἐδυνήθη ὀρθῶσαι τὴν γλῶσσαν αὐτοῦ ἐκ τοῦ πλή-
θους τῶν ὀδυρμῶν· καὶ διηγούμενος ἐν πικροῖς δάκρυσιν ἔλεγεν· ἐν τῷ ὅτε ἦλθον τελευ-
τῆσαι· ἐθεώρουν τινὰς αἰθίοπας παρισταμένους μοι· ὧν καὶ αὐτὴ μόνη ἡ θέα
χαλεπωτέρα ὑπῆρχεν πάσης κολάσεως· οὕστινας ὁρῶσα ἡ ψυχὴ ταράττεται καὶ
συστέλλεται πρὸς ἑαυτήν· ἐν ὅσῳ οὖν παρίσταντό μοι· ἰδοὺ θεωρῶ δύο νεανίσκους
ἐλθόντας· καὶ ὡς μόνον ἐθεάσατο αὐτοὺς ἡ ψυχή μου· ἐπήδησε δὲ τὴν χεῖρ
αὐτῶν· καὶ εὐθέως ἀπὸ τῆς γῆς ὥσπερ ἐπτάμενοι ἀνηρχόμεθα ὑψούμενοι καὶ τὸν
ἀέρα παρερχόμενοι· καὶ ἀνερχομένων ἡμῶν· εὑρίσκομεν τελώνια
φυλάττοντα τὴν ὁδόν· καὶ κρατοῦντα καὶ διακωλύοντα τοὺς ἀναβαίνοντας
καὶ λογοθετοῦντας τὸν ἄνθρωπον· ἕκαστον τελώνιον τὴν οἰκείαν ἁμαρτίαν· τὸ μὲν
τοῦ ψεύδους· ἄλλο τοῦ φθόνου ἄλλο τῆς ὑπερηφανείας· καὶ ἁπλῶς οὕτως καθεξῆς ἕκα-
στον πάθος ἰδίους τελωνάρχας καὶ φορολόγους ἔχει ἐν τῷ ἀέρι· ὅπερ δὲ ἐκράτου-
μεν ὑπὸ τινῶν ἐξ αὐτῶν· ἐθεώρουν τοὺς δὴ κρατοῦντάς με βαστάζοντας ὡς ἐν βαλλαντί-
τινι πάντα τὰ ἔργα μου τὰ ἀγαθά· καὶ ἐξ αὐτοῦ ἐκφέροντας· καὶ ἀντισταθμίζοντας
τοῖς πονηροῖς ἔργοις· οἷς προσέφερον τὰ τελώνια τοῦ ἀέρος· ἐκδαπανηθέντων
οὖν πάντων τῶν καλῶν μου ἔργων· φθάσαντες ἄνω πλησίον τῆς πύλης τοῦ οὐρανοῦ· τὸ
τελώνιον τῆς πορνείας ἱστάμενον· καὶ διεκράτησάν τέως με· προσέφερον πᾶσαν μου
πορνείαν καὶ σωματικὴν ἁμαρτίαν ἣν ἔπραξα ἀπὸ δωδεκαετοῦς καὶ ἐνταῦθα
ἄνω· λέγουσι μὲν οὖν οἱ ὁδηγοῦντές με· πάντα τὰ ὅσα ἡμάρτηκεν ἐν τῇ πόλει σωματικὰ
ἁμαρτήματα· συνεχώρησεν αὐτῷ ὁ θεός· ἰδίας γὰρ ἑαυτῶν καὶ ἀνεχώρησεν
τῆς πόλεως· λέγουσι πρὸς αὐτοὺς οἱ κατήγοροί μου· καὶ μετὰ τὸ ἀναχωρῆ-
σαι τῆς πόλεως· ἔπεσεν μετὰ μοιχείαν μετὰ τῆς γυναικὸς τοῦ γεωργοῦ· ὡς οὖν τοῦτο
ἤκουσαν οἱ ἄγγελοι· οὐχ εὑρόντες τι ἀνθιστᾶσαι ἀγαθὸν μου ἔργον· ἀφέντες δὲ
με ἀνεχώρησαν· ἐλοιπὸν παραλαβόντες με οἱ αἰθίοπες ἔκλειόν με καὶ τύπτο-

πέσῃ με καὶ ἀπήγαγόν με εἰς τὴν γῆν· καὶ διαχαραχθείσης τῆς γῆς· κατήλθομεν διὰ πολλῶν στενῶν
καὶ σκοτεινῶν τόπων ὡς καλαμίων ὁδὸν ἕως τῶν καταχθονίων ἐν τοῖς
δεσμωτηρίοις τοῦ ᾅδου· ἔνθα εἰσὶν αἱ ἀπ' αἰῶνος κεκλεισμέναι ψυχαὶ τῶν ἁμαρτωλῶν
εἰς τὸ σκότος τὸ αἰώνιον ὥς φησιν Ἰώβ· οὗ οὐκ ἔστιν φέγγος οὐδὲ ζωὴ βροτῶν· ἀλ-
λ' ὀδύνη αἰώνιος· λύπη ἀκατάπαυστος· καὶ κλαυθμὸς ἀτελεύτητος· καὶ βρυγμὸς
ἀσίγητος· ἐκεῖ οὐαὶ διαπαντὸς λέγουσιν· καὶ οἴμοι κραυγάζουσιν· οὐκ ἔστιν διη-
γήσασθαι τὴν ἀνάγκην τὴν ἐκεῖ· οὐδὲ ἐφικτὸν διὰ γλώσσης τὰς ὀδύνας αὐτῶν·
ἀδύνατον γὰρ στόματι ἀνθρώπου φανερῶσαι τὸν φόβον καὶ τὸν τρόμον αὐτῶν· οὐκ ἔστι
δι' ἀγγέλων ἐφικτὸν τὴν περίστασιν καὶ τὸν κλαυθμὸν αὐτῶν· στενάζουσιν ἐξ ὀνύ-
χων· ἀλλ' οὐδεὶς ὁ ἐλεῶν· κράζουσιν ἀλλ' οὐδεὶς ὁ ἀκούων· ὀδύρονται ἀλλ' οὐ-
δεὶς ὁ ῥυόμενος· ἀνακαλοῦνται καὶ κόπτονται ἀλλ' οὐδεὶς ὁ βοηθῶν· μεθ' ὧν ἐγὼ συγ-
κατακλεισθεὶς· καὶ ἐν στενοῖς καὶ σκοτεινοῖς ἀπορηθεὶς ἔμενον ὀδυρόμενος·
καὶ συνεχόμενος ἀπὸ ὥρας τρίτης ἕως ὥρας ἐννάτης· καὶ περὶ τὴν ἐν-
νάτην ὥραν· ὁρῶ τοὺς δύο ἀγγέλους ἐλθόντας ἐκεῖ· καὶ ἠρξάμην δυσωπεῖν
αὐτοὺς ἐξαγαγεῖν με ἐκ τῆς ἀνάγκης ταύτης· ὅπως μετανοήσω τῷ θεῷ· οἱ δὲ
ἀποκριθέντες λέγουσιν· μάτην παρακαλεῖς· οὐδεὶς γὰρ τῶν ἐνταῦθα ἀπ-
ειργομένων· ἐξέρχεται ἢ ἀπολύεται ἕως τῆς ἀναστάσεως· ἐπιμένοντος
δέ μου παρακαλοῦντος καὶ πολλὰ δεομένου καὶ μετανοεῖν γνησίως ὑπισχνου-
μένου· λέγει ὁ εἷς πρὸς τὸν ἕτερον· ἀντιφωνεῖς αὐτὸν ὅτι γνησίως μετανοεῖ τῷ
θεῷ· ἀπεκρίθη ὁ ἄλλος λέγων· ἀντιφωνῶ· καὶ ὡς ἂν ἐθεώρησα ὅτι δέδωκε
αὐτῷ δεξιὰν ὁ ἀντιφωνητής· καὶ τότε λαβόντες με ἀνήγαγόν με ἐν τῇ γῇ ἐν
τῷ τάφῳ μου πρὸς τὸ σῶμά μου· καὶ λέγουσίν μοι· εἴσελθε ὅθεν ἐχωρίσθης·
καὶ ἐθεώρουν τὴν ἰδίαν φύσιν· ὥσπερ μαργαρίτην κρυστάλλου ἀπαστράπτου-
σαν· τὴν δὲ νεκρὰν τοῦ σώματος ἰδέαν· ὥσπερ βόρβορον πηλὸν ζοφε-
ράν· καὶ ἐδυσχέραινον καὶ ἀηδῶς εἶχον εἰσελθεῖν δὲ αὐτῷ· καὶ λέγουσιν πρός με·
ἀδύνατόν σε μετανοῆσαι· εἰ μὴ διὰ τοῦ σώματος ἐν ᾧ ἥμαρτες· πάλιν οὖν
παρεκάλουν· τοῦ μὴ εἰσελθεῖν με ἐν αὐτῷ· τότε λέγουσίν μοι· πείσθητι εἰσελ-
θεῖν εἰς τὸ σῶμά σου· ἢ ἀποφέρομέν σε ὅθεν ἠγάγομέν σε· λοιπὸν εἰσελθεῖν
με καὶ ἄλλους ὠφελῆσαι ἐφ' οἷς ἑώρακας καὶ ἔπαθες· τότε συνιδὼν ἐμαυτὸν
ὅτι εἰσῆλθον διὰ τοῦ στόματός μου εἰς τὸ σῶμά μου· καὶ εὐθέως ἠρξάμην

κράζων· ἐλέησόν με. παρεκάλει οὖν αὐτὸν ὁ μέγας Θαλάσσιος γεύσασθαι τροφῆς καὶ οὐκ ἀπεδέξατο· ἀλλὰ μόνον ἀπὸ τόπου εἰς τόπον ἐν τῇ ἐκκλησίᾳ καταρρίπτων ἑαυτὸν ἐπὶ πρόσωπον καὶ ἐξομολογούμενος τῷ θεῷ ἐν στεναγμοῖς καὶ δάκρυσιν διετέλει λέγων· οὐαὶ τοῖς ἁμαρτάνουσιν καὶ τῇ κολάσει τῇ μενούσῃ αὐτούς· οὐαὶ τοῖς καταμιαίνουσιν τὸ ἴδιον σῶμα· οὐαὶ τοῖς μὴ μετανοοῦσιν ὅσον ἔτι ἔχουσιν καιρόν. ποιήσας οὖν οὕτως ἡμέρας τεσσαράκοντα· ἀπῆλθεν καθαρῶς πρὸς Κύριον· προγνοὺς πρὸ τριῶν ἡμερῶν τὴν ἰδίαν τελευτήν. οἱ οὖν πορευθέντες καὶ ἑωρακότες τῶν ἀξιοπίστων πατέρων· αὐτοὶ ἡμῖν διηγήσαντο τοῦ ὠφελείας χάριν:

Περὶ τοῦ Φιλεντόλου Ὀλυμπίου.

Ἐπὶ τοῦ ἐν ἁγίοις Ἀρκαδίου τοῦ ἐπισκόπου γέγονέν τις Φιλέντολος ἐν τῇ Κωνσταντίᾳ λεγόμενος ὁ τοῦ Ὀλυμπίου· πολλὰ χρήματα δὲ εἰς πτωχοὺς καὶ ὀρφανοὺς καὶ διασπάσας ἀλλ' ἡ μὲν εὐσέβεια ἀνασκορπίσασα· καὶ ἁπλῶς πᾶσαν αὐτοῦ τὴν πρόσοδον ἔκ τε τῆς θαλάττης καὶ πραγματείας καὶ χωρίων καὶ πλοίων· διὰ εὐσεβείας χρείας καταναλίσκων. ἐξ ἐνεργείας δὲ τοῦ μισοκάλου εἶχεν τὸ πάθος τῆς πορνείας· διὰ τῆς ἐργασίας οὖν ἐλθὼν ἐτελεύτησεν μήποτε τῆς ἐλεημοσύνης παυσάμενος· μήτε τῆς ἁμαρτίας ἀποκόψας. πολλὴ οὖν ἀπορία αὐτοῦ γέγονεν παρὰ τοῖς ἐπισκόποις καὶ τοῦ ἀρχιεπισκόπου ζήτησίς τε καὶ ἀμφίλεξις· τῶν μὲν λεγόντων ὅτι ἐσώθη· εἴρηται γὰρ ὅτι ἐλεημοσύνη ἀνδρὸς καλύψει πλῆθος ἁμαρτιῶν· τῶν δὲ ἀντιλεγόντων ὅτι γέγραπται ἐν τῷ προφήτῃ Ἰεζεκιήλ· ὅτι ἐν ᾧ ἂν εὕρω σε ἐν τούτῳ καὶ κρινῶ σε. καὶ πῶς δυνατὸν σωθῆναι τὸν μὴ ἀφιστάμενον τῆς ἁμαρτίας ἕως θανάτου. πολλῶν μὲν οὖν λεχθέντων· Κύριος τὰ κρυπτὰ ἀνακαλύπτων τῷ ἀρχιεπισκόπῳ· δηλώσας εἰς τὰ μοναστήρια καὶ περὶ τούτου εὐχὰς καὶ ἐκκλησίαις δεηθῆναι αὐτοῦ τὸν θεὸν πληροφορῆσαι διὰ ἀποκαλύψεως τινός· ἐν ποίαις τάξεσι κατὰ τὸν τελευτήσαντα ὑπάρχουσιν· καὶ τούτου γενομένου· ἀπεκάλυψεν ὁ θεὸς τῷ δούλῳ αὐτοῦ ἀββᾷ Κυριακῷ ἐγκεκλεισμένῳ εἰς ἀναχώρησιν· ἀνδρὶ ἐναρέτῳ καὶ ἐπὶ χρόνοις πολλοῖς ἐν τῷ κόλπῳ τοῦ ἁγίου Ἀντωνίου τοῦ ὄρους τοῦ κλήματος τῆς Ἐρυθρᾶς θαλάσσης διατρίψαντι· καὶ μεταστειλάμενος τὸν ὅσιον Ἀρκάδιον καὶ τοὺς σὺν αὐτῷ ἐπισκόπους· διηγήσατο αὐτοῖς λέγων· ἐθεώρησα μετὰ τὴν ὑμνῳδίαν καὶ ταύτης ὡς ἐν ἐκστάσει τόπον τινά· δεξιὰν μὲν ἔχοντα παράδεισον· ἀδιήγητον κάλλος περιέχοντα· ἐξ εὐωνύμων δὲ κάμι

μὸν πυρὸς ὑπὲρ ἑπταπλασίονα ἡ φλὸξ ἐξέφθανεν ἕως τῶν ... καὶ τὸν τε-
λευτήσαντα ἱστάμενον μέσον ἀμφοτέρων· καὶ ἀπελθόντα πρὸς τὸν παρά-
δεισον καὶ στενάζοντα· ὑπὸ τοῦ στεναγμοῦ αὐτοῦ· ὁ ἐφεστηκὼς ἄγγελος ... φέρων
ἐστάναι καὶ λέγοντα πρὸς αὐτόν· μάτην στενάζεις· οὐ πολλάκις σε ἐνου-
θέτουν λέγοντες παῦσαι τῆς πορνείας· ἰδοὺ διὰ μὲν τῆς ἐλεημοσύνης· ἐλυ-
τρώθης τῆς γεέννης· διὰ δὲ τὸ μὴ ἀποστῆναι τῆς πορνείας· ἐστερήθης τῆς χα-
ρᾶς τοῦ παραδείσου· ἀκούσατε τοίνυν οἱ λέγοντες· ὅτι κἂν πορνεύω
δίδω ἐλεημοσύνην καὶ σώζομαι· ἀληθὴς ἐλεημοσύνη ἐστὶν ἵνα πρὸ πάντων
ἑαυτὸν ἐλεήσῃς· ὅτι πᾶσα ἁμαρτία ἣν ἂν ποιήσῃ ἄνθρωπος· ἐκτὸς τοῦ σώ-
ματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει· τί ἐστιν δὲ τὸ
ἴδιον σῶμα· ὅτι ἐξ αὐτῆς τῆς οὐσίας τῆς σαρκός σου· ὥσπερ θυσίαν τινὰ
προσάγεις τῷ διαβόλῳ· τὴν δὲ πορνείαν ἐκφερομένην ἀπὸ ... καὶ ἐπιμο-
... ὅτι εἴθε κἂν ἀπολαύσωμεν ... τῆς κολάσεως καθάπερ κἀκεῖνος καὶ με-
γάλοι ἐστίν, τί λέγεις ἄνθρωπε· μέγα σοι παρέχει τὸ στερηθῆναι πυρός· ἐγὼ λέγω ὅ-
τι χαλεπώτερον ὑπάρχει μᾶλλον τὸ στερηθῆναι τῆς βασιλείας τῶν οὐρανῶν·
ὑπὲρ μυρίας καὶ μυρίας κολάσεις· τί γὰρ τούτου ἐλεεινότερον τοῦ ... αἰω-
νίως στερηθῆναι τοῦ θεοῦ· ὁ θεὸς φῶς ἐστιν· ὁ δὲ στερούμενος τοῦ φω-
τός· ἐν σκοτίᾳ πάντως εὑρίσκεται· ... λέγει ὅτι ἀρκεῖ σοι ἀπαλλαγῆναι
τῆς γεέννης· τάχα γὰρ καὶ ... τῶν αἱρέσεων· ὅσα ἂν ἁμαρ-
τήματα λυτροῦνται τῆς γεέννης· ἀλλὰ εἰς βασιλείαν οὐρανῶν οὐκ εἰσέρχονται·
λοιπὸν μὴ θέλετε τούτοις εἶναι παραπλήσιοι· ἀλλ' ἀπὸ τῆς ἁμαρτίας ἀπό-
στηθι· ἄκουσον τοῦ χριστοῦ διὰ στόματος παύλου λέγοντος· μὴ πλανᾶσθε·
οὔτε πόρνοι· οὔτε μοιχοί· οὔτ' ἀρσενοκοῖται· οἱ πλεονέκται· οὐ λοίδοροι·
οὐ μέθυσοι· βασιλείαν θεοῦ κληρονομήσουσιν· καὶ ἐν τῷ εὐαγγελίῳ ὁ χριστὸς λέγων·
ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν· λοιπὸν
οὖν εἰρ... ἀπέχεστον
... σοὶ χάρις· ὁ ...
... τον

κμ· — κγ ...

[illegible marginalia]

Διηγήματα καὶ νουθεσίαι ὁσίων πατέρων κατανύξεως.

Διηγήσαντο ἡμῖν τινὲς ἀδελφοί· παραβάλλουσιν ἡμῖν εἰς ἔρημον θου· ὅτι ἦν τις πέ
ρ[illegible] ἐρημικός· καθήμενος εἰς τὰ πλησίον μέρη τοῦ λεγομένου τ[illegible]· καὶ τοιαύτην
μὲν τὴν ἀρχὴν μόνος τῶν γερόντων· ὥστε σχεδὸν καὶ ἀβίβαστον εἶναι· ὁ πᾶσι
δὲ ἀπετείχετο καὶ ἐπεσκέπτετο τὸν λογισμὸν αὐτοῦ καὶ ἔκρυπτεν αὐτόν· γενναῖε ἀ
δελφὲ πῶς ἔστησεν· καὶ ἐὰν μὲν εὕρισκε τὸν νοῦν αὐτοῦ ἢ ἀσχολούμενον ἢ δεχόμε
νον· ἀφιεὶς καλῶς· ἐὰν δὲ εὕρισκεν αὐτὸν ἄλλο τι [illegible] πεπραγματευμένον λογιζό
μενον· εὐθέως ἤρχιζεν ἑαυτὸν λέγων· διατί θέλεις κατὰ κεφαλῆς εἰς τὸ ἔργον σοῦ
οὕτως δὲ ἀεὶ πρὸς ἑαυτὸν πάντοτε ἔλεγεν· ὁ ἐ[illegible]φην· ἀδελφὲ ἐπίστρεφε τοῦ ἀ
πελθεῖν· καὶ ἀκμὴν οὐ θεωρεῖς εἰς τὸν μισθόν· τοῦτο ποτὲ ἐφάνη ὅσα παραμαστ
καὶ λέγει αὐτῷ· τί κοπιᾷς· πίστευσον οὐ [illegible]ξεσαι· λέγει αὐτῷ καὶ αὐτός· οὐ μέλλω
ὅτε καὶ οὕτως· πρὸς ἐπάνω τῆς κεφαλῆς σου ἀρκεῖ καὶ κολάζομενος· καὶ ὑποκά
τω πάλιν εἰς τὴν κόλασιν· τοῦτο πάλιν ὁ γέρων ἀδελφὸς φαραῶ τῆς ὁμόνοια
πιαρεθος· ἀμελέστερος μικρὸν ἐν τῷ μοναχικῷ ὑπάρχων· τούτου μέλλον
τι αὐτοῦ θνήσκειν· παρεκάθητο τις τῶν πατέρων· καὶ θεωρῶν αὐτὸν ὁ γέρων
ἱλαρῶς καὶ μετὰ χαρᾶς ἐκδημοῦντα τοῦ σώματος· καὶ βουλόμενος οἰκοδομῆ
σαι τοὺς ἀδελφούς· λέγει αὐτῷ· ἀδελφέ πίστευσον πάντες τιμίως καὶ μὲν
ὅτι οὐ πάνυ σπουδαῖος ἐγένου εἰς τὴν ἄσκησιν· καὶ πόθεν οὕτω πορεύῃ προ
θύμως· καὶ λέγει ὁ ἀδελφός· πίστευσον γέρον ὅτι ἀληθὲς ἀνέλεγες· πλὴν ἀ
φ᾽ ἧς ἐγενόμην μοναχός· οὐκ οἶδα ὅτι ἔκρινα ἄνθρωπον· ἀλλ᾽ οὐδὲ ἐμνησικά
κησα· ἀλλὰ βίου τοῦ αὐτοῦ [illegible]ρα διηλλάσσομεν αὐτόν· καὶ βούλομαι ἀπαντῆσαι τῷ
θεῷ· ὡς ἔφησας [illegible] μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε· ἀφίετε καὶ ἀφεθήσεται
ὑμῖν· [illegible] ἐποικοδομηθέντων· λέγει αὐτῷ ὁ γέρων· εἰρήνη σοι τέκνον· σὺ
[illegible] χωρὶς κόπου ἐσώθης· αὕτη δὲ ἦν ἡ συνήθεια καὶ ἐργασία τοῦ μεγάλου γέροντος
καθήμενος πάντοτε ἐν τῷ κελλίῳ αὐτοῦ· σιωπῶν εἰς τὴν ἡμέραν ἅπαξ· καὶ τὴν κε
φαλὴν ἐβάσταζε σίων· ἔλεγε μὲν μετὰ στεναγμοῦ· ἁμαρτήσομαι· καὶ πάλιν σιω
πῶν ὡς μίαν ὥραν καὶ ἐργαζόμενος τὴν σειρὰν· κινῶν δὲ τὴν κεφαλὴν ἀπ
αὐτῶς ἔλεγεν παράγομαι· καὶ οὕτως διετέλεσε πάσας τὰς ἡμέρας αὐτοῦ· μέ

✝ φίλλα κα· ημισυ

εἰ μὴ ὥρα· διὰ τὴν ἑαυτοῦ ἔξοδον. τοῦτον παρέβαλεν ἀδελφὸς αὐτῷ πικρῶς πο-
λεμούμενος εἰς πορνείαν· καὶ παρεκάλεσε τὸν γέροντα εὔξασθαι ὑπὲρ
αὐτοῦ· ἵνα κουφισθῇ ὁ πόλεμος αὐτοῦ. ἐπεὶ δὲ ἐπέμενεν ὁ γέρων καὶ παρεκάλε-
σεν τὸν θεὸν ὑπὲρ αὐτοῦ ἐπὶ ἡμέρας ἑπτά· τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ ἠρώτησε τὸν
ἀδελφόν· πῶς ὁ πόλεμος ἀδελφέ· λέγει αὐτῷ ἐκεῖνος· κακῶς· φησὶν ὅλως·
οὐκ ᾐσθόμην κουφισμοῦ. ὁ οὖν γέρων ἐξεπλάγη· καὶ ἰδοὺ φαίνεται αὐτῷ ὁ σατα-
νᾶς τὴν νύκτα καὶ λέγει αὐτῷ· πίστευσον γέρων ὅτι ἀπὸ πρώτης ἡμέρας ὅ-
τε ἐδεήθης τοῦ θεοῦ ἀνεχώρησα ἐξ αὐτοῦ· ἀλλ᾽ ἴδιον δαίμονα ἔχει ἐκ τῆς
γουλίας αὐτοῦ· ἐπεὶ εἰς τὸ πρᾶγμα οὐκ ἔχω εἰς τὸν πόλεμον αὐτοῦ· ἀλλ᾽ αὐτὸς
ἑαυτὸν πολεμεῖ· τρώγων καὶ κοιμώμενος πολλά. εἶπεν πάλιν ὁ
γέρων· ὅτι ὀφθαλμὸς μοναχοῦ ὅπερ ἐστὶ μετὰ ἀδελφῶν· πάντοτε ἔχει
τὸ προσέχειν εἰς τὴν γῆν· καὶ μὴ προσέχειν εἰς πρόσωπον ἀνθρώπου ὅλως·
καὶ μάλιστα νεωτέρου. ὅτι δὲ πάλιν ἐστὶν καὶ ἄλλο μόνας· ἀλλ᾽ ὡς πάντοτε ἵ-
μα προσέχῃ· πολλοὶ γὰρ θλίβονται καὶ φοβοῦνται οἱ δαίμονες·
ὅταν προσέχομεν ἀνθρώπῳ προσκυνῆ·

Παρεβάλομεν ἡμεῖς ἐκ ἀνόπων ἐν Ἀλεξανδρείᾳ· ἀπὸ δεκαμιλίου τῆς
πόλεως· καὶ συνετύχομεν τῷ ἀββᾷ Θεοδώρῳ ἀνθρώπῳ ἀσκητῇ· καὶ χα-
ρισμα ὑπομονῆς ἔχοντι. οὗτος διηγήσατο ἡμῖν· ὅτι ἦν τις ἀδελ-
φὸς οἰκῶν εἰς τὰ κελλία· καὶ ἐκέκτητο χάρισμα τῆς κατανύξεως· ὥστε
ἐν μιᾷ τῶν ἡμερῶν καὶ ἀπὸ πόνου καρδίας· ἦλθεν αὐτῷ δακρύων
πλῆθος· καὶ ἰδὼν ὁ ἀδελφὸς ἔλεγεν ἑαυτῷ· ἀληθῶς τοῦτο τὸ σημεῖ-
ον ἐστίν· ὅτι ἔφθασεν ἡ ἡμέρα τοῦ θανάτου μου· καὶ ὡς ταῦτα ἐλογίζετο· ἐ-
πὶ τὰ δάκρυα ἐπληθύνοντο· καὶ ὡς ἔβλεπεν ταῦτα πληθυνόμενα
πάλιν ἔλεγεν· ἀληθῶς ἤγγικεν ὁ καιρός· καὶ καθ᾽ ἡμέραν πλέον καὶ πλέ-
ον ἐδάκρυεν· ὠφεληθέντων δὲ ἡμῶν μεγάλως ἐκ τοῦ διηγήματος τοῦ
γέροντος· ἠρωτήσαμεν αὐτὸν περὶ τῶν δακρύων· πόθεν ἄρα μὲν καὶ
ἀφ᾽ ἑαυτῶν ἔρχονται· ποτὲ δὲ οὐδὲ μετὰ πόνου ἔρχονται. καὶ εἶπεν ὁ
γέρων· τὰ δάκρυα ὅμοιά εἰσιν τῷ χειμῶνι καὶ τῷ ὑετῷ. ὁ δὲ μονα-
χὸς ὥσπερ γεωργὸς ὀφείλει ἀγωνίσασθαι ἐρχομένων ἵνα μὴ ἀπολέσῃ ταῦτα ἔξω
τούτου ποτέ· ἀλλ᾽ εἰσελθεῖν εἰς τὸ σκήνωμα καὶ ποιῆσαι αὐτῷ· λέγω γὰρ ὑ-

μὴν τέκνα· ὅτι πολλάκις εὑρίσκεται μία ἡμέρα ἀβροχίας· προφθάνουσα ὅλον
τὸν ἐνιαυτὸν καὶ σώζουσα ὅλους τοὺς καρπούς· καὶ διὰ τοῦτο ὁ μοναχὸς μὴ ὀ-
κνηλθεῖν· ἀφορμισάμενος καὶ φυλάσσων ἑαυτόν· καὶ ἀσχολούμενος τοῦ
δεηθῆναι τοῦ θεοῦ ἐκτενῶς· οὐ γὰρ οἴδαμεν ἐν ποίᾳ ἡμέρᾳ εἰσακούει ἡμῶν ὁ
θεὸς τὸν κάματον. ἠρώτησα πάλιν τὸν γέροντα λέγοντα· καὶ πῶς φυ-
λάττει ἄνθρωπος τὴν κατάνυξιν περ ὅτι ἔρχεται· ἀπεκρίθη ὁ γέρων· εἶναι
μὴ παραβάλλειν τινὶ τὴν ἡμέραν ἐκείνην ἢ τοῦ χρόνου· καὶ φυλάξαι
τὴν ἑαυτοῦ κοιλίαν καὶ τὴν καρδίαν αὐτοῦ μὴ ἐφάψασθαι τὰ πάθη· ὅτι ὁ λόγος
κλέφ. καὶ σχολάσαι τῇ εὐχῇ καὶ τῇ ἀναγνώσει· πολλὴν ὅτε ἦλθεν ἡμῖν τὸ πέν-
θος αὐτὸ διδάσκει ἡμῖν ταῦτα ποιεῖν ἀφέρον ταύτῳ καὶ τὸν κό-
λον ταῦ αὐτοῦ· καὶ διηγήσατο λέγων· ὅτι οἶδα ἀδελφὸν καθήμενον ἐν
τῷ κελλίῳ ἑαυτοῦ καὶ ἐργαζόμενον τὴν σειράν· καὶ κατερχομένων αὐ-
τοῦ τῶν δακρύων· ἀνίστατο δὲ εἰς εὐχὴν καὶ εὐθέως ἐκωλύοντο· καὶ πά-
λιν καθήμενος ἐκράτει τὴν σειρὰν καὶ συνήγαγεν αὐτοῦ τὸν νοῦν
καὶ εὐθὺς ἤρχοντο· καὶ ἐπὶ ἀναγνώσματος ὁμοίως· ὅτε κατενύγετο εἰ ἐγείρετο
καὶ εὐθέως ἀφίστατο· καὶ ὡς μόνον ἐκράτει τὸ βιβλίον, πάλιν ἤρχοντο.
καὶ τοῦτο εἶπεν ὁ ἀδελφός· ὅτι καλῶς εἶπαν οἱ πατέρες ὅτι τὸ πένθος διδάσ-
καλός ἐστιν· αὐτὸ γὰρ διδάσκει τὸν ἄνθρωπον ὅλα τὰ συμφέροντα αὐτῷ.
διηγήσατο δὲ ἡμῖν καὶ τοῦτο ὁ γέρων· ὅτι περιέφησιν ἐν τῇ ζωῇ αὐτοῦ· ὅτι ἐπι-
τὰ τῆς μονῆς ἡγούμενος ἔφευγε μακρότερα οὖσα ἐρήμου· καὶ καθή-
συχάζειν ἐν μιᾷ ὡς λέγω αὐτῷ· ἀββᾶ· διατί οὕτως ἔφευγες ἐν τοῖς ἐρή-
μοις· ὀγαρμένων πλησίον τοῦ κόσμου· καὶ βλέπων καὶ παραβλέπων
διὰ τὸν θεόν· πολλὰ φορμα μισθὸν ἔχει· καὶ λέγει μοι ὁ γέρων· πίστευσόν μοι τέκνον
ἕως οὗ ἔλθῃ ἄνθρωπος ἐν τῷ μέτρῳ τοῦ Μωϋσέως καὶ γένηται σχεδὸν υἱὸς θεοῦ
οὐκ ὠφελεῖται ἐκ τοῦ κόσμου· ἐγὼ δὲ υἱός τοῦ Ἀδὰμ ὑπάρχω· καὶ ὡς ἄ-
πω ἐπὰν ἴδω τὸν καρπὸν τῆς ἁμαρτίας· εὐθέως ἐπεθυμῶ αὐ-
τὸν καὶ λαμβάνω· καὶ ἐσθίω καὶ ἀποθνήσκω· διὰ τοῦτο οἱ πατέρες ἡμῶν ἐν
ταῖς ἐρήμοις ἔφυγον· καὶ ἐκεῖ ἀπέκτειναν τὴν γαστριμαργίαν· μὴ
εὑρίσκοντες βρώματα γεννῶντα τὰ πάθη.

Ἔλεγον οἱ γέροντες· ὅτι πᾶσα πάλη τοῦ διαβόλου ἐν τοῖς μοναχοῖς ὑ-

περὶ τὰς γυναῖκας καὶ τὰ παιδία εἰσίν. ἀνδρὶ δὲ ἄλλῳ κατὰ ταύτην τὴν ὥραν
μέλλοντι τελευτᾶν· εἶπον γὰρ ὅσα παρὰ σοῦ λέγει αὐτῷ· οὐκ ἐζήλωσάς με· καὶ λέ-
γει ὁ γέρων· οὐκ οἶδα ἀκμήν· ἀλλ' ἐξ ὧν οὐκ ἐμνήσθην ποτὲ καυχᾶσθαι
ἔν τινι πράγματι. εἶπεν ὁ γέρων· ἡ ταπείνωσις πολλάκις καὶ χωρὶς κόπου
ἔσωσεν πολλούς· καὶ μαρτυρεῖ τοῦτο ὁ τελώνης καὶ ὁ ἄσωτος υἱός· ῥήματα μόνον
μικρὰ ἀνέφερον τῷ πρὸς θεὸν καὶ ἐσώθησαν. οἱ κόποι τοῦ ἀνθρώπου ἐὰν μὴ ἔχωσι ταπεί-
νωσιν· ἀπολοῦσιν αὐτόν. πολλοὶ γὰρ διὰ τῶν μεγάλων κόπων ὧν ποι-
οῦσιν· δι' ὑπερηφανίαν ἔρχονται ὡς ὁ φαρισαῖος.
Εἶπεν πάλιν τὸ λαλεῖν περὶ πίστεως καὶ ἀναγινώσκειν δόγματα· ξηραίνουσι τὴν
κατάνυξιν τοῦ ἀνθρώπου καὶ ἐξαλείφουσιν αὐτήν. οἱ δὲ βίοι καὶ λόγοι τῶν γερόντων
φωτίζουσι τὴν ψυχήν. Γέροντί τινι μεγάλῳ συνῴκει ἀδελφὸς ἀμελής. ἑώρα δὲ
καὶ ὁρῶν τὸν γέροντα διὰ τῆς ἑβδομάδος ἅπαξ ἐσθίοντα. λέγει αὐτῷ· ἀββᾶ,
λέγουσί τινες ὅτι ἡ μεγάλη ἄσκησις φέρει τινὰ εἰς ὑπερηφάνειαν. λέγει αὐτῷ
ὁ γέρων· οὐχ οὕτως, τέκνον· ἐὰν διὰ τῆς ἀμελείας ἔρχεται ἡ ταπείνωσις· ἀπελθόν-
τες ἀρώμεθα ἑαυτοῖς καὶ γυναῖκας· καὶ φάγωμεν κρέα· καὶ οἶνον πίωμεν. οὐαὶ ἡμῖν
τέκνα, ὅτι ἐμπαιζόμεθα καὶ οὐκ οἴδαμεν· οὐκ ἤκουσας τοῦ Δαυὶδ λέγοντος·
ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
ὁ γὰρ ἁμαρτήσας τῷ θεῷ ὀφείλει καταχωρῆσαι ἑαυτὸν ἀπὸ πάσης ἀγάπης αὐτοῦ
ἕως οὗ πληροφορηθῇ ὅτι γέγονε φίλος θεοῦ. ἡ γὰρ ἀγάπη τῶν ἀνθρώπων πολλάκις
χωρίζει ἡμᾶς τῆς ἀγάπης τοῦ θεοῦ.
Ἦλθεν ποτὲ ἀδελφὸς λυβικὸς πρὸς τὸν ἀββᾶν Σιλουανὸν δὲ τοῦ ὄρους Φαρανίτου
καὶ λέγει αὐτῷ· ἀββᾶ, ἐχθρὸν ἔχω πολλὰ κακά μοι ποιήσαντα· καὶ γὰρ καὶ τὸν ἀ-
γρόν μου ὡς ἤμην ἐν τῷ κόσμῳ ἥρπασεν· καὶ πολλάκις ἐπεβουλεύσατό μοι· καὶ
φαρμακοὺς ἐκίνησεν πρὸς τὸ ἀδικῆσαί με· καὶ βούλομαι παραδοῦναι αὐ-
τὸν τῷ ἄρχοντι. λέγει αὐτῷ ὁ γέρων· ὡς ἀναπαύῃ τέκνον ποίησον. λέγει ὁ ἀ-
δελφὸς τῷ γέροντι· ἀναγκαῖον πάτερ ποιήσωμεν εὐχὴν καὶ ἀπέρχομαι πρὸς τὸν ἄρ-
χοντα. ἀνέστη ὁ γέρων καὶ λέγει οὕτως αὐτῶν· πάτερ ἡμῶν· ὡς ἤλθομεν εἰς τὸ καὶ
ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· εἶπεν ὁ γέρων· καὶ μὴ ἀφίεις ἡμῶν τὰ
ὀφειλήματα ἡμῶν ὡς οὐδὲ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. λέγει ὁ
ἀδελφὸς τῷ γέροντι· μὴ οὕτως πάτερ· καὶ εἶπεν ὁ γέρων· ἀλλὰ πῶς τέκνον;

φύσαι ἐὰν πρὸς τὸν ἄρχοντα βουληθῇς ἀπελθεῖν ἵνα ἐκδικήσῃ σε· σιλουανὸς
ἄλλην ἀρχὴν σήμερον οὐ ποιήσω· καὶ βαλὼν μετάνοιαν ὁ ἀδελφὸς συνεχω-
ρήθη ἐν τῷ ἐχθρῷ αὐτοῦ· Εἶπεν ὁ ἀββᾶς λογγῖνος· ἡ νηστεία ταπεινοῖ
τὸ σῶμα· ἡ ἀγρυπνία καθαρίζει τὸν νοῦν· ἡ ἡσυχία φέρει τὸ πένθος· τὸ πέν-
θος βαπτίζει τὸν ἄνθρωπον καὶ ποιεῖ ἀναμάρτητον· Εἶχεν δὲ ὁ ἀββᾶς λογγῖνος κα-
τάνυξιν πολλὴν ἐν τῇ εὐχῇ καὶ τῇ ψαλμωδίᾳ αὐτοῦ· καὶ λέγει αὐτῷ ἐν μιᾷ ὁ μα-
θητὴς αὐτοῦ· ἀββᾶ οὗτός ἐστιν ὁ κανὼν ὁ πνευματικός· τὸ κλαίειν ἐν τῇ λειτουργίᾳ
αὐτοῦ τὸν μοναχόν· καὶ λέγει ὁ γέρων· ναὶ τέκνον οὗτός ἐστιν ὁ κανὼν ὃν χρῄζει ὁ θεός·
ὅταν γὰρ ὁ θεὸς οὐκ ἐποίησεν τὸν ἄνθρωπον διὰ κλαυθμὸν ἀλλὰ διὰ χαρὰν καὶ εὐφροσύνην·
ἵνα δοξάζῃ αὐτὸν καθαρῶς καὶ ἀναμαρτήτως ὡς οἱ ἄγγελοι· ἀλλὰ πεσὼν διὰ
τὴν ἁμαρτίαν ὁ ἄνθρωπος ἐδεήθη τοῦ κλαυθμοῦ· Εἶπεν γέρων ἡνίκα
θέλει παραγενέσθαι ἀδελφὸς πρὸς ἀδελφόν· ὁ δαίμων τῆς καταλαλιᾶς ἢ
προλαμβάνει αὐτὸν ἐκεῖ ἢ μετ' αὐτοῦ ἔρχεται πρὸς αὐτὸν τὸν ἀδελφόν·
Εἶπεν πάλιν· οὐδὲν χαλεπώτερον συνηθείας κακῆς· χρόνου γὰρ χρῄζει καὶ πό-
νου πολλοῦ ὅπιουτο πρὸς τὸ ἐκκόψαι συνήθειαν· τὸν μὲν οὖν πόνον· πο-
λλοὶ ἔσχον· τὸν δὲ χρόνον ὀλίγοι ἔλαβον· ἄλλοι δὲ ταχὺ ἐκόπησαν ὑπὸ
θανάτου· καὶ οὐδεὶς ἄνθρωπος οἶδεν τί μέλλει ποιεῖν μετ' αὐτοῦ ἐν τῇ ἡμέρᾳ
τῆς κρίσεως· Ἀδελφὸς οἰκῶν ἐν κελλίῳ καθ' ἑαυτὸν πολλάκις ἤρχετο εἰς
ῥαθυμίαν· ἦν γὰρ εἰσπεσὼν εἰς βαρὺ ἁμάρτημα· λοιπὸν πενθῶν καὶ
μὴ γινώσκων τί ποιῆσαι ἔλεγεν· τὸ τί μοι γενόμενον ἐγένετο· καὶ οὕτως ἐπένθει
ἕως θανάτου· Ἔλεγον οἱ πρεσβύτεροι περὶ τοῦ ἀββᾶ μαρκελλίνου τοῦ τῆς θη-
βαΐδος· ὅτι πολλάκις εἶπεν ὁ μαθητὴς αὐτοῦ· ὅτι μέλλων τῇ κυριακῇ ἐξέρ-
χεσθαι εἰς σύναξιν· εὐτρέπιζεν ἑαυτόν· καὶ μέρος τῶν θείων γραφῶν ἀπεστήθι-
ζεν· ἕως ἦλθεν εἰς τὴν ἐκκλησίαν· καὶ οὕτως αὐτοῦ μελετῶντος τὰ χείλη αὐτοῦ οὐ-
κ ἐκινοῦντο ἵνα μή τις αὐτοῦ ἀκούσῃ· καὶ ὅτε ἵστατο εἰς τὴν σύναξιν· τὸ στῆθος
αὐτοῦ ἐβρέχετο ὑπὸ τῶν δακρύων· ἔλεγεν γὰρ ὅτι τῆς συνάξεως ἐπιτελου-
μένης θεωρῶ ὅλην τὴν ἐκκλησίαν ὡς πῦρ· καὶ ὅταν ἀπολύσῃ ἡ σύναξις·
πάλιν ἀναχωρεῖ τὸ πῦρ· Εἶπεν γέρων ὅτι ἀνὴρ καθήμενος ἐν τῷ κε-
λλίῳ αὐτοῦ μελετῶν ἐν τοῖς ψαλμοῖς· ὅμοιός ἐστιν ἀνθρώπῳ ζητοῦντι τὸν βασιλέα·
ὁ δὲ μετὰ κλαυθμοῦ αἰτῶν τοὺς πόδας κρατεῖ τοῦ βασιλέως ζητῶν ἔλεος.

παρ' αὐτοῦ· ὥσπερ εἰ τὴν πόρνην πεποίηκεν. Εἶπεν γέρων· ἐὰν καὶ
θελήσῃς ἐν ἐρήμῳ ἡσυχάζειν, μὴ λογίζου ἑαυτὸν ὡς μέγα τι ποιῶν· ἀλλὰ μᾶλλον
ἔχε ἑαυτὸν ὡς κύνα ἐξορισθέντα ἀπὸ ὄχλου· καὶ δεδεμένον διὰ τὸ δάκνειν
καὶ ἐπιχαράττειν τοὺς ἀνθρώπους. Εἶπεν γέρων· ὡς ὠνήθησον κατὰ μικρὸν ἀδελφὲ τὴν
καρδίαν σου· περιελέ μοι σε καὶ τοῦτον ἀδελφὸν λέγει· ἐμαλήθη οὕτως ὥσπερ
ἀμμοῦ κατὰ θεόν· οὕτως ὁ σπουδαιότερον μονεῖ τῆς· καὶ οὕτως λοιπὸν ἔρχεται εἰς τὸ ἔχειν
ἑαυτὸν ὑποκάτω πάντων· καὶ οἰκεῖ τὸ πνεῦμα τοῦ θεοῦ ἐν σοί· ἐὰν δὲ ἐξουθενήσῃς σεαυτόν
ἀναχωρεῖ ἡ χάρις τοῦ θεοῦ ἀπὸ σοῦ· καὶ παραδίδει σε εἰς μολυσμὸν σαρκός· καὶ
κληρώσεταί σου ἡ καρδία· καὶ κατάνυξις οὐδεμία εὑρίσκεται ἐν σοί.

Ἀδελφὸς ἐκάθητο κατὰ μόνας ἐν τῇ μονῇ τῶν μονιδίων· καὶ αὕτη ἦν ἡ εὐχὴ αὐτοῦ
πάντοτε· κύριε οὐ φοβοῦμαί σε· πέμψον μοι κεραυνὸν ἢ ἄλλην περίστασιν
ἢ ἀσθένειαν ἢ δαίμονα· ἵνα κἂν οὕτως ἔλθῃ εἰς φόβον ἡ πεπωρωμένη
μου ψυχή· ταῦτα ἔλεγεν καὶ παρεκάλει τὸν θεὸν λέγων· δίδαξόν με· ἀδύνατον
ἐστὶν ἵνα συγχωρήσῃς μοι· πολλὰ γὰρ ἥμαρτον εἰς σὲ δέσποτα· ἀλλ' ἐὰν ἐνδέ-
χεται διὰ τοὺς οἰκτιρμούς σου συγχώρησόν μοι· εἰ δὲ οὐδὲ τοῦτο ἐνδέχεται·
παίδευσόν με ὦ δέσποτα ὧδε· κἂν μὴ παιδεύσῃς με· εἰ δὲ καὶ τοῦτο ἀ-
δύνατον· ἀπόδος μοι ὧδε μέρος· καὶ ἐκεῖ κούφισόν μοι κἂν μικρὸν
τῆς κολάσεως μέρος· μόνον ἄρξου ἀπὸ τοῦ νῦν παιδεύειν με· ἀλλὰ μὴ
τῷ θυμῷ σου δέσποτα· οὕτως ἐποίησεν ἐπὶ ἐνιαυτὸν ὅλον ἀπαύστως
μετὰ δακρύων διὰ παντὸς τὸν θεόν· ἐν νηστείαις καὶ πολλῇ ταπεινώσει λογισ-
μῶν· ἐν ἑαυτῷ ἔλεγεν· ἆρα τί ἐστιν ὁ λόγος ὃν εἶπεν ὁ Χριστός· μακάριοι οἱ πεν-
θοῦντες ὅτι αὐτοὶ παρακληθήσονται· ἐν μιᾷ οὖν καθημένου αὐτοῦ χα-
μαὶ καὶ θρηνοῦντος κατὰ συνήθειαν· ἀπὸ ἀθυμίας ἀπενύσταξεν· καὶ ἰδοὺ
παρίσταται αὐτῷ ὁ Χριστὸς λέγων αὐτῷ ἱλαρᾷ τῇ φωνῇ καὶ τῷ προσώπῳ· τί
ἔχεις ἄνθρωπε· τί οὕτως κλαίεις· λέγει αὐτῷ· ὅτι ἔπεσα κύριε· λέγει αὐτῷ ὁ φανεὶς
αὐτῷ· καὶ ἐγείρου· ἀπεκρίθη ὁ κάμνων· οὐ δύναμαι ἐὰν μὴ δῷς μοι τὴν
χεῖρα· καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἀνέστησεν αὐτόν· καὶ λέγει αὐτῷ πά-
λιν ἱλαρῶς· τί κλαίεις ἄνθρωπε· τί λυπεῖσαι· ἀπεκρίθη ὁ ἀδελφός· οὐ θέλεις κύριε
ἵνα κλαίω ὡς ἐλυπήθης· ὅτι τοσαῦτά σε ἐλύπησα· τότε ἐκτείνας τὴν
χεῖρα αὐτοῦ ὁ φανεὶς· ἔθηκεν τὴν παλάμην αὐτοῦ εἰς τὴν κεφαλὴν αὐτοῦ

καὶ ἤλλαξεν αὐτὴν καὶ λέγει αὐτῷ· μὴ θλίβου, ἐμὲ βοηθὸς ὁ θεός· λοιπὸν ὅτι σὺ ἐλυπήθης
οὐκέτι ἐγὼ λυποῦμαι κατὰ σοῦ· διὰ γὰρ σὲ τὸ αἷμά μου ἔδωκα· πόσῳ μᾶλ-
λον δώσω τὴν φιλανθρωπίαν μου ἐκ [illegible] ψυχῇ· καὶ ἐλθὼν εἰς ἑαυτὸν ὁ ἀ-
δελφὸς ἐκ τῆς ὀπτασίας· εὗρεν τὴν καρδίαν αὐτοῦ πάσης χαρᾶς πεπληρω-
μένην· καὶ ἐπληροφορήθη ὅτι ἐποίησεν ὁ θεὸς μετ' αὐτοῦ ἔλεος· καὶ ἔμεινεν διὰ παν-
τὸς ἐν πολλῇ ταπεινοφροσύνῃ· εὐχαριστῶν τῷ θεῷ.

Ἀδελφὸς παρέβαλέ τινι τῶν προσμενόντων τῇ λαύρᾳ [illegible] καί· [illegible] καὶ λέ-
γει αὐτῷ· τί ἐστιν πάτερ, πῶς ἔχεις· καὶ ἀπεκρίθη ὁ γέρων, κακῶς· λέγει ὁ ἀδελφός· διὰ
τί ἀββᾶ· ἀπεκρίθη ὁ γέρων· ὅτι ἰδοὺ τελειῶ [illegible] χρόνους ἔχω καθ' ἡμέραν
ἱστάμενος ἐνώπιον τοῦ θεοῦ ἐν τῇ λειτουργίᾳ μου· καὶ ποτὲ μὲν καταρῶμαι καὶ λέγω τῷ θεῷ·
μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· καὶ ἐπικατάρατοι
οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου· καὶ πάλιν ψευδόμενος καθ' ἡμέραν
τῷ θεῷ λέγω· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· καὶ μνησικακῶ τῷ ἀδελ-
φῷ μου λέγω τῷ θεῷ· ἄφες ἡμῖν ὡς καὶ ἡμεῖς ἀφίεμεν· καὶ πᾶσαν τὴν μέριμναν ἔχω
εἰς τὸ φαγεῖν λέγω· ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον· καὶ κοιμώμενος ἕως πρω-
ῒ ψάλλω· μεσονυκτίου ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι· κατάνυξιν ὅλως οὐκ ἔ-
χων καὶ λέγω· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· καὶ ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρ-
τος ἡμέρας καὶ νυκτός· καὶ ἐν τῇ καρδίᾳ μου λογιζόμενος πονηρὰ λέγω τῷ θεῷ· ὅτι
ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός· καὶ μὴ νηστεύων ὅλως μὴ ἔχων λέ-
γω· τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας· καὶ ὅλος γέμων ὑπερηφανείας καὶ ἀνέ-
σεως σαρκὸς· ἑαυτὸν ἐμπαίζων ψάλλω· ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου·
καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου· καὶ ἀνέτοιμος ὑπάρχων λέγω· ἑτοίμη ἡ καρ-
δία μου ὁ θεός· καὶ ἁπλῶς πᾶσα ἡ λειτουργία μου καὶ ἡ εὐχή μου εἰς ἔλεγχον καὶ αἰσχύνην
μου κατεστάθη· λέγει ὁ ἀδελφὸς τῷ γέροντι· νομίζω περὶ αὐτοῦ ὁ Δαβὶδ
ταῦτα εἴρηκεν· στενάξας ὁ γέρων εἶπεν· τί λέγεις ἀδελφέ· φοβερὰ ἐὰν μὴ φυ-
λάξωμεν· ἅπερ ἐνώπιον τοῦ θεοῦ ψάλλομεν· εἰς ἀπώλειαν ὑπάγομεν.

Ἀδελφὸς ἠρώτησέ τινα γέροντα λέγων· πῶς περὶ τὰς γενεὰς ἡμῶν οὐδὲ ἰσχύουσι κρατῆσαι
τὴν ἄσκησιν τῶν πρώτων· καὶ εἶπεν ὁ γέρων· ὅτι οὐκ ἀγαπᾶται ὁ θεός, οὐδὲ φεύγεται τοὺς
ἀνθρώπους οὐδὲ μισεῖ τὴν ὕλην τοῦ κόσμου· ὅστις γὰρ φεύγει τοὺς ἀνθρώπους καὶ τὴν ὕ-
λην· ἀφ' ἑαυτοῦ ἔρχεται αὐτῷ ἡ κατάνυξις καὶ ἡ ἄσκησις· ὥσπερ γὰρ ὁ θέλων·

σβέσαι τὸ πῦρ ἁπτόμενον τοῦ ἀγροῦ αὐτοῦ· ἐὰν μὴ περιλάβῃ ἢ κόψῃ τὴν ὕλην
τὴν ἔμπροσθεν αὐτοῦ· οὐ σβέννυσιν αὐτό· οὕτως καὶ ὁ μοναχὸς ἐὰν μὴ ἀπελθὼν ἐκ
τὸν τόπον ὅπου μένει καὶ κόπου εὑρίσκει καὶ αὐτὸν τὸν φόνον· οὐ δύναται κτήσασθαι
τὴν ἄσκησιν· ψυχὴ γὰρ ἐὰν μὴ βλέπῃ οὐδὲ ταχὺ ἐπιθυμεῖ·

Εἶπεν γέρων· καμμύειν αὐτοῖς τοῖς ὀφθαλμοῖς αὐτοῦ ἰδὼν ἄνθρωπον· μηδαμῶς κρίνῃ ἀνθρώπου
γὰρ ἐστὶν ὁ κελεύσας ὁ λόγος τοῦ θεοῦ· πᾶς δὲ ἄνθρωπος κρίνων τινά· ὡς καὶ ἄδικος
καὶ ἀντίθεος τοῦ Χριστοῦ εὑρίσκεται· ὅτι τὸ ἁρπάζων μὲν καὶ τὴν ἐξουσίαν ἣν ἔδωκεν αὐτῷ
ὁ πατήρ· κρίσιν πᾶσαν ἐκέλευσε τῆς γενομένης·

Εἶπεν πάλιν ὅτι ὁ κλέπτων ἐν τῇ ἑβδομάδι· ἢ ἄλλην ἁμαρτίαν ποιῶν· πολλά-
κις εὐθέως τὸ τελέσαι τὴν ἁμαρτίαν τεμάχει· ἢ μέμφεται ἑαυτὸν καὶ ἔρχεται
εἰς μετάνοιαν· ὁ δὲ ἐν μνησικακίᾳ κρατούμενος τῇ ψυχῇ· εἴτε τρώγει εἴτε πίνει· εἴτε
καθεύδει· εἴτε περιπατεῖ· ὥσπερ ὁ ἰὸς κατεσθίει αὐτόν· ὅθεν πάντοτε
ἀχώριστον τὴν ἁμαρτίαν ἔχει· καὶ ἡ εὐχὴ αὐτοῦ· κατάρα αὐτοῦ γίνεται· καὶ ὅλος
ὁ κόπος αὐτοῦ· κἂν τὸ αἷμα αὐτοῦ ἐκχύσῃ διὰ τὸν Χριστὸν ἀπρόσδεκτον γίνεται·

Ἀδελφὸς ἀποταξάμενος· ᾤκησεν εἰς τὸ ὄρος τῆς Νιτρίας· ἦν δὲ τὸ κελλίον αὐτοῦ
πλησίον ἄλλου ἀδελφοῦ· καὶ ἤκουσεν αὐτοῦ καθ' ἡμέραν κλαίοντος τὰς
ἁμαρτίας αὐτοῦ· ὅτε οὖν διαχέρων πολλάκις οὐκ ἤρχοντο αὐτῷ δάκρυα· ἔλε-
γεν τῇ ἑαυτοῦ ψυχῇ· οὐ κλαίεις ταλαίπωρε οὐδὲ θρηνεῖς· πίστευσον ἐὰν μὴ θέ-
λῃς κλαῦσαι· καὶ ἀναστὰς μετὰ τὸ εἶχε μάστιγα ἀπὸ σχοινίου στερεοῦ· καὶ λαβὼν αὐ-
τήν· ἔτυπτεν ἑαυτὸν ἱκανῶς· ἕως οὗ ἀπομένων ἔκλαυσεν· θαυμάσας οὖν ὁ
μένων πλησίον αὐτοῦ· παρεκάλεσεν τὸν θεὸν ἀποκαλύψαι αὐτῷ· εἰ ἄρα
καλῶς ποιεῖ βασανίζων ἑαυτόν· καὶ ἐν μιᾷ νυκτὶ· θεωρεῖ τὸν ἀδελφὸν κα-
τὸν μαρφοροῦντα στέφανον· καὶ στήκοντα εἰς τὸν χορὸν τῶν μαρτύρων· καὶ
τινα λέγοντα τῷ θεωροῦντι· ἴδε ὁ καλὸς ἀθλητής· ὃς διὰ τὸν Χριστὸν ἑαυτὸν βα-
σανίζων· πῶς μετὰ τῶν μαρτύρων ἐστεφανώθη·

Πέρυσιν τὶς ἐκάθητο ἐπὶ τὸν κόλπον τοῦ μακαρίου Ἀντωνίου· ἐκάθισεν τοῦ κλί-
ματος· καὶ ἐν μιᾷ ἀπῆλθεν εἰς Αἴγυπτον διὰ χρείαν αὐτοῦ· λαβὼν καὶ τὸν μαθη-
τὴν αὐτοῦ· κατελθὼν ἐν τῇ πόλει λεγομένῃ Νικίου· ἔμεινεν ἐκεῖ μίαν
ἑβδομάδα· καὶ ἐθεώρουν ἐκεῖ ἄνδρας καὶ γυναῖκας ἐξερχομένους πρὸς τὰ
μνήματα ἀπὸ ὄρθρου· καὶ θρηνοῦντας ἕκαστον τὸν νεκρὸν αὐτοῦ ἕως ὥρας

περί της. ἔλεγεν ὅτι ἔφη τῷ μαθητῇ αὐτοῦ· βλέπε ἀδελφὲ εἰς τὴν νυκτερίδα (?)
... μοῦ τοι· ποιήσατέ μοι. ὅτι μὴν καὶ ἡμᾶς οὕτως ποιήσωμεν εἰς ἀπόλαυσιν παρ' αὐτοῦ.
καὶ ὑποστρέψαντες εἰς τὸ κελλίον· ἔκτισαν καὶ αὐτοὶ εὐθέως τὰ μνήματα αὐτῶν.
ἀπὸ μνημείου ἀλλήλων· καὶ καθήμενοι παρακαθήμενοι ἀπὸ πρωῒ ἔκλαιεν
ἕκαστος τὴν ἰδίαν ψυχὴν ὡς νεκρόν. εἴ ποτε οὖν ἐπελθεῖν τὴν σοφίαν. ἀπε
κοιμήθη ὁ μαθητὴς αὐτοῦ ἀποκαμών. ἔκραζεν αὐτὸν ὅτι ἔφη λέγων· ἀ
δελφὲ ἐγέρθητι ἐκάθισαν λοιπὸν ἔχοντες μου ἔρχῃ εἰς τὰ μνήματα καὶ εἰς τὸ ἔργον αὐτῶν.
λέγει οὖν ἐν μιᾷ ὁ ἀδελφὸς τῷ γέροντι· ἀββᾶ, σκληρά ἐστιν ἡ ψυχή μου· καὶ οὐ
δύναμαι κλαῦσαι. ἀπεκρίθη ὁ γέρων· πίκτεσον ... χρόνον
καὶ ἀπὸ μέσου· καὶ θεὸς ἐφύλαξεν τὸν ... δίδωσιν αὐτῷ τὸ πένθος εἰς ... καὶ οὐκέ
τι κοπιάσεις. λέγει γὰρ ... ὅτι ὥσπερ ἐὰν λάβῃ ... ἡ καρδί
οὐκέτι ... οὕτως καὶ ἐὰν ὁ θεὸς πλήξῃ αὐτὴν εἰς τὸ πένθος, οὐκέτι ὑπάρχ
ἐξ αὐτῆς ... ἀλλὰ μένει ... πληττομένη ἕως θανάτου. καὶ
ὅπου δ' ἂν ὑπάρχῃ ὁ τοιοῦτος, μετ' αὐτοῦ ἐστὶν ἔσωθεν τὸ πένθος. ἐν μι
ᾷ οὖν τῶν ἡμερῶν θεωρήσας ὁ γέρων τὸν ἀδελφὸν βαρυνθέντα ἀπὸ βρω
μάτων· ἦσαν γάρ τινες παραβαλόντες αὐτοῖς. λέγει αὐτῷ κατ' ἰδίαν· οὐκ οἶ
δας ὅτι τὸ πένθος λυχνάριόν ἐστιν ἅπτον· καὶ ἐὰν μὴ ἀσφαλῶς σκεπάσῃς
αὐτό· εὐθέως σβέννυται καὶ ὑπάγει. οὕτως καὶ τὰ πολλὰ βρώματα σβεννύου
σιν αὐτό· καὶ ἡ πολυλογία ἀφανίζει αὐτό· καὶ ἁπλῶς πᾶσα ἀνάπαυσις σαρ
κὸς κωλύει αὐτό. χρὴ οὖν τὸν μαθητὴν ... εἰς ἕκαστον πρᾶγμα αὐ
τοῦ· ποιεῖν μέρος τοῦ Χριστοῦ. λέγει ὁ ἀδελφός· πῶς ἐστιν ὁ λόγος ὅπερ λέγεις; ὁ δὲ ἔ
φη· ὅταν ἐμπέσωσίν σοι ἄρτοι καθαρός· ἄφες αὐτὸν λόγῳ ἄλλου· καὶ φάγε σὺ
τὸν ῥυπαρὸν διὰ τὸν Χριστόν. ἐὰν ἐμπέσῃ σοι ... μεῖζον· εἰς αὐτὸν μικρὸν δὲ
καὶ εἰπὲ διὰ τὸν Χριστὸν τὸν ... μὴ χορτασθῇς ἀλλ' ἄφες μικρὸν λέγων·
ἰδοὺ τὸ μέρος τοῦ Χριστοῦ. ἐὰν εὕρῃς προσκεφάλαιον ἁπαλόν· ἄφες αὐτὸ καὶ βάλε
λίθον διὰ τὸν Χριστόν. ἐὰν κοιμώμενος ῥιγάσῃς ὑπόμεινον λέγων· ὅτι ἄλλοι οὐδὲ
ὅλως κοιμῶνται. ἐὰν ὑβρισθῇς σιώπησον λέγων· διὰ τὸν Χριστὸν ὅτι καὶ αὐτὸς ὑ
βρίσθη δι' ἡμᾶς. ἐὰν ποιήσῃς ... αὐτὸ ἐντίμως· ἀφάνισον αὐτὸ μικρὸν λέ
γων· ὅτι ἄλλοι ἄξιοι ἄρτον οὐκ ἔχουσιν· πόσῳ μᾶλλον ἐγὼ ὁ ἀνάξιος· καὶ ἐ
τι μὴ ἐσθίω· ὁ φάγων ... καὶ ἁπλῶς εἰς ἕκαστον πρᾶ

μασου· μὴ ζομικρὰν θλῖψιν· καὶ ἄφες τὸ φαγεῖν· καὶ ἄφες τὸν ὕπνον σου· καὶ ἄφες τὸ
ἐργίσασθαι μετὰ ἀπεριμώσεως καὶ παραφυλάξεως ζῆσον πάλιν ποτε· ἐν θημονεῖ
νος τοσοῦτον ἔζησαν οἱ ἅγιοι· καὶ ἵνα ἔλθῃ ἡ ὥρα· καὶ ἀρχὴ μετὰ πάσης θλίψιν καὶ ἄφες τὰ ἐν μω
σιν καὶ εὑρίσκομεν μετὰ τὴν ἀνάπαυσιν· μὴ ἔχῃς ἐν τῷ κελλίῳ σου ἱμάτιον
κρεμάμενον ἄρτον ὅτι θάνατός σοι ἐστίν· διότι πάλαι δὴ καὶ ὑπερισσοῦ
ῥιγῶσιν· καὶ σὺ ἁμαρτωλὸς περισσὰ ἔχεις· μὴ κτήσῃς σκεῦος περισσὸν ἀρ-
γὸν κείμενον ἕως ἑνὸς μακίου· ἐπεὶ λόγον δώσεις ὑπὲρ αὐτοῦ· μὴ κτήσῃ χρυσί-
ον ἐν τῇ ζώνῃ σου· ἐπειδὴ οὐκέτι φέρον ἔτι ζήτου ὁ θεός· ἀλλὰ καὶ ἐὰν εἰ πτέσῃς σοι· ἃ
μὴ δέεσαι ἀφες ἀνάγκῃ σου ἢ ἀφ' ἐν δύναμαι ἢ τροφὴν δὲ θεὸς ἀφορᾷ σοι αὐτό· ἀδελ
ουχρίζης· μὴ κοιμηθῇς μετὰ σοῦ· ἐὰν δέ τις σοι ὁ λογισμὸς ἄφες ἑορτὴν ποιῆσαι δι
ἀφορμὴ φέρματος· μὴ ἀκούσῃς αὐτοῦ· ἐπεὶ ἰουδαϊκῶς ἑορτάζεις· ἐκεῖνοι
γὰρ ποιμάζουσιν ταῦτα· μοναχοῦ δὲ τροφὴ ἀγάπη τὸ πένθος καὶ τὰ δάκρυα
ἐὰν ἀκούσῃς περί τινος μισοῦντός σε καὶ λοιδοροῦντος· πέμψον ἢ δὸς αὐτῷ
μικρὰν εὐλογίαν κατὰ δύναμίν σου· ἢ μικρὸν ἄρτον· ἢ μικρὸν μαλα-
κιν· ἵνα ἔχῃς παρρησίαν φωνεῖν ἐν τῇ ὥρᾳ τῆς κρίσεως· ἄφες ἡμῖν δὲ
τὰ ὀφειλήματα ἡμῶν· ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· ἐὰν
ἔχῃς κελλίον· χωρούμενον τὴν κεφαλήν σου· μὴ κτήσῃς ἄλλο τὸ σῶολον
ἵνα ἐκεῖθεν ἀρίς τὴν ἀρχὴν ὥρισον καὶ τὸ πλάτος· ἐὰν ἐξέλθῃς ἐκ τοῦ κελλίου σου·
καὶ παραβάλῃς πόποτε· καὶ μικρὸν χαυνωθῇ τὸ πένθος σου· ὑποστρέψον
ταχὺ καὶ ἀναλάβου εὐθύς· καὶ ἐλθὲ εἰς τὴν προφύτην σου τάξιν· ἐὰν παρα
βάλωσί σοι τινὲς καὶ ἴδῃς αὐτοὺς ἀπὸ μακρόθεν· τότε ἄφες χεῖρας καὶ εἰπέ· κύριε
Ἰησοῦ Χριστέ· ῥῦσαι ἡμᾶς ἀπὸ κακῆς λαλιᾶς καὶ λοιδορίας· καὶ μετὰ ταῦτα ἀπένεγκε
αὐτοὺς ἐκ τοῦ τόπου τούτου· ἐὰν πένθος κτήσασθαι θέλῃς· ἀγόρισαι ἵνα ὅλα
τὰ σκεύη σου καὶ τὰ πράγματά σου παραχώρησιν οἱ ἀπορ καθήμενοι
ἐν τῇ γνώμῃ σου ἀδελφῶν· ἐὰν κτήσῃ βιβλίον μὴ κοσμήσῃς τὸ ἔν-
δυμα αὐτοῦ· καὶ μὴ κτήσῃ ἁπλώματα πολύτιμον ἐν τῷ προσκυνήματί σου
σκεῦος ἀργυροῦν ἢ χρυσοῦν· μὴ ἐπιλαφίσωσι μαι χαίρεσθαι σου ἐν τῷ κε-
λλίῳ σου ἕως μικροῦ τινός· ἵνα μὴ ποιήσῃ ἀνέλθῃ ἐπάνω σου μασου
ἕως κουκουλίου ... εὐχάριστον μὴ κρεμάσῃς ἐν τῇ ζώνῃ σου· ταῦτα
γὰρ πάντα κωλύουσιν τὴν κατάνυξιν καὶ τὸ πένθος ἀπὸ σοῦ· ὅπου

καθέζῃ· μὴ θήσῃς ἱμάτιον ἀλαθρυᾶν καὶ σεβέριαν ὡς καὶ ἀββᾶς Ἀρσένιος· καὶ
ἀπώλεσε πάντα· καὶ ἢν προσμείνῃς σου καὶ τὰ σκεύη σου· καὶ πλόμησου καὶ τὰ ὑπο-
δήματά σου ταῦτα ἵνα ἔσονται· διὰ καὶ ἂν προσέλθωσιν συλλῆσαι μὴ παρέ-
σῃς μὴ αὐτοῖς ἄρα τί ποτε αὐτῶν· τῶν μὲν τῶν κελλίων σου· ἐὰν ἴδῃς
σκάλος ἢ μάχαιραν ἢ σκαλίδα· ἢ ἄλλον οἷον δή ποτε· καὶ εἴδῃς ὅτι ὁ λογισμός
σου ἀγαπᾷ αὐτό· ῥίψον αὐτὸ ἀπὸ σοῦ· ἵνα διδάξῃς σου τὸν λογισμὸν μη-
δὲν ὅλως ἀγαπᾶν· ἀλλὰ μόνον τὸν Χν· ἐὰν ὀκνήσῃς ἀναστῆναι τὴν νύκτα
εἰς τὴν λειτουργίαν σου· μὴ δώσῃς τὴν τροφὴν αὐτοῦ τῷ σώματί σου· εἰ-
πε γὰρ ἡ γραφή· ὁ ἀργὸς μηδὲ ἐσθιέτω· λέγω γάρ σοι ὅτι ὥσπερ ὁ κόσ-
μος ἐάν τις κλέψῃ μέγα κρίμα ἔχει· τοιοῦτον κρίμα λογίζεται ὁ θεὸς πάν-
τι μοναχῷ ἀναμένοντι ἐν τῇ λειτουργίᾳ αὐτοῦ χωρὶς ἀσθενείας καὶ κόπου μεγά-
λου· πλὴν καὶ ἐκ τοῦ μόσχου(?) σώματος καὶ κόπου τούτου ἀπαιτεῖ ὁ θεὸς λειτουργίαν ψυχικήν·
ἐκάμοι γὰρ καὶ χωρὶς τοῦ σώματος δύνανται προσφέρεσθαι τῷ θεῷ· ἐὰν
καταλαλήσῃς τοῦ ἀδελφοῦ σου· καὶ πλήξῃ σε τὸ συνειδός σου ἀπελθὲ
βάλε αὐτῷ μετάνοιαν· καὶ εἰπὲ ὅτι κατελάλησά σου· καὶ ἀσφάλισαι μη-
κέτι ἐμπεσεῖν· θάνατος γάρ ἐστιν τῇ ψυχῇ ἡ καταλαλιά· ἐὰν ἐνέγκῃ σοι
τὶς ἀγάπην· καὶ οἶδας ὅτι πτωχός ἐστι· δὸς αὐτῷ πολλῷ πλέον ὧν ἤνεγκεν·
εἰ δὲ οὐκ ἔχεις βάλε αὐτῷ μετάνοιαν λέγων· συγχώρησόν μοι διὰ τὸν κν ἀδελ-
φὲ ὅτι πτωχός εἰμι· ἀλλ' ὁ θεὸς τὸν μισθὸν δώσει σοι· ἐὰν ἀκούσῃς τὰς με-
γάλας πολιτείας τῶν πατέρων· ἐπιχείρησον καὶ σὺ ἐπικαλούμενος
τὸ ὄνομα τοῦ κυ· ἵνα ἐνισχύσῃς ποιῆσαι τὸ ἔργον ὃ ἐπεχείρησας· καὶ ἐὰν
τελειώσῃς· τῷ θεῷ ἔχε τὴν χάριν· εἰ δὲ μὴ τελειώσῃς· μέμφου τὴν σεαυ-
τοῦ ἀσθένειαν καὶ ἐπιγνώθι τὴν ἰδίαν ἀδυναμίαν· καὶ ταπείνωσον τὸν
λογισμὸν ἕως ἡμέρας τοῦ θανάτου σου· ὡς ἀνίκανος καὶ πτωχὸς καὶ ἀνυπομόνη-
τος· ἐλέγχων τὴν ἰδίαν ψυχὴν πάντοτε· ὡς ἀρξαμένην καὶ μὴ τελειώ-
σασαν· ἐὰν πράξῃς ἁμαρτίας σωματικὰς μὴ λογίζου ὥσπερ ἐξ ἀπράξας
ἐπεὶ μολύνεται ἡ ψυχή σου· ἀλλὰ ἔχου λέγων· κε σὺ γινώσκεις αὐτάς
ὡς θέλεις ἐξάλειψον αὐτάς· ἐγὼ γὰρ οὐ τολμῶ ἐνθυμηθῆναι αὐτάς· ἐὰν
φέρῃ μὲν οἰκεῖς καὶ εἴδῃς ὅτι φροντίζει σου ὁ θεὸς· μὴ πλατυνθῇ ἡ καρδία σου
ἐπαιρομένη ὅτι τὴν βοήθειαν αὐτοῦ ἀπὸ σοῦ· ἀλλὰ μᾶλλον εἰπὲ ὅτι

διὰ τὴν ὀλιγωρίαν καὶ ἀποθέμενος ἀγαθὸν μου ποιήσῃ ὁ θεὸς ἔλεος μετ' ἐμοῦ· ἵνα ὑπομένω μέχρι
καὶ μὴ ἀκηδιάσω· ἐὰν ὁρμήσῃ ὁ πόλεμος ἐπὶ τὸ σῶμά σου ἢ τὴν καρδίαν· ζήτη-
σον ἀποθέμενος εἰ ἐκινήθη ὁ πόλεμος καὶ διορθῶσαι· ἐὰν ἀπὸ τρυφῆς ἢ ὕπνου
ἢ εὐφροσύνης· ἐὰν ἔχῃς ἑαυτὸν κάλλιον πάντων· ἢ ἔκρινας τινὰ ἁμαρ-
τήσαντα· χωρὶς τῶν τριῶν πραγμάτων τούτων· οὐ πολεμεῖται ἄνθρωπος εἰς
πορνείαν· ἐὰν δώσῃς ἀγάπην καὶ ὕστερον θλιβῇ ὁ λογισμός· ὅτι πολλὰ ἀ-
πέδωκας· μὴ προσέχῃς τῷ λογισμῷ ὁ σατανικός ἐστιν ἀρετήν· πλὴν ὅσον δύ-
νασαι· μετὰ ἀπαρχίας καὶ ταπεινοφροσύνης ζῆσον· ἵνα μὴ ἄλλον σου χρεῖζειν ἀπολαβεῖν
πᾶν τὸ τῆς ἀγάπης· ὁ γὰρ διδοὺς χαίρεται ἡ καρδία αὐτοῦ λογιζόμενος
ὅτι καλὸν ἔργον ποιεῖ· ὁ δὲ μὴ ἔχων μᾶλλον πάσχει ἀδιαλείπτως· διὰ μεγάλην
ταπεινοφροσύνην ἔρχεται· λογιζόμενος ὅτι οὐδὲν ἀγαθὸν ποιῶ· οὐδὲ τὴν μικρὰν δι-
δῶ· ἀλλὰ μᾶλλον καὶ ἐντολὴν ζητῶ· οὕτως ἔζησαν οἱ πατέρες ἡμῶν· οὕτως εὗ-
ρεν τὸν θεὸν ἀββᾶς Ἀρσένιος· ἐν παντὶ ἔργῳ σου καὶ ἐν πάσῃ ὁδῷ, ἵνα λέγῃς
ὅτι ἐὰν σκέπῃ με ὁ κύριος· τί εἰμι ἐγώ· καὶ ἐὰν χωρίσῃ κρίνῃς τε· ἄφες ἑαυτὸν καὶ ῥῖψον
τὸ ἔργον ὃ κρατεῖς καὶ λάβε ἄλλο· ἵνα θαρρήσῃς φθάσαι θήμας δι' αὐτοῦ· δεῖ γὰρ
τὸ ἔργον τηρεῖν ἐν πάσῃ ὥρᾳ· ἕτοιμος εἶ ἵνα πορευθῇς τὴν ὁδὸν αὐτοῦ·
κἂν δὲ ἐργόχειρον κάθῃ· κἂν ἐν ὁδῷ πορεύῃ· κἂν ἐσθίῃς· τοῦτο πάν-
τοτε εἶναι λέγεις· ὅτι ἄρτι ἐὰν καλέσῃ με ὁ θεός· τί ἀπολογεῖται καὶ βλέπε
τί ἀποκρίνεται ἡ συνείδησίς σου· καὶ ταχινὸν τοῦτο ποιῆσαι ὅπερ λέγει σοι·
καὶ ἐὰν θέλῃς μαθεῖν διὰ τί ἐστι τὸ ἔλεος μετὰ σοῦ· ἐρώτησον τὴν συνείδησίν σου
καὶ μὴ παύσῃ τοῦτο ποιῶν· ἕως ἂν πληροφορηθῇ ἡ καρδία σου καὶ ἡ συ-
νείδησίς σου ἀναπαύσει· ὅτι πιστεύομεν δὲ τοῖς οἰκτιρμοῖς τοῦ θεοῦ· ὅτι πάν-
τως ποιεῖ μεθ' ἡμῶν δωρεὰν ἔλεος· πρόσεχε δὲ τῇ καρδίᾳ σου μὴ πῶς
μετὰ διαγογγυσμοῦ λέγεις τὸν λόγον· καὶ ἐὰν δὲ ποιήσῃς τρίχα μίαν· μακρὰν
ἐστὶ τὸ ἔλεος ἀπ' αὐτῆς· ἐὰν ἐπιλάβῃ ἄσκησιν καὶ ἔχων ἀδελφὸς πάλιν ἐ-
πιχαρίσον· καὶ μὴ παύσῃ ἕως θανάτου τοῦτο ποιῶν· ὅπου γὰρ φθάσῃ ἄν-
θρωπος ἐκεῖ ὑπάγει· ἐὰν δὲ ἀμέλειαν· ἐὰν δὲ ἐγκράτειαν· καθ' ἑκάστην ἡμέραν
καὶ ἐνιαυτὸν καὶ ἑβδομάδα· ἐρεύνησον σεαυτὸν δὲ τί προέκοψας· δὲ προσευ-
χήν· δὲ μετάνοιαν· δὲ ἡσυχίαν· πλέον δὲ πάντων δὲ ταπεινοφροσύνη· αὕτη γάρ ἐστιν
ἡ ἀληθὴς προκοπὴ τῆς ψυχῆς· ἵνα ἡμέραν καθ' ἡμέραν ταπεινοῦται

ρων· ἔχε ἑαυτὴν λέγουσαν· ὅτι πᾶς ἄνθρωπος βελτίων μού ἐστιν· χωρὶς γὰρ τοῦ
λογισμοῦ τούτου· κἂν σημεῖα ποιήσῃ· κἂν νεκροὺς ἀναστήσῃ ἄνθρωπος· μακρὰν
εὑρίσκεται ἀπὸ τοῦ θεοῦ· ἐὰν παραβάλλῃς ἑτέρῳ ἔν τινι καὶ τέμνηται ἡ ψυχή σου καὶ ἐπι-
τρέψῃς οἰκοδομῆσαι· εἰπὲ αὐτῷ· ὑπὲρ ὑπερηφάνων λόγον ζωῆς· παρὰ δὲ ὕβρις κον
τὸν θεόν· καὶ εὖξαι μοι ὅτι πολλὰς ἔχω ἁμαρτίας· ἕως τούτου καὶ μὴ λαλήσῃς
ἕτερον λόγον· ἐὰν μὴ ἐπερωτηθῇς· ἐὰν εἴπῃ σοι ἀδελφὸς μυστήριον· καὶ
ἄλλος ὁρκίσῃ σε τοῦ εἰπεῖν αὐτῷ τὸ πρᾶγμα· μὴ ἐξάξῃς τὸ μυστήριον τοῦ
ἀδελφοῦ· καὶ μὴ φοβηθῇς τὸν ὅρκον αὐτοῦ· αὐτὸς γὰρ ἔχει τὸ κρίμα τοῦ ὅρκου
ἐὰν μὴ ἔχῃς κατάνυξιν· γίνωσκε ὅτι κενοδοξίαν καὶ γαστριμαργίαν ἔχεις·
αὗται γὰρ οὐ καθιστῶσι τὴν ψυχὴν κατανυγῆναι· ἐὰν λάβῃ σοι ἡ χρεία τοῦ
σώματος μὴ εἴπῃς ἀνθρώποις δοῦναί σοι· ἀλλὰ μᾶλλον ἐπὶ κύριον τὴν φροντίδα σου
ἐπίρριψον καὶ αὐτός σε διαθρέψει· ἐπεὶ ὁ ἀφίων τὸν θεὸν καὶ ζητῶν παρὰ
ἀνθρώπων· οὐ πιστεύει ὅτι δύναται ὁ θεὸς φροντίσαι αὐτοῦ· ἐὰν ἀφ' ἑαυτοῦ δῷ
σοι ἄνθρωπος ἀγάπην· καὶ χρήζεις· λάβε· εἰ δὲ οὐ χρήζεις· μὴ δέξῃ ὅλως· τά-
χα γὰρ ὅσα ἂν μάτην παραλάβῃς· ἵνα λάβῃς εἴ που χρήζεις· ἐὰν ἐπαινέσῃ
σοι ἄνθρωπος εἰς πρόσωπον· μνήσθητι εὐθὺς τὰς ἁμαρτίας σου· καὶ παρακά-
λεσον αὐτὸν λέγων· διὰ τὸν κύριον ἀδελφέ· μὴ ἐπαινέσῃς με· ὅτι ταλαίπω-
ρος εἰμὶ καὶ οὐ βαστάζω· εἰ δὲ μέγας ἄνθρωπός ἐστιν· εὖξαι τῷ θεῷ λέγων· κύριε σκέπα-
σόν με ἐκ τοῦ ἐπαίνου καὶ τοιούτων ἀνθρώπων· συνήθισον τοὺς ὀφθαλμούς
σου· μὴ βλέπειν εἰς σῶμα ἀλλότριον· ἀδύνατον μὴ εἰς τὸ ἴδιον·
ἐὰν χαρίσηταί σοι ὁ θεὸς πένθος· μὴ νομίσῃς ὅτι μέγα τι ποιεῖς· μακά-
ριος γάρ ἐστιν ὁ μὴ χωρίζων τὸ πένθος· πλὴν ἐὰν ἴδῃ ὁ θεὸς ἄνθρωπον ὅτι
καυχᾶται ἡ καρδία αὐτοῦ ἐπὶ τοῖς δάκρυσιν αὐτοῦ· καὶ λοιπὸν μένῃ
ἡ καρδία αὐτοῦ ὡς λίθος σκληρὰ καὶ ἀπόλλυται· ἐὰν πολεμῇ σε ἡ ψυ-
χή σου εἰς πολλὰ βρώματα· τέμνε αὐτὴν καὶ εἰς αὐτὸν τὸν ἄρτον· ἵ-
να παρακαλέσῃ κἂν ἄρτου χορτασθῆναι· ἐὰν ἐρωτᾷς τοὺς πρεσβυτέρους
καὶ ἀκούσῃς παρ' αὐτῶν καὶ παρὰ τῆς γραφῆς τὸν λόγον τοῦ θεοῦ· σπούδασον
ποιῆσαι ἅτινα ἀκούεις· κἂν πρὸς χρόνον ῥαθυμήσας μὴ ἐργάσῃ· μὴ
ἀπογνῷς διὰ τὸ ἐρωτᾶν· ὅταν γὰρ ἐρωτῶμεν καὶ ἀκούομεν· καὶ παρακούομεν
κἂν κατακρίνῃ ἑαυτὸν καὶ ταπεινοῦται· καὶ εὑρίσκει ἐκ τούτου μικρὸν ἔλεος

ὁ δὲ μὴ ἐρῶν τούτων· οὐδὲ ἀκούει οὐδὲ παρακούει· οὐδὲ ταπεινοῦται οὐδὲ χάριν
καὶ ἔλεος· ὥσπερ γὰρ ἄρρωστος πονῶν τὸν ἑαυτοῦ στόμαχον· καὶ πολλῶν βρω-
μάτων διδομένων αὐτῷ ἀηδίζεται· ὕστερον δὲ εὑρίσκεται ἐν βρώμασι
καὶ δέχεται αὐτὸν ἡδέως καὶ φαγὼν ὑγιαίνει· οὕτως ἐστὶ καὶ ἡ ψυχὴ ὀκνηρῶν
πολλάκις ἀκούουσα παρακούει· ἀλλὰ πάντως διὰ τοῦ χρόνου αἰσχύνε-
ται· καὶ εἰκότως χάριν καὶ ἐν πράγμασι καὶ ἀρέσκει αὐτῇ· καὶ ποιεῖ αὐτὸ καὶ σώζεται
δι' αὐτοῦ· ἐὰν ἐμπέσῃς εἰς πορνείαν· καὶ ἔστιν ἔτι σοι τοσοῦτον πρόσω-
πον ὅπου ἔπεσας· ἀναχώρησον ἐκ τοῦ τόπου ἐκείνου· ἐπειδὴ μεθ' αὐ-
μονῆς· ἐὰν ἴδῃς τοῖς ὀφθαλμοῖς σου τὸν ἀδελφόν σου πίπτοντα· ἀθετῶν εἰ-
πέ· ἀνάθεμά σοι σατανᾶ· ὁ ἀδελφός σου πρᾶγμα οὐκ ἔχει· καὶ ἀσφάλι-
σαι τὴν καρδίαν σου τοῦ μὴ κρῖναι τὸν ἀδελφόν σου· ἐπειδὴ ἀναχωρεῖ τὸ
πνεῦμα τὸ ἅγιον ἀπὸ σοῦ· ἐὰν καταλαλήσῃ ἀδελφὸς ἀδελφὸν ἔμπροσθέν σου
βλέπε μὴ διατεθῇς αὐτὸν καὶ ἁμαρτήσῃς· καὶ οὕτως ἔστιν· ἀλλ' ἢ σιώπα· ἢ εἰ-
πὲ αὐτῷ· ὅτι ἔστω ἀδελφὲ κατὰ τὶ κεκρυμμένος εἰμί· καὶ οὐ δύναμαι κρῖναι
ἄλλον· καὶ σώζεις καὶ σεαυτὸν καὶ ἐκεῖνον· ἐὰν ἀθετήσῃς καὶ αἰτήσῃς τι πρᾶγμα
εἰς χρείαν σου καὶ μὴ δώσει σοι· μὴ θλιβῇς κατ' αὐτοῦ· ἀλλὰ μᾶλλον εἰπέ· ὅ-
τι οὐκ ἤμην ἄξιος λαβεῖν· ἐπληροφόρησεν ὁ θεὸς τὸν ἀδελφὸν δοῦναί μοι ἀγάπην
τίμως κεδέ· ὅτι τρεῖς τάξεις εἰσίν· περὶ τοῦ λαβεῖν ἀγάπην· οἱ τέλειοι ἀπέ-
κηνται· οὐ ταχὺ ἐδέχοντο παρά τινος πρᾶγμα τὸ σύνολον· οἱ μέσοι· οὐ λέ-
γουσιν τινὶ δίδου μοι τί ποτε· ἃ δὲ ἀφ' ἑαυτοῦ τις δώσει· δέχονται ὡς ἀπὸ
θεοῦ πεμφθέντα· οἱ δὲ ἀσθενεῖς ὁμολογοῦμεν καὶ οὐκ ἰσχύομεν ἐργάσασθαι τὴν χρείαν
ἑαυτῶν· αἰτοῦσι μὲν μετὰ πολλῆς ταπεινώσεως μεμφόμενοι ἑαυτοὺς δι-
απαντός· ἐὰν ἴδῃς ὅτι πρὸς χρόνον ὁ θεὸς ἐδωρήσατό σοι κατάνυξιν· τῷ
καιρῷ ἐκείνῳ καταφρόνησον καὶ τοῦ ἔργου χάριν σου· ἐὰν ἴδῃς ὅτι σφε-
ρασοι· καὶ σχόλασον εἰς τὸ πένθος· μή πως ἐπειδὴ ἐστὶν ἡ ἡμέρα τῆς ἐξό-
δου σου· καὶ διὰ τοῦτο ἐχαρίσατό σοι ὁ θεὸς τὸ κλαίειν· ἵνα δι' αὐτοῦ εὕρῃς μικρὸν
ἔλεος· ὥσπερ γὰρ ὁ σατανᾶς εἰς τὸ τέλος τοῦ ἀνθρώπου σπεύδει ἀπολέσαι
αὐτόν· οὕτως καὶ ὁ θεὸς πολλάκις ἐπὶ τὸ τέλος τοῦ ἀνθρώπου διά τινος προφάσεως τι-
μὸς σώζει αὐτόν· ἀμιαντὸς ἀπὸ τοῦ ὑπομονοῦ· εὐθέως πρὸς τὸ
λόγῳ· δοξάσατε τὸ ὄνομα σου τὸν θεόν· καὶ ἄρξηται εἰς ἡμέραν θεοῦ καὶ ὀφθαλμοῖς

εἴ τι γὰρ προλάβῃ ἀπὸ πρωῒ ὁμοίως ὥσπερ μύλος ἀλήθει ὅλην τὴν ἡμέ-
ραν· ἢ σῖτον ἢ ζιζάνια· διὸ προλάβε ἀεὶ πάντοτε καὶ βάλλε τὸν σῖτον
πρὶν ὁ ἐχθρὸς βάλλῃ τὰ ζιζάνια· ἐὰν ἴδῃς φαντασίαν γυναικῶν ἐν τοῖς
ὕπνοις· ἀγωνίσαι μὴ ἐνθυμηθῆναι αὐτὰ τὴν ἡμέραν· θάνατος γάρ φησι τῆς ψυ-
χῆς καὶ ἀφανισμός· ἀνακείμενος ἐν τῇ κλίνῃ σου· μιμνησκόμενος τούτων
φοβοῦ λέγων· ὅτι ἄρα ἐγείρομαι εἰς τὴν αὔριον ἢ οὔ· καὶ εὔχεσθαι πρὸ τοῦ ὕ-
πνου ἐκτενῶς· καὶ ἱστάμενος καὶ ἀνακείμενος πρόσεχε σεαυτῷ· μὴ
λογίσῃ ποτὲ πονηρόν· μηδὲ ἐνθυμηθῇς ὅλως γυναικός. κἂν ἴδῃς ἄλλα ἔστιν
ἀλλὰ μᾶλλον εὐχόμενος ἀφύπνωσον· εἴ τι γὰρ λογίζεται ἄνθρωπος· τὸ αὐτὸ
τὴν νύκτα ἐνεργάζεται εἴτε ἀγαθὸν εἴτε κακόν· πάντα γάρ φησιν ἐπὶ τὸ
αὐτὸ ἐν τῇ κλίνῃ· παρακάθηνται γὰρ αὐτῷ ἐν τῇ κλίνῃ μὴν ἡμέραι γυναι-
κῶν· καὶ φασὶν ἄγγελοι πρὸς καρτεροῦντα τὸν μοναχόν· καὶ δι' αὐτοῦ τοῦτο
πεπαγιωμένοι εἰς τὸ φυλάττειν αὐτόν· ὅταν ἀπειθῇ σοι ἡ καρδία σου ἐν νυ-
κτὶ ἢ ἐν ἡμέρᾳ ἀναστῆναι· γίνωσκε ὅτι ὁ ἄγγελος ὁ παρακείμενός σοι
αὐτὸς ἐπιμελεῖται σοι ἀναστῆναι· καὶ σοῦ ἀγωνιζομένου αὐτὸς συμπα-
ρίσταται καὶ συνεύχεταί σοι· ἀποδιώκων ἀπὸ σοῦ τοὺς δαίμονας· τοὺς
βρύχοντας κατὰ σοῦ τοὺς ὀδόντας· εἰ δὲ παρακούσῃς αὐτοῦ καὶ ὀκνήσῃς
ἀναστῆναι· λοιπὸν καὶ αὐτὸς ἀναχωρεῖ ἀπὸ σοῦ· καὶ τότε ἐμπίπτεις εἰς τὰς
χεῖρας τῶν ἐχθρῶν σου· ἐὰν μὴ ἔχῃς ταπείνωσιν πνευματικὴν κτῆσαι
κἂν σωματικήν· ἐπεὶ ματαίως κοπιᾷς· διὰ γὰρ τῶν σωματικῶν ἔρ-
χονται καὶ τὰ πνευματικά· ἐὰν ἔχῃς ἀγάπην μετὰ παιδίου ἢ νεωτέρου·
καὶ σκανδαλίζονταί τινες ἐπὶ τῇ ἀγάπῃ ὑμῶν κόψον ἑαυτὸν ἀπ' αὐτοῦ
ἐὰν ἔστιν σοι ἀγάπη τοῦ ὡς ἡ κόρη ὀφθαλμοῦ· καὶ ἀπόρριψον καὶ φύλαξον
ἑαυτὸν ἐν τῷ λόγῳ τούτῳ· ἐὰν ἐργάζῃ ἐργόχειρον ἐν τῷ κελλίῳ σου· καὶ
ἔλθῃ ἡ ὥρα τῆς εὐχῆς σου· μὴ εἴπῃς πληρώσω πρῶτον τὸ μικρὸ θαλλίον μου·
εἰ τὸ μικρὸν πολλάκις καὶ εἶθ' οὕτως ἐγείρομαι· ἀλλὰ ἀνάστα ἑκάστῃ ὥρᾳ
καὶ ἀπόδος τῷ θεῷ τὸ χρέος τῆς εὐχῆς σου· ἐπεὶ κατὰ μικρὸν συνηθίζεις
ἀμελεῖν τῆς εὐχῆς σου καὶ τῆς λειτουργίας σου· καὶ γίνεται ἔρημος ἡ ψυχή
σου· ἑκάστου ἔργου καὶ πνευματικοῦ καὶ σωματικοῦ· ἀπὸ προφάσεως γίνεται ἡ
προθυμία· ἐὰν παραβάλῃς τῷ ποτε· μὴ θελήσῃς δέξασθαι τὴν

πολιτείας σου· ἢ ὅτι οὐ τρώγω ἔλαιον ἢ ἐπίτιμον ἢ ὀψάριον· μόνον δὲ τὸν
οἶνον μὴ καταλύσῃς· ἐὰν φοβῆσαι τὸν πόλεμον· καὶ μέτρον πέντε τι-
μῶν· μὴ μελετήσῃς οἱ· ἐὰν ἐστὶν τὸ σῶμά σου ἀσθενῶν· πρὸς αὐτὸ ποίησον
καὶ τὴν χρείαν σου· μὴ πως πέσῃ εἰς ἀσθένειαν· καὶ μέλλεις ζητεῖν βρώματα
καὶ βαρεῖν τὸν διακονοῦντά σοι· ἐὰν ὀχλῶσίν σοι ῥυπαροὶ λογισμοί· μὴ
κρύψῃς αὐτούς· ἀλλ᾽ εὐθέως εἰπὲ αὐτοὺς τῷ πατρί σου τῷ πνευματικῷ· καὶ ἐλέγχου
αὐτούς· ὅσον γὰρ κρύβει ἄνθρωπος τοὺς λογισμοὺς αὐτοῦ· τοσοῦτον πληθύνου-
σιν καὶ [illegible]· ὥσπερ γὰρ ὄφις· ἐὰν ἐξέλθῃ ἀπὸ τοῦ
φωλεοῦ φεύγει· οὕτως καὶ ὁ πονηρὸς λογισμός· φανερούμενος εὐθέως ἀπό-
λυται· καὶ ὥσπερ σκώληξ εἰς ξύλον· οὕτως ὁ πονηρὸς λογισμὸς ἀφανίζει καρ-
δίαν· ὁ φανερῶν τοὺς λογισμοὺς αὐτοῦ· ταχέως θεραπεύεται· ὁ δὲ ἀποκρύ-
πτων αὐτοὺς ὑπερηφανίαν νοσεῖ· ἐὰν γὰρ οὐ πληροφορῆσαι ἐπιτιμᾶ·
τοῦ ἀναγγεῖλαι αὐτῷ τοὺς πολέμους σου· σημεῖόν ἐστιν τοῦ ὅτι ταπεί-
νωσιν οὐκ ἔχεις· ὁ γὰρ ταπεινόφρων· πάντας ἡγεῖται καὶ καλλίους θεω-
ρεῖ· ἑαυτὸν δὲ μόνον ἁμαρτωλὸν βλέπει· πλὴν ἐὰν ἐξ ὅλης καρδίας
ἐπικαλέσηται ἄνθρωπος τὸν θεόν· καὶ ἀπέλθῃ ἐπερωτῆσαι ἄνθρωπον περὶ τῶν
ἑαυτοῦ λογισμῶν· ἀποκρίνεται αὐτῷ ὁ ἄνθρωπος· μᾶλλον δὲ ὁ θεὸς διὰ τοῦ
ἀνθρώπου τὰ συμφέροντα· ὁ ἀνοίξας τὸ στόμα τῆς ὄνου ἐπὶ τοῦ βαλαὰμ
κἂν ἀνάξιός ἐστιν· καὶ ἁμαρτωλὸς ὁ ἐρωτώμενος· ἐὰν στῇ μὲν τῷ τόπῳ
ὅπου οἰκεῖς μὴ κινῆται· ἀπέρχου ὡς ἔχεις καὶ καταμόνας τοῖς κε μόνοις
ἐκεῖ· μάλιστα ἐν τῷ καιρῷ τοῦ πολέμου τῆς σαρκός· καὶ ὅταν μάθῃς· ὅ-
τι ἀδελφὸς ὑπάγει πρὸς κύριον· πορεύου καὶ παράμεινον ἐκεῖ· ὅπως θεά-
σῃ πῶς ἡ ψυχὴ τοῦ σώματος χωρίζεται· ἐὰν βαρηθῇς πρὸς ὥραν ἀπὸ
βρωμάτων· ἐπίδος σεαυτὸν πρὸς μόχθον τοῦ σώματος· ἵνα ἀπὸ τοῦ
μυκτῆρος ἐλαφρυνθῶσιν ἀπό σου· καὶ μὴ ἴδῃς φαντασίας κακάς· καὶ γε-
νοῦ ὡς παλαιστής τις καλὸς πρὸς τὸν διάβολον· καὶ ἐὰν τύψῃς ἔνθεν·
τύψον αὐτὸν καὶ οὐκ ἔνθεν· ἐὰν κρατήσῃς διὰ βρωμάτων· κράτησον αὐτὸν
διὰ ἀγρυπνίας· καὶ ἐὰν βαρήσῃς ὕπνῳ· σύντριψον αὐτὸν κόπῳ σωμα-
τικῷ· ἀδελφὲ πληρώσῃς εἰς κενοδοξίαν· ποίησον πρᾶγμα ἢ σχῆμα
ἔμπροσθεν τῶν ἀνθρώπων· ἵνα ἀτιμάσωσίν σε· τοῦτο γὰρ γίνωσκε· ὅ-
τι εἰς οὐδὲν ἄλλο θλίβεται ὁ σατανᾶς· ὡς ὅταν ἄνθρωπος τὴν ταπείνωσιν

καὶ τὴν μαρτυρίαν ἐπιποθήσῃς· ἐὰν ἀκμὴν ἦν νεώτερος ᾖ· φεῦγε τὸν οἶνον
ὡς ὄφιν· κἂν ἐν ἀγάπῃ μικρὸν ποιήσῃς παῦσον· κἂν ὁρκίζωσί σε
οἱ καλέσαντές σε καὶ ποιοῦσί σοι μετάνοιαν· μὴ πρόσχῃς τοῦ ὅρκου
αὐτῶν· πολλάκις γὰρ ὁ σατανᾶς ὑποβάλλει τοῖς μοναχοῖς ἀναγκάσαι
τοὺς νεωτέρους εἰς οἶνον· οἶδε γὰρ ὅτι οἶνος καὶ γυναῖκες· χωρίζουσι μα-
θητὰς τοῦ θεοῦ· ἐὰν κρατηθῇς διὰ τὴν ἀγάπην· καὶ βάλλουσί σε εἰς τὸν ἐλάχιστον
τόπον· μὴ τὸ σύνολον λογισμὸς σου· ἀλλὰ λέγε ὅτι οὐδὲ ὧδε εἰμὶ ἄξιος·
τοῦτο γὰρ λέγω σοι· ὅτι οὐδεμία θλῖψις ἔρχεται τῷ ἀνθρώπῳ· εἰ μὴ ἄνωθεν ἐκ
θεοῦ προσδόκιμον καὶ πρὸς τὰς ἁμαρτίας αὐτοῦ· καὶ ὁ μὴ κρατῶν οὕτως· οὐ
πιστεύει ὅτι ὁ θεὸς δίκαιος κριτής ἐστιν· ἐὰν ὑπάγῃς ἐρωτῆσαι περὶ
περὶ τῶν λογισμῶν σου· εὖξαι πρῶτον τὸν θεὸν καὶ εἰπέ· κύριε ὅ τι κελεύεις
δὸς διὰ τὸ στόμα τοῦ γέροντός μου ἵνα μὴ ἀπατηθῶ· ἔσω γὰρ ὡς ἐκ τοῦ στόματός σου
ἀκούω κυρίου τὰ παρ' αὐτοῦ· στήριξον αὐτὸν κύριε διὰ τὴν ἀλήθειάν σου· τοῦ ἀκοῦ-
σαί με δι' αὐτοῦ τὸ θέλημά σου· καὶ οὕτως ὃ ἐὰν εἴπῃ σοι ὁ πατήρ· φύλαξον μετ'
ἀσφαλείας καὶ φόβου· ἐὰν πέσῃς εἰς ἁμαρτίαν· καὶ ἐπιστρέψῃς ἐξ αὐτῆς· καὶ
ἄρξῃ διὰ λύπην καὶ διὰ μετάνοιαν· βλέπε μὴ πως ἀπὸ λύπης μόνος καὶ ἀεὶ μάζων
πρὸς κύριον· ἕως ἡμέρας θανάτου σου· ἐπεὶ πάλιν ταχὺ δι' αὐτὸν τὸν βόθρον
ἐμπίπτεις· ἡ γὰρ κατὰ θεὸν λύπη· χρήσιμός ἐστι τῆς ψυχῆς· μὴ ἐῶν αὐτὴν
πεσεῖν· ὅταν ἴδῃ ὁ σατανᾶς τὸν θεὸν ἐλεοῦντά σε· καὶ δίδωσι τὴν κατάνυξιν
τῇ ψυχῇ σου· τότε ὑποβάλλει σοι ἔργον διὰ τὸ κελλίον σου ἀναγκαῖον λέγων
καὶ μετὰ τοῦτο σήμερον· ὅτι χρεία αὐτοῦ ἐστίν· ἢ ὅτι ὕπαγε παράβαλε πρὸς
τὸν δεῖνα· ὅτι ἀσθενεῖ· πάντα δὲ ταῦτα ποιεῖ ἵνα μὴ ἀφήσῃ σε σχολάσαι
καὶ ἀπολαῦσαι τῆς γλυκύτητος τοῦ θεοῦ· ἐὰν δὲ νοήσῃς τὸν δόλον τοῦ σα-
τανᾶ· καὶ φυλάξῃς σεαυτὸν καὶ σχολάσῃς τῇ εὐχῇ μετὰ κατανύξεως·
εὐθέως προσδόκησον πειρασμόν· ἢ ἐξ ἀνθρώπων ἢ ἐκ δαιμόνων· ὅταν ὁ σατα-
νᾶς τότε πολεμεῖ τὸν ἄνθρωπον κακῶς· ὅταν πολεμεῖ αὐτὸν ὁ ἄνθρωπος καλῶς·
ὁ θυμὸς δὲ πλέον πάντων ἀφανίζει τὴν κατάνυξιν καὶ τὴν ταπείνωσιν
τῆς ψυχῆς· ἔστι δὲ ὅτε καὶ καθεζομένου σου περικυκλοῦσί σε οἱ λογισ-
μοὶ καὶ οἱ δαίμονες· εὐθέως ἀνάστα εὖξαι· καὶ περιπάτησον ἐπὶ τὰ ἔ-
ξω· καὶ ἅμα σκορπίζονται ἀπὸ σοῦ· ἀγάπησον τὴν πτωχείαν πο-

λυ· καὶ μὴ θέλε ἔχειν λεπτὸν ὕφασμα ἐν τῷ κελλίῳ σου· ὅτε γὰρ ζητήσει πρᾶγμα
ἡ ψυχὴ καὶ μὴ εὑρίσκει, τότε μάλιστα ταπεινοῦται· καὶ τότε παρακαλεῖ αὐτὴν ὁ θεὸς
καὶ δίδει αὐτὴν κατάνυξιν· καὶ ἐπὰν γεύσεται ἡ ψυχὴ τῆς γλυκύτητος τοῦ θεοῦ
μισεῖ λοιπὸν σχεδὸν καὶ αὐτὸ τὸ ἱμάτιον ὃ φορεῖ· καὶ αὐτὸ τὸ σῶμα αὐτῆς.
τοῦτο γὰρ λέγω σοι τέκνον· ὅτι ἐὰν μὴ μισήσῃς τὸ ἴδιον σῶμα ὡς ἐχθρὸν
καὶ ἀντίδικον· ἐν μηδενὶ ποιῶν τὴν θεραπείαν αὐτοῦ ἕως μικροῦ· οὐ
μὴ δυνηθῇς ἐλευθερωθῆναι ἐκ τῆς παγίδος τοῦ διαβόλου· ἡ γὰρ παγὶς τοῦ
διαβόλου πρὸς τὸν ἄνθρωπον καὶ μάλιστα νεώτερον· τὸ σῶμα ἡμῶν ἐστιν· κα-
θὼς καὶ ὁ ἀββᾶς Ἡσαΐας παρήγγελλε λέγων· μὴ κρατήσῃς χεῖρα τινός·
μηδὲ ἐγγίσῃς σῶμα ἀλλότριον ἐκτὸς ἀνάγκης μεγάλης· καὶ τοῦτο μετὰ φό-
βου· μηδὲ προσεγγίσῃ σοι χεὶρ ἀλλοτρία· μηδὲ περισημηνήσῃς· μηδὲ
εἴπῃς ποτέ τινι ἆραι φθεῖρα ἀπὸ τοῦ πώγωνος ἢ τῆς κεφαλῆς σου·
ἢ ἐκ τοῦ ἱματίου σου· μηδὲ συγκοιμηθῇς πλησίον τινὸς τὸ σύνολον μέ-
λη τῇ ζωῇ σου· μηδὲ δώσῃς ἀσπασμὸν παιδίῳ· μὴ ἔχων τι ἔμφοβον· μηδὲ
ἐν αὐτῇ τῇ ἐκκλησίᾳ· μηδὲ ἐρχόμενος ἀποξένης· μηδὲ συγγελάσῃς παιδίῳ
ἵνα μή σου ἀπόληται ἡ ψυχή· μηδὲ πλησίον αὐτοῦ καθίσῃς ἢ περιπα-
τήσῃς· ἢ ἐγγίσητε ἀλλήλοις· μηδὲ ἐν ταῖς χρείαις τῆς γαστρός σου· συγκαθή-
σῃς ὅλως μετὰ ἑτέρου· ὁ γὰρ ἀληθινὸς εὐλαβὴς αἰσχύνεται καὶ ἑαυτόν· πο-
λλοὶ γὰρ καταφρονήσαντες τῶν τοιούτων πραγμάτων τούτων ὡς μηδαμινῶν· ἔπεσαν ἐ-
ξ αὐτῶν εἰς βόθρον καὶ ἀπώλοντο· ἕκαστον γὰρ μέγα κακὸν ἀπὸ μικροῦ
ἄρχεται· καὶ τότε γίνεται μέγα· ὁ δὲ κύριος ἐπισκέψηται ἡμᾶς εἰς τὸν φόβον
αὐτοῦ ἀμήν :

Εἴπερ γὰρ ἔπαρον τοὺς πειρασμούς· καὶ οὐδεὶς σωθῇ· ὅταν γὰρ φεύγωμεν πειρασμὸν ἐπω-
φελῆ· φεύγομεν ζωὴν αἰώνιον· τοὺς γὰρ στεφάνους τοῖς ἁγίοις οἱ πειρασμοὶ
προεξένησαν·

Διηγήσατο ὁ ἀββᾶς Δανιὴλ ὁ σκητιώτης· ὅτι ἀ-
δελφός ποτε ἐν Αἰγύπτῳ διάγων· περιεπάτει ἐν ὁδῷ· καὶ ἑσπέρας αὐτὸν
καταλαβούσης· ἀνῆλθεν εἰς μνημεῖον κοιμηθῆναι διὰ τὸ ψῦχος· καὶ
παρερχόμενοι δαίμονες· λέγει ὁ εἷς πρὸς τὸν ἕτερον· βλέπεις πόσον
θάρσος ἔχει ὁ μοναχὸς οὗτος· ὅτι εἰς τὸ μνημεῖον κοιμᾶται· ἔλθε σιάλω-
μεν αὐτόν· καὶ ἀπεκρίθη ὁ ἄλλος· τί θέλομεν σιαλῶσαι αὐτόν· οὗτος ἡμέ-

τέρος ἐστὶν· ποιοῦν τὰ θελήματα ἡμῶν· πρὸς τὸν μὲν ἐπὶ μόνον καὶ κατ᾽ ἀλλήλων·
καὶ τῆς συνάξεως ἀμελοῦν· μᾶλλον ἂν θεοῦ ἐξαρτούμενοι εἰς τοῦτον· ἀγωνιζόμενοι
ἀθλοῦμεν τοὺς θλίβοντας ἡμᾶς· καὶ διὰ τῆς εὐχῆς· πολεμοῦντας
ἡμᾶς νύκτα καὶ ἡμέραν. Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος· ἴδον πά-
σας τὰς παγίδας τοῦ ἐχθροῦ ἡπλωμένας ἐπὶ τῆς γῆς· καὶ στενάξας εἶπον·
τίς ἄρα παρέρχεται ταύτας· καὶ ἤκουσα φωνῆς λεγούσης μοι· ὅτι ἡ ταπεινοφροσύνη +
λέγον περὶ τοῦ ἀββᾶ Ἀρσενίου· ὅτι ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ·
καθεζόμενος εἰς τὸ ἐργόχειρον αὐτοῦ· ῥάκκος εἶχεν ἐν τῷ κόλπῳ· χάριν
τῶν δακρύων τῶν πιπτόντων ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.
Εἰσῆλθέν ποτε ὁ ἀββᾶς Ἀγάθων εἰς τὴν πόλιν· πωλῆσαι μικρὰ σκεύη
καὶ εὑρίσκει ἄνθρωπον λελωβημένον παρὰ τὴν ὁδόν· λέγει αὐτῷ ὁ λελωβη-
μένος· ποῦ ὑπάγεις· λέγει αὐτῷ ὁ ἀββᾶς Ἀγάθων· εἰς τὴν πόλιν· πωλῆ-
σαι σκεύη· λέγει αὐτῷ· ποίησον ἀγάπην ἆρόν με ἐκεῖ· καὶ βαστάσας αὐ-
τὸν· ἀπήνεγκεν εἰς τὴν πόλιν· λέγει αὐτῷ· ὅπου πωλεῖς τὰ σκεύη
ἐκεῖ με θές· ἐποίησεν δὲ οὕτως· καὶ ὅτε ἐπώλησεν σκεῦος, ἔλεγεν αὐτῷ
ὁ λελωβημένος· πόσου ἐπώλησας αὐτό· καὶ ἔλεγεν τόσου· καὶ ἔλεγεν·
ἀγόρασόν μοι πλακοῦντιν· καὶ ἠγόραζεν· καὶ πάλιν ἐπώλησεν ἄλλο σκεῦος
καὶ ἔλεγεν· καὶ τοῦτο πόσου· καὶ ἔλεγεν τόσου· καὶ λέγει αὐτῷ· ἀγόρασόν μοι
τόδε· καὶ ἠγόραζεν· μετὰ οὖν τὸ πωλῆσαι ὅλα τὰ σκεύη καὶ θέλειν ἀπελ-
θεῖν· λέγει αὐτῷ ὁ λελωβημένος· ὑπάγεις· λέγει αὐτῷ· ναί· ποίησον
ἀγάπην καὶ ἆρόν με ὅπου με εὗρες· καὶ βαστάσας αὐτὸν· ἤνεγκεν εἰς
τὸν τόπον αὐτοῦ· καὶ λέγει αὐτῷ· εὐλογημένος εἶ Ἀγάθων ὑπὸ κυρίου· ἐν
οὐρανῷ καὶ ἐπὶ γῆς· καὶ ἄρας τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐδένα εἶδεν· ἦν γὰρ
ἄγγελος κυρίου ἐλθὼν δοκιμάσαι αὐτόν.
Εἶπεν ὁ ἀββᾶς Βησαρίων· ὅτι τεσσαράκοντα ἔτη· οὐκ ἔθηκα ἐμαυτὸν
ἐπὶ πλευρόν· ἀλλὰ καθήμενος ἢ ἑστὼς ἐκοιμώμην· διηγήσαντο
οἱ μαθηταὶ τοῦ ἀββᾶ Βησαρίωνος τὸν βίον αὐτοῦ οὕτως εἶναι ὥσπερ
ἓν τῶν ἀερίων πτηνῶν· ἢ νηκτῶν ἢ χερσαίων ζώων· ἀταράχως
καὶ ἀμερίμνως· πάντα τὸν τῆς ζωῆς αὐτοῦ χρόνον διατελέσαντα·
οὐ γὰρ φροντὶς οἴκου παρ᾽ αὐτοῦ ἐμελετᾶτο· οὔτε τόπων ἐπιθυμία

κεκράτηκεν· καὶ ἔδοξεν τῆς τούτου ψυχῆς· οὐ κόρος τρυφῆς· οὐ κτήσεως οἰ-
κημάτων· οὐ βιβλίων περιφορά· ἀλλ᾽ ὅλος δι᾽ ὅλου τοῦ σώματος πα-
θῶν ἐφαίνετο ἐλεύθερος· ἐλπίδι τῶν μελλόντων τρεφόμενος· καὶ πιάσ-
ας ὁ χρώματι βεβηκώς· ἐκαρτέρει ὥσπερ αἰχμάλωτος· ὁ δ᾽ ἐκκλάκα-
σεν τῇ ψυχῇ καὶ τῷ σώματι τῷ διαγαπωμένῳ· καὶ τῇ φλογὶ τοῦ ἡλίου διακαιό-
μενος αἴθριος πάντοτε· κ(αὶ) ἐμμείνας εἰς ἐρημίαν ἑαυτόν· ὡς πλανώμενον
ὑπὲρ πατρός· καὶ πλανηθεὶς τῇ ἀμμοειδεῖ χώρᾳ οἰκήσεως· πολλάκις ἑαυτὸν ὡς
ἐν πελάγει φέρεσθαι εὐδοκήσας· ἡ δὲ σοφὴ φύσις ἐβίβασεν ἐν ὄρει τῷ ταπό-
πωμένῳ ἐλθών· ἔνθα οἱ τῆς ὁμοτρόπου ζωῆς μοναχοί· κοινὸν τὸν βίον
ἔχουσιν· ἔξω θυρῶν καθεζόμενος ἔκλαιεν· καὶ ὡς [illegible] κραυγάζουσι καὶ
πορείας· ὠδύρετο· εἶτα ἐξελθών τις τῶν ἀδελφῶν· λέγει τοῦτον ὡς
προσαιτεῖν· ἐμαυτὸν ἐν τῷ κόσμῳ πτωχὸν καθημένον· καὶ ἐρίσας
ἔλεγεν αὐτῷ· τί κλαίεις ἀββᾶ· ὁ δὲ ἐν τιμῇ ὁ τῶν ἀναγκαίων· καὶ παιδεύσωμεν
λήψῃ μόνον εἰσελθὼν ἔνδον· καὶ μὴ ὥσπερ ἡμῖν [illegible] ὡς παρὰ θε-
ίας τυχών· ὁ δὲ ἀπεκρίνατο μὴ δύνασθαι ὑποστῆναι μέχρι· πρὶν
ἀνεύρω τῆς οἰκίας τὴν ὕπαρξιν· ἀπολελωκέναι φήσας· πολλαῖς χρῆ-
ται διαφόροις τρόποις· καὶ γὰρ πειραταῖς περιπεσὼν καὶ ναυαγίῳ ἐλή-
φθην· καὶ τῆς εὐπραγίας μου ἐξέπεσον· ἄδοξος ἀπὸ ἐνδόξου γενόμενος· ὁ δὲ πρὸς
τὸν λόγον [illegible] εἰσελθὼν· καὶ τὸν ὅμοιον λαβὼν παρέσχε λέγων· λάβε τοῦτο πάτερ
καὶ τὰ ἄλλα ὅσα ἐλεήσωμεν· πατρίδα καὶ γένος καὶ πλοῦτον ὁμοῦ ἔφης· ὁ δὲ ἔ-
τι μᾶλλον πένθος ἔβρυξεν· ἐπιφθεγξάμενος· οὐκ οἶδας εἴπερ· εἶδον ἢ
θά [illegible]· ἅπερ ἀπολέσας· ἀλλ᾽ εἴ τις μᾶλλον χαρίσοι μοι κινδυνεύ-
σας καθ᾽ ἡμέραν ... θάνατον· ἀποχὴν οὐκ ἔχων· ἀπὸ τῶν ἁμαρτημάτων
ἐμοῖς μεροχθῶν· διὰ γὰρ ὥσπερ ἐχθρῶν ἀποπλανώμενος· πεπλασμένος τὸν δρόμον·

Λέγει ὁ ἀββᾶς Δανιήλ· ὅσον τὸ σῶμα θάλλει· τοσοῦτον ἡ ψυχὴ λεπτύνεται·
καὶ ὅσον τὸ σῶμα λεπτύνεται· τοσοῦτον ἡ ψυχὴ θάλλει·

Ἔλεγεν ὁ μακάριος Ἐπιφάνιος Κύπρου· ὅτι Δαβὶδ ὁ προφήτης ἐμα[illegible]
χᾶτο· μεσονύκτιον ἐξεγείρετο· πρὸ τοῦ ὄρθρου παρεκάλει· ὄρθρου παρίστα-
το· πρωῒ ἐδέετο· ἑσπέρας καὶ μεσημβρίας ἱκέτευεν· καὶ διὰ τοῦτο ἔλεγεν
ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε·

Εἶπεν πάλιν ἐπιφάνιος· ὅτι μεγάλη ἀσφάλεια τὸ μὴ ἁμαρτάνειν ἡ τῶν γραφῶν ἀνάγνωσις· εἶπεν πάλιν ὅτι μεγάλη προδοσία σωτηρίας τὸ μηδὲν τῶν θείων νόμων εἰδέναι· ἀδελφὸς ἠρώτησεν τὸν ἀββᾶν εὐπρέπιον λέγων· πῶς ἔρχεται ὁ φόβος τοῦ θεοῦ εἰς τὴν ψυχήν· καὶ εἶπεν ὁ γέρων· ἐὰν ἔχῃ ἄνθρωπος τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην καὶ τὸ μὴ κρίνειν, ἔρχεται αὐτῷ ὁ φόβος τοῦ θεοῦ εἰς τὴν ψυχήν· εἶπεν ἀββᾶς εὐάγριος· ἀρχὴ σωτηρίας ἡ ἑαυτοῦ κατάγνωσις.

Ἔλεγεν ὅτι κηπουρός τις ἐν κώμῃ καὶ πολλὰ ἐνήστευσεν· ὥστε ἐκκληθῆναι τὸ ὄνομα αὐτοῦ ὁ νηστευτής· ἀκούσας δὲ ὁ ἀββᾶς ζήνων περὶ αὐτοῦ, μετεκαλέσατο αὐτόν· ὁ δὲ ἀπῆλθεν μετὰ χαρᾶς· καὶ εὐξάμενοι ἐκάθισαν· ἤρξατο οὖν ὁ γέρων ἐργάζεσθαι σιωπῶν· μὴ εὑρίσκων δὲ λαλῆσαι μετ' αὐτοῦ ὁ νηστευτής, ἤρξατο ὀχλεῖσθαι ὑπὸ τῆς ἀκηδίας· καὶ λέγει τῷ γέροντι· εὖξαι ὑπὲρ ἐμοῦ ἀββᾶ, ὅτι ἀπελθεῖν θέλω· λέγει αὐτῷ ὁ γέρων· διατί· ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὅτι ἡ καρδία μου ὡς καιομένη ἐστίν, καὶ οὐκ οἶδα τί ἔχει· ὅτε γὰρ εἰμὶ εἰς τὴν κώμην, ἕως ὀψὲ νηστεύω· καὶ οὐδέποτε οὕτως μοι ἐγένετο· λέγει αὐτῷ ὁ γέρων· εἰς τὴν κώμην ἐκ τῶν ὠτίων σου ἐτρέφου· ἀλλ' ἄπελθε ἀπὸ τοῦ νῦν, καὶ ἔσθιε τὴν ἐννάτην· καὶ εἴ τι ποιεῖς, ἐν κρυπτῷ ποίει· καὶ ὡς ἤρξατο ποιεῖν, μετὰ θλίψεως ἔμεινεν τὴν ἐννάτην· καὶ ἔλεγον οἱ γνωρίζοντες αὐτόν· ὅτι ὁ νηστευτὴς ἐδαιμονίσθη· ἐλθὼν δὲ ἀνήγγειλεν τῷ γέροντι πάντα· ὁ δὲ εἶπεν αὐτῷ· αὕτη ἡ ὁδὸς κατὰ θεόν ἐστιν.

Εἶπεν ὁ ἀββᾶς ἠλίας· ὅτι τις γέρων ἔμενεν εἰς ἱερόν· καὶ ἦλθον οἱ δαίμονες λέγοντες αὐτῷ· ἄπελθε ἐκ τοῦ τόπου ἡμῶν· καὶ ὁ γέρων εἶπεν· ὑμεῖς οὐκ ἔχετε τόπον· καὶ ἤρξαντο σκορπίζειν αὐτοῦ τὰ βάια καθάπαξ· ὁ δὲ γέρων ἐπέμενεν αὐτὰ συλλέγων· ὕστερον δὲ ὁ δαίμων κρατήσας αὐτοῦ τὴν χεῖρα ἔσυρεν αὐτὸν ἔξω· ὡς δὲ ἔφθασαν τὴν θύραν, ὁ γέρων ἤρξατο κλαίειν· τῇ ἄλλῃ χειρὶ κατέσχεν τὴν θύραν κράζων· Ἰησοῦ βοήθησόν μοι· καὶ εὐθέως ὁ δαίμων ἔφυγεν· καὶ ὁ γέρων ἤρξατο κλαίειν· ὁ δὲ κύριος εἶπεν αὐτῷ· τί κλαίεις; λέγει ὁ γέρων· ὅτι τολμῶσι κρατῆσαι τὸν ἄνθρωπον καὶ οὕτως ποιῆσαι· εἶπεν δὲ αὐτῷ· σὺ ἠμέλησας· ὅτε γὰρ ἐζήτησάς με, ἴδε πῶς εὑρέθην σοι· ταῦτα λέγω ὅτι κόπου πολλοῦ χρεία· καὶ εἰ μὴ κόπος τις ἔμμενῃ, οὐ δύναταί τις ἔχειν τὸν θεὸν αὐτοῦ· αὐτὸς γὰρ δι' ἡμᾶς ἐσταυρώθη. Εἶπεν ὁ ἀββᾶς θεόδωρος

ὁ τῆς Φέρμης· ὅτι πάσας τὰς κοσμικὰς μετὰ ἁμαρτίας οὐδὲ δέεται εἰς τὴν πόλιν·

Ἀδελφὸς ἦλθεν πρὸς τὸν ἀββᾶ Θεόδωρον, ἐνέγκας καὶ τὴν σειρὰν αὐτοῦ· ἤ
ρξατο διδάξαι αὐτὸν ἐργασίαν· ὁ δὲ γέρων λέγει αὐτῷ· ὕπαγε καὶ πρωῒ ἔλθε ὧδε· καὶ
ἀναστὰς ὁ γέρων ἔβρεξε τὴν σειρὰν αὐτοῦ καὶ ἡτοίμασεν τὴν πρὸς καταραφὴν
λέγων αὐτῷ· οὕτως καὶ οὕτως ποίησον· καὶ ἀφῆκεν αὐτόν· καὶ εἰσελθὼν εἰς τὸ κελ
λίον αὐτοῦ ἐκάθησεν ὁ γέρων· καὶ εἰς τὴν ὥραν αὐτοῦ ἐποίησεν αὐτὸν φαγεῖν καὶ ἀπέ
πεμψεν. ἦλθεν δὲ πάλιν πρωῒ καὶ λέγει αὐτῷ ὁ γέρων· ἆρον τὴν σειράν σου
ἐντεῦθεν καὶ ἀναχώρει· εἰς πειρασμὸν γὰρ ἦλθες βαλεῖν με καὶ εἰς φροντίδας· καὶ
οὐκέτι ἀφῆκεν αὐτὸν ἔσω. Εἶπεν ὁ ἀββᾶς Θεωνᾶς· διὰ τὸ ἀποσ
χοληθῆναι τὸν νοῦν ἀπὸ τῆς τοῦ Θεοῦ θεωρίας, αἰχμαλωτιζόμεθα ὑπὸ τῶν
παθῶν τῶν σαρκικῶν. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος· ἀγωνίσασθε εἰ
σελθεῖν διὰ τῆς στενῆς πύλης· ὃν τρόπον γὰρ τὰ δένδρα, ἐὰν μὴ λάβωσι
χειμῶνας καὶ ὑετούς, καρπὸν φέρειν οὐ δύνανται· οὕτως καὶ ἡμῖν ὁ αἰὼν
οὗτος χειμών ἐστι· καὶ ἐὰν μὴ διὰ πολλῶν θλίψεων καὶ πειρασμῶν, οὐ δυνησόμε
θα τῆς βασιλείας τῶν οὐρανῶν γενέσθαι κληρονόμοι. Ἔλεγε πάλιν ἡ
αὐτή· ὅτι οὐκ ἄσκησις, οὔτε ἀγρυπνία, οὔτε παντοῖος κόπος σώζει, ἢ μὴ ἡ
γνησία ταπεινοφροσύνη. ἦν γάρ τις ἀναχωρητὴς ἀπελαύνων δαίμονας,
καὶ ἐξήταζεν αὐτούς· ἐν τίνι ἐξέρχεσθε; ἐν νηστείᾳ; καὶ ἔλεγον· ἡμεῖς οὔτε ἐσ
θίομεν, οὔτε πίνομεν. ἐν ἀγρυπνίᾳ; καὶ ἔλεγον· ἡμεῖς οὐ κοιμώμεθα.
ἐν ἀναχωρήσει; καὶ ἔλεγον· ἡμεῖς εἰς τὰς ἐρήμους διάγομεν. ἐν τίνι οὖν
ἐξέρχεσθε; καὶ ἔλεγον· ὅτι οὐδὲν ἡμᾶς νικᾷ, εἰ μὴ ταπεινοφροσύνη.

Ἀδελφὸς ἠρώτησεν τὸν ἀββᾶ Ἰωσὴφ λέγων· ὅτι θέλω ἐξελθεῖν ἀπὸ τοῦ κοι
νοβίου καὶ καθίσαι κατὰ μόνας· καὶ λέγει αὐτῷ ὁ γέρων· ὅπου βλέπεις τὴν ψυχήν
σου ἀναπαυομένην καὶ μὴ βλαπτομένην, κάθισον. λέγει αὐτῷ ὁ ἀδελφός·
καὶ εἰς κοινόβιον ἀναπαύομαι καὶ κατὰ μόνας· τί οὖν θέλεις ποιήσω; λέγει αὐ
τῷ ὁ γέρων· εἰ ἀναπαύῃ εἰς τὸ κοινόβιον καὶ κατὰ μόνας ἀναπαύῃ, ποίησον τοὺς
δύο λογισμούς σου ὡς ἐν ζυγῷ· καὶ ὅπου βλέπεις ὅτι μᾶλλον ἐκεῖ ὠφελεῖται καὶ κερ
δαίνει ὁ λογισμός σου, τοῦτο ποίησον. Συνήχθησαν ἀδελφοί πο
τε πρὸς τὸν ἀββᾶ Ἰωσήφ· καὶ καθημένων αὐτῶν καὶ ἐπερωτώντων αὐτὸν
ἔχαιρον· καὶ προθυμούμενος ἔλεγεν αὐτοῖς· ἐγὼ βασιλεύς εἰμι σήμερον

ἐβασίλευσε γὰρ ἐπὶ πάντα πάθη. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωσὴφ τῆς Πανεφώ, ὅτι μέλλοντος αὐτοῦ τελευτᾶν, καθημένων γερόντων, προσχὼν πρὸς τὴν θυρίδα, εἶδεν τὸν διάβολον καθήμενον πρὸς τὴν θυρίδα· καὶ φωνήσας τὸν μαθητὴν αὐτοῦ ἔλεγεν· φέρε τὴν ῥάβδον· νομίζει γὰρ οὗτος ὅτι ἐγήρασα καὶ οὐκέτι δύναμαι πρὸς αὐτόν. Καὶ ὡς κατέσχεν τὴν ῥάβδον, εἶδον οἱ γέροντες ὅτι ἐχάλασεν αὐτὸν ὡς κύων διὰ τῆς θυρίδος, καὶ ἀφανὴς ἐγένετο.

Ὁ ἀββᾶς Ἀΐω ἠρώτησε τὸν ἀββᾶ Μακάριον λέγων· εἰπέ μοι ῥῆμα· λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· φεῦγε τοὺς ἀνθρώπους καὶ κάθισον ἐν τῷ κελλίῳ σου, καὶ κλαῦσον τὰς ἁμαρτίας σου, καὶ μὴ ἀγαπήσῃς λαλιὰν ἀνθρώπων, καὶ σώζῃ.

Ἀδελφὸς παρέβαλεν εἰς τὴν Σκῆτιν πρὸς τὸν ἀββᾶ Μωϋσῆν, αἰτούμενος παρ' αὐτοῦ λόγον· λέγει αὐτῷ ὁ γέρων· ὕπαγε κάθισον εἰς τὸ κελλίον σου, καὶ τὸ κελλίον διδάσκει σε πάντα. Εἶπεν ὁ ἀββᾶς Ματώης· θέλω ἐργασίαν ἐλαφρὰν καὶ ἐμμένουσαν, ἢ ἐπίπονον ἐξ ἀρχῆς καὶ ταχέως ἐκκοπτομένην. Εἶπε πάλιν· ὅσον ἐγγίζει ἄνθρωπος τῷ θεῷ, τοσοῦτον ἑαυτὸν ἁμαρτωλὸν βλέπει· Ἡσαΐας γὰρ ὁ προφήτης ἰδὼν τὸν θεόν, τάλαν καὶ ἀκάθαρτον ἔλεγεν ἑαυτόν.

Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶ Ματώην λέγων· εἰπέ μοι ῥῆμα· ὁ δὲ εἶπεν αὐτῷ· ὕπαγε, παρακάλεσον τὸν θεὸν ἵνα δώσῃ πένθος εἰς τὴν καρδίαν σου καὶ ταπεινοφροσύνην· καὶ πρόσεχε πάντοτε ταῖς ἁμαρτίαις σου· καὶ μὴ κρίνῃς ἄλλον· ἀλλὰ γενοῦ ὑποκάτω πάντων· καὶ μὴ ἔχε φιλίαν μετὰ παιδίου, μήτε μετὰ γυναικὸς γνῶσιν· μήτε φιλίαν μετὰ αἱρετικοῦ· καὶ κόψον τὴν παρρησίαν ἀπὸ σοῦ· καὶ κράτει τὴν γλῶσσαν καὶ τὴν κοιλίαν σου· καὶ ἀπὸ οἴνου μικρόν· καὶ ἐάν τις λαλήσῃ περὶ πράγματος οἱουδήποτε, μὴ φιλονείκει μετ' αὐτοῦ· καὶ ἐὰν καλῶς λέγῃ, εἰπὲ ναί· ἐὰν δὲ κακῶς, εἰπὲ οὐκ οἶδας πῶς λαλεῖς· καὶ μὴ ἐρίζε μετ' αὐτοῦ περὶ ὧν ἐλάλησας· καὶ αὕτη ἐστὶν ἡ ταπεινοφροσύνη.

Ἔλεγον περὶ τοῦ ἀββᾶ Μεγεθίου ὅτι ἐξήρχετο τοῦ κελλίου, καὶ ἦλθεν αὐτῷ λογισμὸς ἀναχωρῆσαι ἐκ τοῦ τόπου, οὐκ ἀνέκαμπτεν εἰς τὴν κέλλαν αὐτοῦ· οὐδὲν γὰρ εἶχεν τίποτε τοῦ αἰῶνος τούτου ὕλην, εἰ μὴ ψιαθίδα μίαν, ὅπου τὰ θαλλία ἔσχιζεν· εἰργάζετο γὰρ καθ' ἡμέραν τρία μαλάκια ἀπὸ τῆς τροφῆς αὐτοῦ.

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶ Ποιμένα λέγων· ἐποίησα ἁμαρτίαν μεγάλην, καὶ θέλω μετανοῆσαι τρία ἔτη· λέγει αὐτῷ ὁ γέρων· πολύ ἐστιν· καὶ εἶ

πεν ὁ ἀδελφὸς ἀλλ' ἕως ἐνιαυτόν. καὶ εἶπεν πάλιν ὁ γέρων· πολύ ἐστιν. καὶ λέγει ὁ ἀ-
δελφὸς ἕως πόσον ἀββᾶ; λέγει ὁ γέρων· φύσει ἀδελφὲ ἐὰν ἐξ ὅλης ψυχῆς ἐπιστ-
ρέψῃ ἄνθρωπος πρὸς τὸν θεόν· ἐν τρισὶν ἡμέραις δέχεται αὐτόν. Εἶπεν πάλιν
ὁ ἀββᾶς Ποιμήν· ὅτι τὸ σχῆμα τοῦ μοναχοῦ ἐν τοῖς πειρασμοῖς φαίνεται. Εἶ-
πεν πάλιν· ὅτι ἄνθρωπος δοκῶν σιωπᾶν, καὶ ἡ καρδία αὐτοῦ κατακρίνει ἄλλους·
ὁ τοιοῦτος πάντοτε λαλεῖ. καὶ ἔστιν ἄλλος ἀπὸ πρωῒ ἕως ἑσπέρας λαλῶν,
καὶ σιωπὴν κρατεῖ· τουτέστιν ὅτι ἐκτὸς ὠφελείας οὐδὲν λαλεῖ.
Εἶπεν πάλιν· ὅτι ἄνθρωπος δέεται τῆς ταπεινοφροσύνης καὶ τοῦ φόβου τοῦ θεοῦ, ὡς-
περ τῆς πνοῆς τῆς ἐκπορευομένης ἐκ τῆς ῥινὸς αὐτοῦ. Εἶπεν πάλιν
ὅτι ὥσπερ ὁ καπνὸς ἐκδιώκει τὰς μελίσσας, καὶ τότε αἴρεται τῆς ἐργασίας αὐτῶν
ἡ γλυκύτης· οὕτως καὶ ἡ σωματικὴ ἀνάπαυσις ἐκδιώκει τὸν φόβον τοῦ θεοῦ
ἀπὸ τῆς ψυχῆς· καὶ ἀπολλύει αὐτοῦ πᾶσαν τὴν ἐργασίαν. Ἀδελφὸς εἶπεν
τῷ ἀββᾷ Ποιμένι· ὅτι ἐὰν παραπέσω ἐν οἰκτρῷ παραπτώματι, κατε-
σθίει με ὁ λογισμός μου καὶ κατηγορεῖ διατί παρέπεσας. λέγει αὐτῷ ὁ γέρων·
ἐν ᾗ ὥρᾳ ὑποπίπτει ἄνθρωπος σφάλματι, καὶ εἴπῃ ἥμαρτον, παραυτὰ πέπαυται.
ὁ αὐτὸς εἶπεν· ὁ θέλων λυτρώσασθαι ἁμαρτίας, κλαυθμῷ λυτροῦται αὐτάς·
καὶ γὰρ τὸ κλαίειν μέν ἐστιν ὁδός· ἣν παρέδωκεν ἡμῖν ἡ γραφὴ καὶ οἱ πατέρες ἡμῶν
λέγοντες· κλαύσατε· ἄλλη γὰρ ὁδὸς οὐκ ἔστιν εἰ μὴ αὕτη.
Ἀδελφὸς ἠρώτησεν τὸν ἀββᾶν Ποιμένα λέγων· πῶς δεῖ με καθίσαι ἐν τῷ κελλίῳ;
λέγει αὐτῷ· τὸ ἐν κελλίῳ καθίσαι τὸ φανερόν, τοῦτό ἐστιν· τὸ ἐργόχειρον καὶ
τὸ μονοσιτῆσαι· καὶ τὸ σιωπᾶν καὶ μελέτη· τὸ δὲ ἐν κρυπτῷ προκόπτειν
τοῦ κελλίου ἐστίν· τὸ βαστάζειν τὴν ἑαυτοῦ μέμψιν ἐν παντὶ τόπῳ ὅπου ἐὰν
ἀπέρχῃ· καὶ τῶν συνάξεων τὰς ὥρας· καὶ τῶν κρυπτῶν μὴ ἀμελεῖν· ἐὰν δὲ
καὶ συμβῇ καιρὸν ἀργῆσαι ἐκ τοῦ ἐργοχείρου σου, εἰσελθὼν εἰς τὴν σύναξιν ἀ-
ταράχως ἐπιτέλεσον· τὸ δὲ τέλος τούτων συνοδίαν καλὴν κτήσασθαι· ἀπόσχου
δ' ἑαυτὸν κακῆς συνοδίας. Ἦν τις λεγόμενος ἀββᾶς Παμβώ· καὶ περὶ τού-
του λέγεται· ὅτι τρία ἔτη ἔμεινεν αἰτούμενος τὸν θεὸν καὶ λέγων· μὴ δοξάσῃς
με ἐπὶ τῆς γῆς· καὶ οὕτως ἐδόξασεν αὐτὸν ὁ θεός· ὥστε μὴ δύνασθαί τινα ἀτενί-
σαι εἰς τὸ πρόσωπον αὐτοῦ ἐκ τῆς δόξης ἧς εἶχεν εἰς τὸ πρόσωπον αὐτοῦ.
λέγουσιν περὶ τοῦ ἀββᾶ Παμβώ· ὅτι οὐδέποτε ἐμειδίασεν τὸ πρόσωπον· μιᾶς
οὖν τῶν ἡμερῶν θέλοντες οἱ δαίμονες ποιῆσαι αὐτὸν γελάσαι, ἔδησαν εἰς

ξύλον πτερὸν καὶ ἐβάσταζον θόρυβον ποιοῦντες καὶ λέγοντες· ἄλλη ἄλλη· ἰδὼν
δὲ αὐτοὺς ὁ ἀββᾶς παμβὼ ἐγέλασεν· οἱ δὲ δαίμονες ἤρξαντο χορεύειν λέγοντες·
οὐαὶ οὐαὶ παμβὼ ἐγέλασεν· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· οὐκ ἐγέλασα·
ἀλλὰ κατεγέλασα τὴν ματαιοπονίαν ὑμῶν· ὅτι τοσοῦτοι τὸ πτερὸν βαστάζετε. Ἀ-
δελφὸς εἶπεν τῷ ἀββᾷ γέροντι τῷ τοῦ ἀββᾶ λώτ· ὅτι ὅταν εἰμὶ ἐν τῷ κε-
λλίῳ μου· ἐν εἰρήνῃ ἐστὶν ἡ ψυχή μου· ἐὰν δὲ ἀδελφὸς παραβάλλῃ καὶ τοὺς λόγους
τοὺς ἔξω εἴπῃ μοι· ταράσσεται ἡ ψυχή μου· λέγει ὁ ἀββᾶς πέτρος· ὅτι ἔ-
λεγεν ἀββᾶ λώτ· τὸ κλειδίον σου ἀνοίγει τὴν θύραν μου· λέγει ὁ ἀδελφὸς
τῷ γέροντι· τί ἐστιν τὸ ῥῆμα τοῦτο· λέγει αὐτῷ ὁ γέρων· ἐάν τίς σοι παραβά-
λλῃ· λέγεις αὐτῷ· πῶς ἔχεις· πόθεν ἦλθες· πῶς ἔχουσιν οἱ ἀδελφοί· προσε-
δέξαντό σε ἢ οὔ· καὶ τότε ἀνοίγεις τὴν θύραν τοῦ ἀδελφοῦ· καὶ ἀκούεις ἃ οὐ θέλεις·
λέγει αὐτῷ· οὕτως ἔχει· πῶς ποιήσει ὁ ἄνθρωπος ἐὰν ἔλθῃ ἀδελφὸς πρὸς αὐτόν· λέγει ὁ
γέρων· τὸ πένθος ὅλον διδαχή ἐστιν· ὅπου δὲ οὐκ ἔστιν πένθος οὐ δυνατὸν
φυλάξασθαι· λέγει ὁ ἀδελφὸς· ὅταν μένω ἐν τῷ κελλίῳ μου· μετ᾽ ἐμοῦ ἐστιν τὸ πέν-
θος· ἐὰν δὲ ἔλθῃ τις πρός με· ἢ καὶ ἐξέλθω ἐκ τοῦ κελλίου· οὐχ εὑρίσκω αὐτό· λέγει
ὁ γέρων· οὐδέπω σοι ὑπετάγη· ἀλλ᾽ ὡς ἐν χρήσει ἐστίν·

Ἀδελφὸς ἐν θηβαΐδι καθήμενος ἐν τῇ ἐρήμῳ· ἦλθεν αὐτῷ λογισμὸς λέγων· τί
κάθῃ ἄκαρπος· ἀναστὰς ὕπαγε εἰς κοινόβιον· καὶ ἐκεῖ ποιήσεις καρπόν· καὶ ἀ-
ναστὰς ἦλθε πρὸς τὸν ἀββᾶ παφνούτιον· καὶ ἀνήγγειλεν αὐτῷ τὸν λογισμόν·
καὶ λέγει αὐτῷ ὁ γέρων· ὕπαγε κάθου εἰς τὸ κελλίον σου· καὶ ποίει μίαν προσευ-
χὴν τὸ πρωῒ καὶ μίαν ἑσπέρας· καὶ μίαν τὴν νύκτα· καὶ ὅταν πεινάσῃς φάγε· καὶ ὅ-
ταν διψᾷς πίε· καὶ ὅταν νυστάξῃς κοιμῶ· καὶ μένε εἰς τὴν ἔρημον· καὶ μὴ πι-
θῇς αὐτῷ· ἦλθε δὲ καὶ πρὸς τὸν ἀββᾶ ἰωάννην καὶ ἀνήγγειλεν αὐτῷ τὰ ῥήματα τοῦ ἀββᾶ
παφνουτίου· καὶ λέγει ὁ ἀββᾶς ἰωάννης· μηδὲ ποιήσῃς ὅλως εὐχήν· μόνον κά-
θου εἰς τὸ κελλίον σου· καὶ ἀναστὰς ἦλθε πρὸς τὸν ἀββᾶ ἀρσένιον· καὶ ἀνήγγει-
λεν αὐτῷ πάντα· λέγει αὐτῷ ὁ γέρων· κράτει ὅσα σοι εἶπον· πλέον
γὰρ τούτων, τί σοι εἴπω· καὶ πληροφορηθεὶς ἀπῆλθεν·

Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶ σισώην λέγων· ὁρῶ ἐμαυτὸν ὅτι ἡ μνήμη τοῦ
θεοῦ παραμένει μοι· λέγει αὐτῷ ὁ γέρων· οὐκ ἔστιν μέγα τὸ εἶναι τὸν λογισμόν
σου μετὰ τοῦ θεοῦ· μέγα δὲ ἐστὶν τὸ ἑαυτὸν ὁρᾶν ὑποκάτω πάσης κτί-

σεως· τοῦτο γὰρ καὶ ὁ σωματικὸς κόπος ὁδηγεῖ εἰς τὸν τῆς ταπεινοφροσύνης τρόπον·
Εἶπεν ὁ ἀββᾶς Σισώης· γενοῦ ἐξουδενωμένος καὶ τὸ θέλημά σου ὀπίσω βάλλε· καὶ γενοῦ
ἀμέριμνος· καὶ ἕξεις ἀνάπαυσιν. Εἶπεν ὁ ἀββᾶς Σιλουανός· οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ
ὃς ἔχει τὸ ὄνομα αὐτοῦ μεῖζον τῆς ἐργασίας αὐτοῦ. Ἠρώτησεν ὁ ἀββᾶς Μω-
σῆς τὸν ἀββᾶν Σιλουανὸν λέγων· δύναται ἄνθρωπος καθ' ἡμέραν καὶ κατὰ ὥραν βάλλειν
ἀρχήν. Ἀδελφὸς ἠρώτησεν τὸν ἀββᾶν Τιθόην λέγων· ποία ἐστὶν ἡ ὁδὸς καὶ ἡ
πρόοδος εἰς τὴν ταπείνωσιν· λέγει ὁ γέρων· ἡ ὁδὸς τῆς ταπεινώσεως αὕτη· ἐγκρά-
τεια καὶ εὐχή· καὶ τὸ ἔχειν ἑαυτὸν ὑποκάτω πάσης κτίσεως. Ἦν τις γέρων
καθεκάστην ἐσθίων τρεῖς παξαμάδας· παρέβαλεν δὲ αὐτῷ ἀδελφός· καὶ καθεσθέν-
των αὐτῶν γεύσασθαι· ἔθηκεν τῷ ἀδελφῷ τρεῖς παξαμάδας· καὶ ἑωρακὼς ὁ γέ-
ρων ὅτι ἐχρῄζεν, ἤνεγκεν αὐτῷ καὶ ἄλλους τρεῖς· ὡς δὲ ἐκορέσθησαν καὶ ἀνέστησαν·
κατέκρινεν ὁ γέρων τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· οὐ χρὴ ἀδελφὲ ὑπουργεῖν τῇ σαρ-
κί· ὁ δὲ ἀδελφὸς μετενόησεν τῷ γέροντι καὶ ἐξῆλθεν· τῇ οὖν ἑξῆς ὡς ἐγένετο και-
ρὸς τοῦ γεύσασθαι τὸν γέροντα· ἔθηκεν αὐτῷ κατὰ τὸ ἔθος τοὺς τρεῖς παξαμά-
δας· καὶ φαγὼν αὐτοὺς πάλιν ἐπείνασεν· καὶ ἐπέσχεν ἑαυτὸν πάλιν τὴν ἄλλην ἡμέ-
ραν τὸ αὐτὸ ὑπέστη· ἤρξατο οὖν ἀδυναμεῖν· καὶ ἔγνω ὁ γέρων ὅτι ἐγκατα-
λειφθεὶς ἀπὸ τοῦ θεοῦ ἐγένετο αὐτῷ· καὶ ῥίψας ἑαυτὸν ἐνώπιον τοῦ θεοῦ μετὰ δακρύων ἐ-
δέετο περὶ τῆς γενομένης αὐτῷ ἐγκαταλείψεως· καὶ ὁρᾷ ἄγγελον λέγοντα αὐ-
τῷ· διότι κατέκρινας τὸν ἀδελφόν, τοῦτό σοι συνέβη· γίνωσκε οὖν ὅτι ὁ δυ-
νάμενος ἐγκρατεύεσθαι ἢ ἄλλο τι ἀγαθὸν ποιῆσαι· οὐκ ἐξ ἰδίας δυνάμεως
ποιεῖ· ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἐστιν ἡ ἐνισχύουσα τὸν ἄνθρωπον·
Ἦν τις ἐπίσκοπος εἰς τινα πόλιν· καὶ κατ' ἐνέργειαν τοῦ διαβόλου ἔπεσεν εἰς πορνεί- 66
αν· μιᾷ οὖν τῶν ἡμερῶν γενομένης συνάξεως ἐν τῇ ἐκκλησίᾳ· καὶ μηδενὸς γινώσ-
κοντος περὶ τῆς ἁμαρτίας αὐτοῦ· ἀφ' ἑαυτοῦ ὡμολόγησεν ἔμπροσθεν παντὸς
τοῦ λαοῦ λέγων· ἐγὼ εἰς πορνείαν πέπτωκα· καὶ ἀπέθετο τὸ ὠμοφόριον αὐτοῦ
ἐπὶ τὸ θυσιαστήριον εἰπών· ὅτι οὐκέτι δύναμαι εἶναι ὑμῶν ἐπίσκοπος· καὶ
ἀνέκραξεν πᾶς ὁ λαὸς μετὰ κλαυθμοῦ λέγοντες· ἡ ἁμαρτία αὕτη ἐφ' ἡμᾶς·
μόνον μεῖνον ἐν τῇ ἐπισκοπῇ· καὶ ἀποκριθεὶς εἶπεν· εἰ θέλετε εἶναί με ἐν τῇ
ἐπισκοπῇ· ὃ λέγω ὑμῖν ποιήσατε· καὶ κλείσας τὰς θύρας τῆς ἐκκλησίας ἔρ-
ριψεν ἑαυτὸν ἐπὶ πρόσωπον εἰς μίαν παραθύρων καὶ εἶπεν· οὐκ ἔχει μέρος με-

τὰ τοῦ θεοῦ· ὅτι ἐξερχόμενος μὴ πατήσῃ με· καὶ ἐποίησαν τὸ κατὰ τὸν λόγον
αὐτοῦ· ἐξερχομένου τοῦ ὑστέρου· ἦλθεν φωνὴ ἐκ τοῦ μνήματος λέγουσα· διὰ τὴν πο-
λλὴν ταπεινοφροσύνην αὐτοῦ· ὥστε συγχωρῆσαι αὐτῷ τὴν ἁμαρτίαν·

Ἦν τις ἀναχωρητὴς ἐν τοῖς μέρεσιν τοῦ Ἰορδάνου· ἀγωνιζόμενος ἐπὶ ἔτη ἱκανά·
οὗτος χαρίσματος ἦν ἠξιωμένος· μηδὲ δέχεσθαι αὐτὸν προσβολὰς ἐκ τοῦ ἐχθροῦ·
ὥστε αὐτὸν πᾶσι τοῖς παραβαλλομένοις πρὸς αὐτὸν ὀφείλειν χάριν· λοιδορίας βα-
λλειν τὸν διάβολον καὶ λέγειν· ὅτι οὐδέν ἐστιν· καὶ δύναταί τις πρὸς τοὺς ἀγωνιζομένους
μὴ ὁμοίους αὐτῷ ἀνηρυσάρους· δεδουλωμένους πάντοτε τῇ ἁμαρτίᾳ· ἐκφω-
μους ἐκμυρίζει· μὴ αἰσθανόμενος ὅτι ἐκ τῆς τοῦ θεοῦ βοηθείας σκέπεται· καὶ ἐκ τούτου
οὐδὲ ἔχει πολέμους ἐκ τοῦ ἐναντίου· ἐν μιᾷ οὖν κατὰ συγχώρησιν θεοῦ· φαίνε-
ται αὐτῷ ὁ διάβολος· ὅτε φησὶν πρὸς ὅτι μὴ· καὶ φησὶν πρὸς αὐτόν· τί ἔχω πρὸς σέ· τίνι
λοιδορίαις πολλαῖς ἐμήσω· ποτὲ παρ' ἡμῶν ὀχληθείς· ὁ δὲ πάλιν ἐμπτύσας αὐτὸν
τοῖς αὐτοῖς ἐκέχρητο ῥήμασιν· ὕπαγε ὀπίσω μου σατανᾶ· οὐδὲν γὰρ δύνασαι πρὸς
τοὺς δούλους τοῦ Χριστοῦ· ὁ δὲ φωνὴν ταύτην ἐπαφῆκεν· ναὶ ναί· ἀλλ' ἅπερ οὐ-
ρανὸν ταῖς ἐπ' ἔχεις ζῆσαι· μίαν ὥραν οὐκ ἔχω ἀρθῆναι εἰς τὰ τεσσαράκοντα ἔτη σκε-
λίσαι σε· καὶ ῥίψας τὸ δέλεαρ ἀφανὴς ἐγένετο· ὁ δὲ εὐθέως εἰς τοὺς λογισμοὺς βλη-
θεὶς ἔλεγεν· ἔχω τοσαῦτα ἔτη ὧδε τρυχόμενος· καὶ ἀκμὴν ἄλλα τεσσαράκοντα
ἔτη θέλει με ζῆσαι ὁ θεός· ἐξέρχομαι καὶ ἀπέρχομαι εἰς τὸν κόσμον· βλέπω τοὺς
διαφέροντάς μοι· συντίθομαι αὐτοῖς ἔτη τινά· καὶ πάλιν ἔρχομαι· καὶ ἐπέρχομαι
τῆς ἀσκήσεώς μου· καὶ μόνον ἐνεθυμήθη ταῦτα· ἔργοις ἐπλήρου τὴν ἔννοιαν·
καὶ ὁρμήσας ἐξῆλθεν τῆς κέλλης αὐτοῦ καὶ ἀπῆλθεν τῆς ὁδοῦ· οὐ μακρὰν δὲ αὐτοῦ γε-
νομένου· ἀπεστάλη ἄγγελος κυρίου πρὸς βοήθειαν αὐτοῦ καὶ φησὶν πρὸς αὐτόν· ποῦ
πορεύῃ ἀββᾶ· ὁ δὲ ἔφη· ἐπὶ τὴν πόλιν· καὶ λέγει αὐτῷ· ὑπόστρεψον εἰς τὴν κέ-
λλαν σου· καὶ μηδὲν σοι καὶ τῷ σατανᾷ· ἔχει δὲ αὐτὸν χλευασθέντα ὑπ' αὐτοῦ· ὁ δὲ
εἰς ἑαυτὸν ἐλθών· ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ· καὶ ποιήσας τρεῖς ἡμέρας ἐτελεύτησεν·

Ἔλεγεν τις τῶν γερόντων· ὅτι ἦν τις μαγιστριανὸς πεμφθεὶς εἰς ἀπόκρισιν βασιλικήν·
καὶ ἐν τῇ ὁδῷ εὗρεν ἐπὶ τὴν ἀποχὴν νεκρὸν κείμενον γυμνόν· καὶ σπλαγχνισθεὶς λέ-
γει τῷ παιδὶ αὐτοῦ· λάβε τὸν ἵππον· καὶ προέλθε μικρόν· καὶ κατελθὼν ἀπε-
δύσατο ἐν τῶν ἱματίων αὐτοῦ· καὶ ἐπέθηκεν τῷ κειμένῳ νεκρῷ καὶ ἀπῆλ-
θεν· πάλιν μεθ' ἡμέρας ἀπεστάλη ὁ αὐτὸς μαγιστριανὸς εἰς ἀπόκρισιν·

σω· ἔξω δὲ ἐξελθόντος αὐτοῦ τὴν πόλιν, ἔπεσεν ἀπὸ τοῦ ἵππου καὶ ἐκλάσθη ὁ
πούς αὐτοῦ· καὶ ἀποστρέφει αὐτὸν ὁ παῖς αὐτοῦ εἰς τὸν οἶκον αὐτοῦ· καὶ οἱ ἰατροὶ ἐπε-
μελοῦντο αὐτοῦ· μετὰ δὲ πέντε ἡμέρας ἐμελάνιασεν ὁ πούς αὐτοῦ· καὶ ἰδόντες οἱ
ἰατροὶ ὅτι ἐμελάνωσεν ταχέως τὸν πόδα, ἔλεγον πρὸς ἀλλήλους ὅτι κόψωμεν ἵνα μὴ
ἐπιφθάσῃ ὅλον τὸ σῶμα, καὶ ἀποθνήσκει ὁ ἄνθρωπος· καὶ λέγουσιν αὐτῷ· ἐρχόμεθα πρωῒ
καὶ θεραπεύομέν σε· ὁ δὲ ἄνθρωπος μετὰ τοῦ παιδίου αὐτοῦ ἐξελθὼν ὀπίσω τῶν
ἰατρῶν· καὶ μαθὼν παρ' αὐτῶν τί βούλονται· καὶ λέγουσιν αὐτῷ· ὁ πούς τοῦ κυρίου
σου ἐμελάνιασεν· καὶ ἐὰν μὴ κοπῇ, ἀπόλλυται ὁ ἄνθρωπος· ἐρχόμεθα οὖν πρωῒ καὶ ὁ θε-
λητὸς ποιοῦμεν· καὶ εἰσέρχεται ὁ δοῦλος κλαίων πρὸς τὸν δεσπότην αὐτοῦ λέγων
ὅτι τάδε βούλονται περὶ σοῦ· ὁ δὲ ἀκούσας ἐλυπήθη· καὶ ἀπὸ πολλῆς ἀθυμίας
οὐκ ἐκοιμήθη· νυκτὸς δὲ κανδήλας φαινούσης· περὶ δὲ τὰς μέσας τῶν νυκτῶν· ὁρᾷ
ἄνθρωπον διὰ τῆς θυρίδος κατερχόμενον καὶ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγοντα αὐτῷ·
τί κλαίεις τί λυπῇ; ὁ δὲ λέγει· κύριε οὐ θέλεις ἵνα κλαύσω καὶ λυπηθῶ ὅτι ἐκλάσ-
θην καὶ τάδε βούλονται οἱ ἰατροὶ περὶ ἐμοῦ· καὶ λέγει αὐτῷ ὁ φανείς· δεῖξόν μοι τὸν
πόδα σου· καὶ ἀλείφει αὐτὸν καὶ λέγει· ἀνάστα ἄρτι καὶ περιπάτει· καὶ λέγει ὁ ἀσθενῶν·
κέκλασμαι καὶ οὐ δύναμαι· καὶ λέγει αὐτῷ· ἐπιστηρίχθητι ἐπ' ἐμέ· καὶ ἐπιστηρι-
χθεὶς περιεπάτει χωλεύων· καὶ λέγει αὐτῷ ὁ φανείς· ἀκμὴν χωλαίνεις· θὲς
ἑαυτὸν πάλιν· καὶ ἀνέθηκεν πάλιν, ἀλείφει αὐτὸν ἐξ ἴσου τοὺς πόδας αὐτοῦ· καὶ
λέγει αὐτῷ· ἔγειρε ἄρτι, περιπάτει· καὶ ἀναστὰς περιεπάτησεν ὑγιῶς· καὶ λέ-
γει αὐτῷ· θὲς σεαυτὸν ἀνάκειθι· καὶ εἶπεν αὐτῷ ὁ φανεὶς τινὰς λόγους περὶ
ἐλεημοσύνης· ὅτι εἶπεν ὁ κύριος· μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται·
καὶ ἀνίλεως ἡ κρίσις τοῦ μὴ ποιήσαντος ἔλεος· καὶ ὅσα τοιαῦτα· καὶ λέγει αὐτῷ·
σώζου· λέγει ὁ Μαρτυριανός· ὑπάγεις· λέγει αὐτῷ· τί γὰρ θέλεις ἐξ ὅτε ὑγίανας·
λέγει αὐτῷ ὁ Μαρτυριανός· τὸν θεὸν τὸν πέμψαντά σε εἰπέ μοι τίς εἶ· λέγει
αὐτῷ· βλέπεις με· ἐπιγινώσκεις τοῦτο τὸ ὀθόνιον ἀκριβῶς· λέγει αὐτῷ·
ναὶ κύριε ἐμόν ἐστιν· καὶ λέγει αὐτῷ ὁ φανείς· ἐγώ εἰμι ὃν εἶδες νεκρὸν ἐρριμμένον ἐν
τῇ ὁδῷ· καὶ ἔρριψάς μοι τὸ λινοῦδιον· καὶ ἀπεστάλην ὑπὸ θεοῦ ἰάσασθαί σε· δὸς
χάριτας οὖν διὰ παντὸς τῷ θεῷ· καὶ ἀνῆλθεν πάλιν δι' ἧς κατῆλθε θυρίδος· καὶ εὐ-
πνώσας τὸν αἴτιον πάντων τὸν ἀγαθὸν θεὸν ἐδόξασεν·

Ἀδελφός τις ἐκάθητο ἐν Κελλίοις τῆς Αἰγύπτου· ἐν πολλῇ ταπεινώσει διαλάμπων

ὑπῆρχε δὲ αὐτοῦ ἀδελφὴ πορνεύουσα ἐν τῇ πόλει· καὶ πολλαῖς ψυχαῖς προξενοῦσα
ἀπώλειαν· πολλάκις οὖν παρενόχλησαν οἱ γέροντες τῷ ἀδελφῷ· καὶ ἠδυνήθησαν
πεῖσαι καταντῆσαι πρὸς αὐτήν· εἴ πως νουθετήσας καταργήσῃ τὴν ἁμαρτίαν τὴν
δι' αὐτῆς γενομένην· ὡς δὲ ἔφθασεν ἐπὶ τὸν τόπον· ἰδὼν αὐτὸν τίς τῶν γνωρί-
μων· προλαβὼν ἀπήγγειλεν αὐτῇ λέγων· ἰδοὺ ὁ ἀδελφός σου ἐπὶ τὴν θύραν· ἡ δὲ
συνεχθεῖσα τοῖς σπλάγχνοις· καταλείψασα τοὺς ἐραστὰς οἷς διηκόνει· γυμνῇ τῇ
κεφαλῇ ἐπὶ τὴν θέαν τοῦ ἀδελφοῦ ἐξεπήδησεν· ἐρχομένης δὲ αὐτῆς περιπλέ-
κεσθαι αὐτῷ· λέγει αὐτῇ· γνησία μου ἀδελφή· φεῖσαι τῆς ψυχῆς σου· ὅτι διά σου
πολλοὶ ἀπόλλονται· καὶ πῶς δυνήσει ὑπενεγκεῖν τὴν πικρὰν βάσανον τὴν αἰώνιον·
ἡ δὲ τρόμῳ γενομένη λέγει αὐτῷ· οἶδας ὅτι ἐστί μοι σωτηρία ἀπὸ τοῦ νῦν; ὁ δὲ λέ-
γει αὐτῇ· ἐὰν θέλῃς ἐστί σοι σωτηρία ἀπὸ τοῦ νῦν· ἡ δὲ ῥίψασα ἑαυτὴν εἰς τοὺς πόδας
τοῦ ἀδελφοῦ· παρεκάλει αὐτὸν ἵνα λάβῃ αὐτὴν εἰς τὴν ἔρημον σὺν αὐτῷ· ὁ δὲ
λέγει αὐτῇ· θὲς τὸ ἱμάτιόν σου ἐπὶ τὴν κεφαλήν σου καὶ ἀκολούθει μοι· λέγει αὐτῷ
ἐκείνη· ἀγόμενοι· συμφέρει γάρ μοι ἀσχημονεῖν γυμνῇ τῇ κεφαλῇ· ἢ εἰσελθεῖν
ἔτι εἰς τὸ ἐργαστήριον τοῦτο τῆς ἀνομίας· ὡς δὲ ἤρχοντο τῆς ὁδοῦ· ἐνουθέ-
τει αὐτὴν πρὸς μετάνοιαν· βλέπουσιν δέ τινας ἐρχομένους εἰς ἀπάντησιν αὐτῶν
καὶ λέγει αὐτῇ· ἐπειδὴ οὐ πάντες οἴδασιν ὅτι ἀδελφή μου εἶ· ὑποχώρησον μι-
κρὸν τῆς ὁδοῦ· ἕως ἂν παρέλθωσιν· μετὰ δὲ ταῦτα λέγει αὐτῇ· ἀπέλθωμεν
τὴν ὁδὸν ἡμῶν ἀδελφή· ὡς δὲ οὐκ ἀπεκρίθη αὐτῷ· ἐκζητήσας αὐτὴν νεκρὰν
εὗρεν· θεωρεῖ δὲ καὶ τὰ ἴχνη τῶν ποδῶν αὐτῆς ᾑμαγμένα· ἦν γὰρ ἀνυπόδυτος· ὡς
δὲ ἀπήγγειλεν τοῖς γέρουσιν ὁ ἀδελφὸς τὸ συμβάν· ἀνέβαλλον εἰς ἑαυτούς· ἀπε-
κάλυψεν δὲ ὁ θεὸς ἑνὶ γέροντι περὶ αὐτῆς· ὅτι ἐπειδὴ ὅλως οὐδὲν ἐμερίμνησεν σαρ-
κικῶν· ἀλλὰ καὶ τοῦ ἰδίου σώματος κατεφρόνησεν μὴ στενάξασα ἐν τῇ τοσαύτῃ
πληγῇ· τούτου χάριν προσεδεξάμην αὐτῆς τὴν μετάνοιαν·

Γέρων τις ἀπήει πωλῆσαι τὰ μαλάκια αὐτοῦ· ὁ δὲ δαίμων ἀπαντήσας ἄφαντα
αὐτὰ πεποίηκεν· ὁ δὲ γέρων ἐτράπη εἰς εὐχὴν καὶ ἔλεγεν· εὐχαριστῶ σοι ὁ θεός· ὅτι
ἀπήλλαξάς με πειρασμοῦ· ὁ δὲ δαίμων μὴ ὑπομείνας τὴν φιλοσοφίαν τοῦ
γέροντος· ἔκραξεν λέγων· ἰδοὺ τὰ μαλάκιά σου κακόγηρε· ὁ δὲ γέρων φυλάξας ἐπώ-
λησεν αὐτά· Λέγουσι περί τινος γέροντος· ὅτι καθημένου αὐτοῦ ἐν τῷ κελλίῳ
ἦλθεν ἀδελφὸς νυκτὸς προσβαλεῖν αὐτόν· καὶ ἤκουσεν αὐτοῦ ἔσωθεν μαχομέ-

μου· καὶ λέγομεν τῷ· ἕως πότε ὑστερεῖς τὰ λοιπόν· διὰ γὰρ πρὶν μέλλει εἰσελθεῖν δὲ ὁ
ἀδελφὸς εἶπεν αὐτῷ· ἀββᾶ μακάριος εἶ ἀληθῶς· καὶ λέγει· τοῖς λογισμοῖς μου
τοῖς πονηροῖς ἐδίωκον· καὶ τοῖς ἀγαθοῖς ἐκάλουν·

Ἔλεγον περί τινος γέροντος ἐν τοῖς κατωτέροις μέρεσιν· ὅτι ἐκάθητο ἡσυχάζων· καὶ εἶχε κο-
σμικὸν πιστὸν διακονοῦντα αὐτῷ· συνέβη δὲ τὸν υἱὸν τοῦ κοσμικοῦ ἀσθενῆσαι· καὶ πολ-
λὰ παρακαλέσας τὸν γέροντα· ἠξίου ἀπελθεῖν καὶ ποιῆσαι εὐχὴν περὶ τοῦ παι-
δίου· καὶ ἀναστὰς ὁ γέρων· ἐξῆλθε σὺν αὐτῷ· καὶ προδραμὼν ὁ κοσμικὸς· εἰσῆλθεν εἰς
τὸν οἶκον αὐτοῦ λέγων· δεῦτε εἰς τὴν ὑπάντησιν τοῦ ἀναχωρητοῦ· καὶ ἰδὼν αὐτοὺς ὁ γέ-
ρων ἀπὸ μακρόθεν ἐξερχομένους μετὰ λαμπάδων ἐνενόησεν· καὶ ἐκδυσάμενος
τὰ ἱμάτια αὐτοῦ ἔβαλεν εἰς τὸν ποταμὸν· καὶ ἤρξατο πλύνειν αὐτὰ γυμνός·
ὁ δὲ διάκονος αὐτοῦ ἰδὼν ᾐσχύνθη· καὶ παρεκάλεσεν τοὺς ἀνθρώπους λέγων· ἀνα-
κάμψατε ὁ γὰρ γέρων ἐξέστη· καὶ ἐλθὼν πρὸς αὐτὸν εἶπεν αὐτῷ· ἀββᾶ τί τοῦτο ἐ-
ποίησας· πάντες γὰρ λέγουσιν ὅτι δαιμόνιον ἔχει ὁ γέρων· λέγει αὐτῷ· κἀγὼ
τοῦτο ἤθελον ἀκοῦσαι·

Μοναχός τις πάνυ εὐλαβὴς καὶ θεοφιλὴς· εἶχε
γείτονα ἀναχωρητὴν ἀγαπητόν· τελευτᾷ οὖν ὁ ἀναχωρητής· καὶ εἰσελθὼν ἐν τῷ
μοναστηρίῳ αὐτοῦ ὁ μοναχὸς· εὑρίσκει πεντήκοντα νομίσματα· καὶ ἤρξατο
θαυμάζειν καὶ δακρύειν· φοβούμενος μὴ ἕνεκεν τῶν χρημάτων· οὐκ ἐκρούσθη τῷ
θεῷ ὁ ἀναχωρητής· καὶ ὡς ἐδέετο τοῦ θεοῦ ἐπὶ πολὺ περὶ τούτου· ὁρᾷ ἄγγελον κυρίου λέγον-
τα αὐτῷ· τί οὕτως ἀθυμεῖς περὶ τοῦ ἀναχωρητοῦ· τοῦτο ὅλη ἡ τάξις τῆς τοῦ θεοῦ φιλανθρωπίας
καταλαβεῖν· εἰ πάντες ἦσαν τέλειοι· ποῦ ἐδείκνυτο ἡ φιλανθρωπία τοῦ θεοῦ· καὶ
οὕτως πληροφορηθεὶς ὁ μοναχὸς· ὅτι τυχὼν ἠξιώθη ὁ ἀναχωρητής· εὔ-
θυμος ἐγένετο· καὶ ἐδόξασεν τὸν θεὸν ἐξ ὅλης τῆς καρδίας·

Εἰ μὴ ὁ ἔσω ἡμῶν ἄνθρωπος νήφει εἶπεν γέρων· δυνατός ἐστι φυλάξαι καὶ τὸν ἔξω·
εἰ δὲ μὴ τοῦτο ὅσον δυνάμεθα ἐστίν· φυλάξωμεν τὴν γλῶσσαν· εἶπεν τις τῶν
πατέρων· ὅτι δεῖ πάντοτε τὸν ἄνθρωπον ἔχειν ἐντὸς αὐτοῦ ἐργασίαν· ἐὰν οὖν μένῃ
εἰς ἐργασίαν θεοῦ σχολάζει· παραβάλλει αὐτῷ ὁ ἐχθρὸς μίαν μίαν· ἀλλ' οὐ
χωρίζεται τὸν πόνον τῆς μάχης· ἐὰν δὲ πάλιν κυριευθῇ ὑπὸ τῆς αἰχμαλωσίας τοῦ ἐ-
χθροῦ· παραβάλλει αὐτῷ τὸ πνεῦμα τοῦ θεοῦ συνεχῶς· ἀλλ' οὐ καθαρίζομεν αὐτῷ τό-
πον· καὶ διὰ τὴν κακίαν ἡμῶν ἀναχωρεῖ·

Εἶπεν γέρων· οὐδεὶς δύναται
ἀδικῆσαι τὸν ἐγγὺς τοῦ βασιλέως ἑστῶτα· οὕτως οὐδὲ ὁ σατανᾶς δύναται·

τί ποιήσαι ἡμῖν· ἐὰν ἡ τύχη ἡμῶν ἐστιν ἡ τοῦ θεοῦ· ἐπίσταται γάρ φησιν καὶ ἐπιποθεῖ ἡμῖν· ἀλλ' ἐπειδὴ οὕτως ἔχωμεν ἐξορίζομεθα· εὐχερῶς ὁ ἐχθρὸς ἀρπάζει τὴν ταλαίπωρον ἡμῶν ψυχήν· εἰς τὸ ἀπατῆσαι ἡμᾶς· εἶπε γέρων φησὶν ὥσπερ ἡ μάστιξ· μηδὲ μὴ σὺ φροντίζε· πρόσεχε τῇ μελέτῃ σου· κοιταζόμενος καὶ ἀνιστάμενος μετὰ φόβου θεοῦ· καὶ τὰς τῶν ἐχθρῶν ὁρμὰς οὐ φοβηθήσῃ·

Εἶπε γέρων πρὸς ἀδελφόν· ὅτι ὁ διάβολος ἐστὶν ὁ ἐχθρός· καὶ σὺ εἶ ὁ οἶκος· ὁ ἐχθρὸς οὖν οὐ παύεται ῥίπτων εἰς τὸν οἶκόν σου εἴ τι ἂν εὕρῃ· πᾶσαν ἐπιχέων ἀκαθαρσίαν· σοῦ δέ ἐστιν μὴ ἀμελῆσαι τοῦ ῥίπτειν ἔξω· ἐὰν δὲ ἀμελήσῃς πληροῦται ὁ οἶκός σου πάσης ἀκαθαρσίας καὶ οὐκ ἔτι ἰσχύσεις εἰσελθεῖν ἐκεῖ· ἀλλ' ἅτινα παραρίπτει ἐκεῖνος ἐκβάλλε κατὰ μικρόν· καὶ μένει ὁ οἶκός σου καθαρὸς διὰ τῆς χάριτος τοῦ Χριστοῦ·

Ἔλεγεν τις τῶν πατέρων· ὅταν σκεπάσωσιν τοὺς ὀφθαλμοὺς τοῦ βοός· τότε περικάμπτει εἰς τὴν μηχανήν· ἐὰν μὴ σκεπάσωσι· οὐ περικάμπτει· οὕτω καὶ ὁ διάβολος· ἐὰν φθάσῃ σκεπάσαι τοὺς ὀφθαλμοὺς τοῦ ἀνθρώπου· ἐν παντὶ ἁμαρτήματι ταπεινοῖ αὐτόν· ἐὰν δὲ φωτισθῶσιν οἱ ὀφθαλμοὶ αὐτοῦ· εὐχερῶς δύναται φυγεῖν ἀπ' αὐτοῦ·

Γέρων τις ἐκαθέζετο μετὰ ἀδελφοῦ κοινόβιον· ὁ δὲ γέρων ἦν ἐλεήμων· καὶ γενομένου λιμοῦ ἤρξαντο τινὲς ἔρχεσθαι εἰς τὴν θύραν αὐτοῦ λαβεῖν ἀγάπην· ὁ δὲ γέρων πᾶσι τοῖς ἐρχομένοις παρεῖχεν ἀγάπην· ἰδὼν δὲ ὁ ἀδελφὸς τὸ γινόμενον λέγει τῷ γέροντι· δός μοι τὸ μέρος μου τῶν ἄρτων καὶ ὡς θέλεις ποίησον τὸ μέρος σου· ὁ δὲ γέρων διεμέρισεν τοὺς ἄρτους· καὶ ἐποίει τὴν ἐλεημοσύνην ἐκ τοῦ μέρους αὐτοῦ· πολλοὶ δὲ συνέτρεχον πρὸς τὸν γέροντα· ἀκούσαντες ὅτι πᾶσι παρέχει· εὐλογήσας τοὺς ἄρτους αὐτοῦ ὁ θεός· ὁ δὲ ἀδελφὸς κατέφαγεν τὰ ἑαυτοῦ ψωμία· λέγει τῷ γέροντι· ἐπειδὴ ὀλίγα ψωμία ἔχω ἀββᾶ· λάβε με κοινόβιον· καὶ εἶπεν ὁ γέρων· ὡς θέλεις ποίει· καὶ ἐκαθέσθησαν πάλιν κοινόβιον· γενομένης δὲ εὐθηνίας· ἤρχοντο πάλιν οἱ χρήζοντες λαμβάνειν ἀγάπην· ἐν μιᾷ δὲ τῶν ἡμερῶν· εἰσελθὼν ὁ ἀδελφὸς ηὗρεν τοὺς ἄρτους λείψαντας· ἦλθεν δὲ πτωχός· καὶ εἶπεν ὁ γέρων τῷ ἀδελφῷ· δὸς αὐτῷ ἀγάπην· ὁ δὲ εἶπεν· οὐκ ἔστιν πάτερ· λέγει ὁ γέρων· εἴσελθε καὶ ζήτησον· ὁ δὲ ἀδελφὸς εἰσελθὼν εὗρεν τὸ ἀρτοθήκιον πεπληρωμένον ἄρτων· καὶ τοῦτο ἑωρακὼς ἐφοβήθη· καὶ λαβὼν ἔδωκε τῷ πτωχῷ· καὶ γνοὺς τὴν πίστιν καὶ τὴν ἀρετὴν τοῦ γέροντος· ἐδόξασεν τὸν θεόν·

Εἶπεν γέρων· ὅτι ἐστίν τις πολλὰ ποιῶν καλά· καὶ ὁ πονηρὸς ἐμβάλλει αὐτῷ
ἀκριβολογίαν εἰς ἐλάχιστα πράγματα· ἵνα τὸν μισθὸν ἀπολέσῃ πάντων ὧν ἐργά-
ζεται ἀγαθῶν· καθημένου γάρ μού ποτε ἐν ὀξυρύγχῳ παρὰ πρεσβυτέρῳ τι-
νὶ ποιοῦντι ἐλεημοσύνας πολλάς· ἦλθεν χήρα αἰτοῦσα αὐτὸν μικρὸν σιτίον·
καὶ λέγει αὐτῇ· καὶ φέρε ἱμάτιον καὶ μετρῶ σοι· ἡ δὲ ἤνεγκεν· καὶ ἀκριβάσας τὸ ἱμά-
τιον τῇ χειρὶ αὐτοῦ εἶπεν· μέγα ἐστίν· καὶ κατῄσχυνε τὴν χήραν· ὅτε δὲ ἀνεχώρησεν
ἡ χήρα· εἶπον αὐτῷ ἀββᾶ πρεσβύτερε· πέπρακας τῇ χήρᾳ τὸ σιτίον· λέ-
γει· οὐχί· ἀλλὰ ἀγάπην δέδωκα αὐτῇ· εἶπον δὲ αὐτῷ· εἰ οὖν τὸ ὅλον δέδωκας
αὐτῇ ἀγάπην· πῶς εἰς τὸ μέτρον ἠκρίβωσας καὶ κατῄσχυνας αὐτήν·

Ἀδελφὸς παρέβαλεν ἀναχωρητῇ τινί· καὶ ἐξερχόμενος λέγει αὐτῷ· συγχώρησόν μοι
ἀββᾶ ὅτι κατήργησά σε τοῦ κανόνος σου· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· ὁ ἐμὸς
κανών ἐστιν· ἵνα σε ἀναπαύσω καὶ ἀποστείλω ἐν εἰρήνῃ. Εἶπεν γέρων· θέλω ἡ-
ττηθῆναι μετὰ ταπεινώσεως· ἢ νίκην μετὰ ὑπερηφανίας. Ἀναχωρητὴς
ἐκάθητο ἐγγὺς κοινοβίου· πολιτείας ποιῶν μεγάλας· καὶ συνέβη τινὶ πα-
ραβαλεῖν εἰς τὸ κοινόβιον· καὶ παρεβιάσαντο αὐτὸν παρὰ ὥραν φαγεῖν· μετὰ
ταῦτα λέγουσιν αὐτῷ οἱ ἀδελφοί· ἆρα οὐκ ἐθλίβης ἀββᾶ; ὁ δὲ ἔφη· ἡ θλῖψίς
μου ἐστίν· ἐὰν ποιήσω τὸ ἴδιον θέλημα. Ἠρωτήθη γέρων· τί ἐστιν ταπεί-
νωσις· καὶ ἀποκριθεὶς εἶπεν· ἡ ταπείνωσις μέγα ἔργον ἐστὶν καὶ θεῖον· ἡ δὲ ὁδὸς
τῆς ταπεινώσεως· οἱ κόποι σωματικοί εἰσιν· καὶ τὸ ἡγεῖσθαι ἑαυτὸν ἁμαρ-
τωλὸν καὶ ὑποκάτω πάντων· καὶ εἶπεν ὁ γέρων· τοῦτό ἐστιν τὸ μὴ προσέχειν ἁ-
μαρτίαις ἀλλοτρίαις· ἀλλὰ ταῖς αὐτοῦ πάντοτε· καὶ δέεσθαι τοῦ θεοῦ ἀδιαλείπτως.

Ἀμηρᾶλος θεωρήσας τινὰ ἁμαρτάνοντα· κλαύσας πικρῶς εἶπεν· οὗτος σήμερον·
πάντως ὅτι κἀγὼ αὔριον. Ἀδελφὸς ἔχων τόπον ἐν ἐρημίᾳ· ἀνακε-
χωρημένον καὶ ἡσυχάζοντα· καὶ παρεκάλει τὸν πατέρα αὐτοῦ λέγων· ἐπίτρε-
ψόν με οἰκῆσαι ἐμαυτῷ· καὶ ἐλπίζω εἰς τὸν θεὸν καὶ εἰς τὰς εὐχάς σου· ὅτι ἔχω κο-
πιᾶσαι πάνυ· καὶ οὐκ εἴασεν ὁ ἀββᾶς αὐτοῦ λέγων· οἶδα ἀληθῶς ὅτι πολλὰ
ἔχεις κοπιᾶσαι· ἀλλὰ διὰ τὸ μὴ ἔχειν σε γέροντα θαρρήσαι σε· ὅτι ὅλος ἔργον
μοναχοῦ ποιεῖς· ἀπώλεσας τὸν κόπον σου καὶ τὰς φρένας.

Παρέβαλον ποτὲ ἀδελφοὶ μεγάλῳ γέροντι· καὶ λέγει τῷ πρώτῳ· τί ἐργάζῃ ἀ-
δελφέ· ὁ δὲ εἶπεν· σειρὰν πλέκω ἀββᾶ· λέγει ὁ γέρων αὐτῷ· ὁ θεὸς πλέξει σοι
στέφανον τέκνον· λέγει καὶ τῷ δευτέρῳ· καὶ σὺ τί ἐργάζῃ· ὁ δὲ εἶπεν ψιαθίαν· εἶπεν·

δὲ καὶ αὐτῷ· ὁ θεὸς ἐμὲ δύναμαι ὡς σοῖς τέκνον· εἶπεν δὲ καὶ τῷ τρίτῳ· καὶ σὺ τί ἐργάζῃ·
ὁ δὲ εἶπεν κοσκινᾶ· εἶπεν δὲ καὶ αὐτῷ· ὁ θεὸς φυλάξει σε τέκνον· εἶπεν δὲ καὶ τῷ
τετάρτῳ· καὶ σὺ τί ἐργάζῃ· ὁ δὲ εἶπεν καλλιγράφος εἰμί· λέγει αὐτῷ οὐκ οἶδας· εἶ-
πεν δὲ καὶ τῷ πέμπτῳ· καὶ σὺ τί ἐργάζῃ· ὁ δὲ ἔφη τὸ λινυφικόν· εἶπεν δὲ ὁ γέρ(ων)·
ἐγὼ οὐκ ἔχω πρᾶγμα· ὅτι ὁ πλέκων τὴν σειρὰν ἐὰν νήφῃ μετὰ θ(εο)ῦ ἐστὶν
καὶ πλέκει ἑαυτῷ στέφανον· τὸ δὲ ἡσυχίαν θέλει· ὅτι κόσμον ἔχει· ὁ δὲ τὰ
κόσκινα φυλακῆς· ὅτι εἰς τὰς κώμας αὐτὰ πωλοῦσιν· ὁ δὲ καλλιγράφος· χρὴ
ἀνέχεσθαι ταπεινῶσαι τὴν καρδίαν· ἔχει γὰρ τὸ πρᾶγμα ὑψηλοφροσύνην·
τὸ λινυφικόν· οὐκ ἔχω πρᾶγμα ὅτι πραγματεύεται· ἐὰν γάρ τις εἴδη-
σω μακρόθεν βαστάζοντα τὰ σπυρίδια· ἢ ψιαθίν· ἢ κόσκινον λέγει ὅτι οὗτος θ(εο)ῦ
μοναχός ἐστιν· χόρτος γάρ ἐστιν τὸ ἔργον χειρῶν μόνον καὶ εἰς καῦσιν πυρός·
ἐὰν δέ τις ἴδῃ τινὰ πωλοῦντα ὀθόνια· λέγει ἰδοὺ οἱ πραγματευταὶ ἦλ-
θον· τοῦ κόσμου γάρ ἐστιν τὸ ἔργον χειρῶν τοῦτο· καὶ οὐ πολλοῖς ὠφέλιμον·
Εἶπεν γέρων· καθεύδοντός σου ἢ ἐγειρομένου· ἢ ἄλλο τι ποιοῦντος· ἐὰν
ἡ ὁ θεὸς πρὸ ὀφθαλμῶν σου· ἐμοῦ δὲ μὴ δύναται ὁ ἐχθρὸς ἐκφοβῆσαι·
ἐὰν δὲ ὁ λογισμὸς οὕτως ἐμμένῃ ἐν τῷ θεῷ· καὶ ἡ δύναμις τοῦ θ(εο)ῦ μένει εἰς ἐ-
μαυτῷ· ἔλεγεν τις τῶν γερόντων· ὅτι ὥσπερ ἀδύνατόν ἐστιν τινα τὸ
πρόσωπον αὐτοῦ θεωρῆσαι ἐν ὕδατι θολωδει· οὕτως καὶ ἡ ψυχὴ ἐὰν μὴ κα-
θαρθῇ ἀπὸ ἀλλοτρίων· θεωρητικῶς προσεύξασθαι οὐ δύναται
Ἀδελφὸς ἠρώτησεν γέροντα λέγων· τί ἐστιν ἡ προκοπὴ τοῦ μοναχοῦ·
καὶ λέγει ὁ γέρων· ἡ ταπείνωσίς ἐστιν ἡ εἰς προκοπὴν ἄγουσα τὸν μοναχόν·
Διηγήσατό τις τῶν πατέρων· ὅτι ἦν τις γέρων μεγάλων ἀξιωθεὶς χαρισμάτων πα-
ρὰ θ(εο)ῦ· καὶ περιβόητος γενόμενος διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν·
ἔφθασεν τὸ ὄνομα αὐτοῦ μέχρι τοῦ βασιλέως· ὁ δὲ βασιλεὺς μετεστείλα-
το αὐτόν· διὰ τὸ ἀξιωθῆναι τῶν εὐχῶν αὐτοῦ· συντυχὼν δὲ αὐτῷ καὶ πολλὰ ὠ-
φεληθεὶς προσήνεγκεν αὐτῷ χρυσίον· ὁ δὲ γέρων ἐδέξατο· καὶ ἐπανελθὼν
εἰς τὰ ἴδια· ἤρξατο φιλοκαλεῖν ἀγρὸν καὶ ἑτέρων κτίσιν· ἦλθεν οὖν δαιμο-
νιῶν κατὰ τὸ ἔθος· καὶ λέγει ὁ γέρων τῷ δαίμονι· ἔξελθε ἀπὸ τοῦ πλάσματος
τοῦ θ(εο)ῦ· ὁ δὲ δαίμων λέγει αὐτῷ· οὐκ ἀκούω σου· λέγει ὁ γέρων διατί· λέγει ὁ δαί-
μων· ὅτι γέγονας ὡς εἷς ἐξ ἡμῶν· καταλείψας τὴν μελέτην τὴν πρὸς τὸν

θεοῦ καὶ μέριμναν τινά μου· ἀπασχολήσας ἑαυτὸν διὰ τοῦτο οὐ κατακούω σου καὶ ἐξέρ-
χομαι. Διηγήσατό τις τῶν πατέρων· ὅτι ἀδελφὸς εὐλαβὴς εἰς τὰ πάνυ· εἶχεν
γὰρ ἀποταγήν· μεγάλου οὖν λιμοῦ γενομένου· λαμβάνων ἄρτους· ἐπορεύετο ἐπι-
μένειν κατὰ τὴν ἡμέραν αὐτοῦ· καὶ ἰδοὺ φωνὴ ἐγένετο πρὸς αὐτὸν λέγουσα· σὺ φροντί-
ζεις τῆς μερίσου ἢ ἐγὼ φροντίζω· ὁ δὲ ἀδελφὸς διακρίνας τὴν δύναμιν τῆς
φωνῆς· ἔρριψεν ἑαυτὸν ἐπὶ πρόσωπον εἰς τὴν γῆν παρακαλῶν καὶ λέ-
γων· οὐκέτι φροντίσω ἡμῶν· καὶ ἀναστὰς ὑπέστρεψεν εἰς τὸ κελλίον ἑαυτοῦ·
καὶ τῇ τρίτῃ ἡμέρᾳ· ἦλθεν ἡ μήτηρ αὐτοῦ λέγουσα αὐτῷ· ὁ δεῖνα ὁ μοναχὸς
ἔδωκέν μοι μικρὸν σῖτον· λαβὼν αὐτοὺς ποίησον ἡμῖν μικρὰ ψωμία·
ἵνα τραφῶμεν· ὁ δὲ ἀδελφὸς ἀκούσας ταῦτα ἐδόξασεν τὸν θεόν· καὶ ἐβελτιού-
μενος προέκοπτεν διὰ τῆς χάριτος τοῦ θεοῦ εἰς πᾶσαν ἀρετήν·
Εἶπεν τις τῶν πατέρων ὅτι παρὰ τὸν ποταμὸν πλησίον τῆς κώμης· ἔν-
θα ὁ μακάριος Σιλουανὸς διῆγεν· ἐν πόλει τινὶ ἦν ἐμμένων ἀδελφὸς προσ-
ποιούμενος μωρίαν· ὅταν γὰρ ὑπήντα αὐτῷ ἀδελφὸς, εὐθέως ἐγέλα·
καὶ λοιπὸν ἕκαστος κατέλιπεν ἑαυτὸν καὶ ἀπήρχετο· συνέβη δὲ τρεῖς τῶν
πατέρων παραβαλεῖν τῷ ἀββᾷ Σιλουανῷ· καὶ μετὰ τὸ ποιῆσαι εὐχήν· παρα-
καλοῦσιν αὐτὸν ἀπελθεῖν μετ' αὐτοῖς· ὅπως θεάσονται τοὺς ἀδελφοὺς
ἐν τοῖς κελλίοις· καὶ ἔλεγον τῷ γέροντι· ποίησον ἀγάπην· καὶ παράγγειλον
τῷ ἀδελφῷ· ἵνα ἀπέλθωμεν πάντας λαβεῖν ἡμᾶς· ὁ δὲ γέρων εἶπεν τῷ ἀδελ-
φῷ ἐπ' αὐτῶν· ὅτι πρὸς πάντας τοὺς πατέρας ἄρον αὐτούς· κατ' ἰ-
δίαν δὲ· παρήγγειλεν αὐτῷ λέγων· βλέπε μὴ λάβῃς αὐτοὺς πρὸς τὸν σαλ-
ἐκεῖνον ἵνα μὴ σκανδαλισθῶσιν· διερχόμενοι δὲ τὰ κελλία τῶν ἀδελφῶν
ἔλεγον οἱ πρέσβεις τῷ ὁδηγοῦντι αὐτούς· ποίησον ἀγάπην πρὸς πάντας ἄρον
ἡμᾶς· καὶ ἔλεγεν αὐτοῖς καλῶς· ὁ δὲ οὐκ ἔλαβεν αὐτοὺς εἰς τὸ κελλίον τοῦ σαλοῦ
κατὰ τὸν λόγον τοῦ γέροντος· ὡς δὲ ὑπέστρεψαν πρὸς τὸν γέροντα· εἶ-
πεν αὐτοῖς· εἴδετε τοὺς ἀδελφούς· οἱ δὲ ἔφασαν· ναὶ εὐχαριστοῦμεν· πού
τὸ δὲ λυπούμεθα· ὅτι πρὸς πάντας οὐκ ἀπήλθομεν· καὶ λέγει ὁ γέρων τῷ
λαβόντι αὐτούς· οὐχ εἶπόν σοι ὅτι πρὸς πάντας ἄρον αὐτούς· καὶ εἶπεν ὁ
ἀδελφός· οὕτως ἐποίησα πάτερ· πάλιν οὖν ἐξερχόμενοι οἱ πρέσβεις· ἔλε-
γον τῷ γέροντι· ὄντως εὐχαριστοῦμεν ὅτι εἴδομεν τοὺς ἀδελφούς· ἀλλ'

[illegible]

λλὰ τοῦτο μόνον ἀγωνισώμεθα· ὅπου κἂν δόμεν πανταχοῦ· τὸ ἐκ καρδίας
λέγει ὁ ἀδελφὸς τῷ γέροντι· πρὸς τὸν ἀδελφὸν τὸν ἄλλον οὐκ ἐλεύθερον
αὐτοῖς· ὡς ἐθεασάμην θυμὸν οἱ γέροντες· διακρίνας ἐμὲ αὐτῷ ὁ γέρων ποιεῖ τοῦ
ἀπέρχεται πρὸς ἐκεῖνον τὸν ἀδελφὸν τὸν ὑποκρινόμενον τὴν μωρίαν
καὶ μὴ κρούσας ἀλλ' ἠρέμα ἀνοίξας τὸ σανίδιον· αἰφνιδίως εἶδε τὸν ἀδελφόν·
καὶ εὗρε καὶ αὐτὸν καθεζόμενον εἰς καθίσματα· καὶ διὰ μαλάκια· ἐν ἐκδέξει
ὢν αὐτοῦ· καὶ ἐν ἐξομολογήσει· καὶ ὡς εἶδεν ἰδὼν τὸν γέροντα κατὰ τὸ ἔθος ἤρξατο
γελᾶν· λέγει αὐτῷ ὁ γέρων· ἄφες ταῦτα ἄρτι καὶ εἰπέ μοι τὸ καθίσματά σου·
ὁ δὲ πολλὴν μετέβαλεν· λέγει αὐτῷ ὁ ἀββᾶ Σιλουανός· οἶδας ὅτι χωρὶς σαββά-
του καὶ κυριακῆς οὐκ ἐξέρχομαι ἐκ τοῦ κελλίου μου· ἀλλὰ νῦν ἦλθον εἰς τὸ μέ-
σον τῆς ἑβδομάδος· ὅταν θεὸς ἀπέστειλέν με πρός σε· φοβηθεὶς οὖν ἐποίησε
μετάνοιαν τῷ γέροντι· καὶ λέγει αὐτῷ· συγχώρησόν μοι πάτερ· ὅτι καθίσματα
πορφυρᾶ καθέζομαι ἔχοντα ψήφους πάντας· ἔμπροσθέν μου· καὶ ἐὰν ἐ-
πέλθῃ μοι λογισμὸς ἀγαθός, βάλλω ψῆφον εἰς τὸ δεξιὸν μαλάκιν· ἐὰν δὲ
πονηρὸς εἰς τὸ ἀριστερόν· καὶ ἐὰν ἀρεσθῶσιν τοῦ δεξιοῦ πλείους ἐσθίω·
ἐὰν δὲ τοῦ ἀριστεροῦ οὐκ ἐσθίω· καὶ τῇ ἑσπερινῇ πάλιν ἐὰν ἐπέλθῃ
μοι πονηρὸς λογισμός· λέγω ἐμαυτῷ βλέπε τί ποιεῖς ὅτι πάλιν οὐκ
ἐσθίεις· ἀκούσας οὖν ταῦτα ὁ ἀββᾶ Σιλουανὸς· ἐθαύμασεν καὶ εἶπεν·
ὄντως οἱ παραβαλόντες μοι ἄγγελοι ἦσαν· τὴν ἀρετὴν τοῦ ἀ-
δελφοῦ θέλοντες δημοσιεῦσαι καὶ γὰρ πολλὴ χαρὰ καὶ εὐφροσύνη πνευματι-
κὴ γέγονέν μοι· τῇ παρουσίᾳ αὐτοῦ

Ἠρώτησεν ἀδελφὸς γέροντα λέγων· διὰ τί ὅταν ἐξέρχομαι εἰς ἔργον· ῥαθυ-
μῶ περὶ τῆς εὐχῆς μου· καὶ εἶπεν αὐτῷ ὁ γέρων· οὐ θέλεις πληρῶσαι τὸ
γεγραμμένον· λέγει γάρ· εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ διαπαντὸς
ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου· ἐάν τε οὖν ἔσω· ἐάν τε ἔξω ὅπου
δ' ἂν ὑπάγῃς· μὴ ἀποστῇς εὐλογῶν τὸν θεόν· οὐ γὰρ λόγῳ μόνον ἀλλὰ καὶ ἔργῳ
καὶ κατὰ διάνοιαν δοξάζεσθαι τὸν δεσπότην· οὐ γὰρ ἐν τόπῳ περιγέγρα-
πται τὸ θεῖον· ἀλλ' ἐν παντὶ τόπῳ τὰ πάντα ταῖς ὑπερβολαῖς τῆς δυνάμε-
ως αὐτοῦ· Ἔλεγον οἱ γέροντες περὶ ἄλλου ἀδελφοῦ· ὅτι οὐδέποτε
ἀπέσχετο τοῦ ἐργοχείρου· καὶ ἡ εὐχὴ αὐτοῦ ἀδιαλείπτως ἀνήρχετο πρὸς τὸν

θ(εο)ῦ· ἦν γὰρ σφόδρα ταπεινὸς καὶ εὐκατάστατος. Εἶπεν γέρων· ὅτι
ὁ στέφανος τοῦ μοναχοῦ ἐστὶν ἡ ταπείνωσις· ἐὰν μὴ ἐξετάζῃ ὁ μοναχὸς
ἑαυτὸν ἔν τινι πράγματι· μὴ ταπεινωθεὶς ὅσον πολλάκις καὶ ἀγαπήσῃ τὸ πρ(ὸς)
τὸν θ(εό)ν· ὅπου ἐὰν καθεσθῇ, εὑρήσει ἀνάπαυσιν διὰ τῆς χάριτος τοῦ θ(εο)ῦ.

Γέρων τις ἐλθὼν καὶ εὑρὼν ἐπὶ τὸν ποταμὸν χάρακα καλαμῶν ἡσυ-
χάζοντα ἐκάθησεν· καὶ κόπτων φλοῦδια ἐκ τοῦ ποταμοῦ ἔπλεκεν
σειράν, καὶ ἔβαλεν εἰς τὸν ποταμόν· οὕτως ἐποίει ἕως οὗ ἦλθον ἄνθρωποι καὶ εἶδον
αὐτὸν καὶ τότε ἄρας ἀνεχώρησεν· οὐ γὰρ διὰ τὸ χρήζειν εἰργάζετο· ἀλλὰ
διὰ τὸν κόπον καὶ τὴν ἡσυχίαν. Εἶπεν γέρων· ὅτι ἐὰν λέγῃς τινὶ περὶ
ζωῆς λόγον· μετὰ κατανύξεως καὶ δακρύων· εἰπὲ τὸ ἀκουσθέν· ἐπεὶ μηδὲ τῆς
ἰάματι ἀποθάνῃς ἀνωφελὴς μένων· ἐν ἀλλοτρίοις λόγοις· ἄλλους βουλό-
μενος σῶσαι. Εἶπεν γέρων· ὁ κύων κρείττων μου ἐστίν· ὅτι καὶ ἀγάπην ἔ-
χει· καὶ εἰς κρίσιν οὐκ ἔρχεται. Εἶπεν γέρων· ὅπου ὑπάγῃς πρόσεχε
αὐτῷ διαπαντὸς ὅτι τοῦ ἐρ(ῆμ)ου ἡ κατοικία κεῖται αὐτῶν· σπούδαζε
ὅπως ποιήσῃς τὸν κανόνα σου, καὶ τὰς ὥρας τρίτην καὶ ἕκτην καὶ ἐννάτην· τὸ
δὲ ἀπόδειπνον· τὰ ἑσπερινά· καὶ τῶν ἐννοιῶν μὴ ἀμέλει· πάντοτε βλέπε
ἔχε πρὸ ὀφθαλμῶν σου· ταῦτα δὲ ἄνευ κόπου πολλοῦ κατορθωθῆναι οὐ δύ-
ναται. Εἶπεν γέρων· γενοῦ ὡς κάμηλος· βαστάζων τὰς ἁμαρτίας σου· καὶ
δεδεμένος ἀκολουθῶν τοῖς ἐπισταμένοις τὴν ὁδὸν τοῦ θ(εο)ῦ.

Εἶπεν τις τῶν γερόντων· ὅτι τὰ μικρὰ περιφρονοῦντες, εἰς μεγάλα ἐμπίπτο-
μεν κακά. οἷον τι· ἐγέλασεν τις ἀκαίρως· ἐνεκάλεσεν ἕτερος· ἄλλος ἐξέ-
λιπεν τὸν φόβον θ(εο)ῦ πᾶσαν· οὐδὲν παρὰ τοῦτο τί γὰρ ἔστι τὸ γελάσαι· λοιπὸν ἀπὸ
ἀπὸ τούτου εὐτραπελία ἐτέχθη· ἐντεῦθεν αἰσχρολογίαι· ἔνθεν αἰσχραὶ
πράξεις καὶ παρανομίαι· οὕτως ὁ διάβολος ἀπὸ τῶν ὀλίγων κακῶν καὶ μικρῶν εἰς
μεγάλα εἰσάγει ὁ πονηρός· ἀπὸ δὲ τῶν μεγάλων· εἰς ἀπόγνωσιν· τοῦτο
δὴ σβέσει χαλεπόν· οὐ γὰρ οὕτως τὸ ἁμαρτάνειν ὡς τὸ ἀπογινώσκειν
ἀπόλλυσιν· ὁ γὰρ μετανοήσας διορθοῦται τὸ σφάλμα· ὁ δὲ ἀπογνοὺς
ἀπόλλυται· μὴ οὖν τὰ μικρὰ περιφρονοῦμεν· μετὰ δόλου γὰρ προσβά-
λλει· ἐπεὶ φανερῶς εἰ ἐπολέμει εὔκολος ἂν ἦν ἡ μάχη καὶ ῥᾳδία ἡ νίκη· μᾶλλον
δὲ ἐὰν μὴ φοβώμεθα εὔκολός ἐστιν· ὁ γὰρ θ(εὸ)ς καθ' ὅ πλῆθος ἡμῶν· ποθοῦμεν

δὲ τῶν μικρῶν ἡμῶν καὶ φρονῶν· ἀκούσωμεν τί παραινεῖ λέγων· ὁ εἰπὼν τῷ ἀ-
δελφῷ αὐτοῦ μωρέ· ἔνοχος ἔσται εἰς τὴν γέενναν· καὶ ὀφθαλμοῖς ἀκολάστοις ἰδὼν
μοιχός ἐστιν· καὶ τοῖς τέλος τὰς τολμηρίζει· καὶ περὶ ἀργοῦ ῥήματος λόγον ἀπαιτεῖ·
διὰ τοῦτο καὶ οἱ ὡς ἐννοίας πάνδεινον ἐθεράπευεν· ταῦτα οὖν εἰδότες ἀσφαλῶς
μεθ' ἑαυτοὺς εἰς τὰς προσβολὰς καὶ οὐ μὴ πέσωμεν ποτέ·

Εἰ πενιτὲρ διὰ τοῦτο ὑπερκόπτομεν· οὐδὲ ἐπὶ τὰ μεθ' ἀταμένα ἑαυτῶν· ὁ-
πού κεχωμένην ὑπομονὴν ἐμοῦ ἀρχόμεθα ἔργῳ· ἀλλὰ ἀπόνως θέλομεν
ἀρετὴν κτήσασθαι· καὶ ἀπὸ τόπου εἰς τόπους μεταβαινόμενοι· νομίζοντες
ὅτι εὑρίσκομεν τόπον· ὅπου οὐκ ἔστιν διάβολος·

Μονάζων τις ἦν μὴ ἐργαζόμενος τὸ σύνολον· ἀδιαλείπτως δὲ προσευχόμενος·
κατὰ ἑσπέραν οὖν εἰσῄει εἰς τὸ κελλίον· καὶ ηὕρισκεν τὸν ἄρτον αὐτοῦ καὶ ἤσθιεν· ἄλ-
λος δὲ μοναχὸς παρέβαλεν αὐτῷ ἔχων σεβέρια· καὶ ἐποίησεν τὸν τέρον ἐργάσασθαι
τὰ σεβέρια· ἑσπέρας δὲ γενομένης· εἰσῆλθεν κατὰ τὴν συνήθειαν φαγεῖν· καὶ οὐ-
δὲν εὗρεν· κοιμᾶται οὖν λυπούμενος· καὶ ἀποκαλύπτεται αὐτῷ· ὅτι ὅτε μὲν μετ' ἐμοῦ
ἐσχόλασας ἔθρεψά σε· ὅτε δὲ ἤρξω ἐργάζεσθαι· ἐκ τοῦ ἔργου τῶν χειρῶν σου ζήτησον τὴν
τροφήν σου· Μονάζων τις ἦν ὑφ' ἑαυτὸν ἔχων ἄλλον μονάζοντα· καὶ ἦν ἐν κε-
λλίῳ ἀπὸ δέκα μιλίων αὐτοῦ· καὶ εἶπεν ὁ λογισμὸς αὐτοῦ καλέσαι τὸν ἀδελφὸν αὐ-
τοῦ· ἵνα ἔλθῃ καὶ λάβῃ τὸν ἄρτον· καὶ πάλιν ἐλογίσατο· ὅτι διατί ἔχω σκύλαι τὸν
ἀδελφόν μου δέκα μίλια· μᾶλλον ἀπενέγκω αὐτῷ τὸ ἥμισυ τοῦ ἄρτου· καὶ λαβὼν
ἀπῄει εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ· καὶ ὡς ὑπῆγεν· προσέκρουσεν εἰς τὸν δάκτυλον
τοῦ ποδὸς αὐτοῦ· καὶ ἐξερχομένου τοῦ αἵματος· ἤρξατο ὁ μονάζων κλαίειν ἀπὸ
τοῦ πόνου· καὶ ἰδοὺ ἄγγελος ἦλθε λέγων αὐτῷ· τί κλαίεις; λέγει αὐτῷ ὁ μοναχός· τὸν δά-
κτυλον ἐπλήγην καὶ τὸν πόδα· ἔφη αὐτῷ ὁ ἄγγελος· καὶ διὰ τοῦτο κλαίεις; μὴ κλαῖε· καὶ
γὰρ τὰ βήματα ἅπερ ποιεῖς διὰ τὸν κύριον ἀριθμοῦνται· καὶ εἰς πολὺν μισθὸν· περισ-
σοῦ παρὰ τοῦ θεοῦ φαίνονται· καὶ ἰδοὺ ἔμπροσθέν σου· αἴρω ἀπὸ τοῦ αἵματος
καὶ ἀναφέρω πρὸς τὸν θεόν· τότε εὐχαριστῶν δοξάσας ἀπῆλθε πρὸς τὸν ἄλλον μοναχόν· καὶ δοὺς
αὐτῷ τοῦ ἄρτου τὸ ἥμισυ· διηγήσατο αὐτῷ τὴν φιλανθρωπίαν τοῦ θεοῦ· καὶ ὑπέστρεψεν
εἰς τὴν ἰδίαν κέλλαν· πάλιν μετὰ μίαν ἡμέραν λαβὼν τὸ ἥμισυ τοῦ ἄρτου
ἀπῆλθεν πρὸς ἄλλον μοναχόν· συνέβη δὲ καὶ τὸν ἄλλον μοναχὸν ἀπελθεῖν· ὑπήν-
τησαν οὖν ἀλλήλοις ἐν τῇ ὁδῷ· καὶ ἄρχεται ὁ μονάζων ὁ πρῶτος ποιήσας τὰ

γαθόν· λέγει μὲ κατ' αὐτῶν· θ(εὸ)ς ὡς ὡραῖον ἔχων· καὶ αὐτὸν ἐζήτησε συλλῆψαι· λέγει αὐτῷ ὁ ἄ-
λλος· ποῦ γέγραπται· ὅτι ἡ γῆ ἐμή ἐστιν· ἔρημος ἐμὴ χώρα· ἔασον καὶ ἡμᾶς ἁγιασθῆναι ὅσοι φοβεῖσ-
θαι· καὶ ἐξέφυγεν ὁ σφαλῶν ὃς ὡμολόγει· φαίνεται ἄγγελος κ(υρίο)υ καὶ λέγει αὐτοῖς· ἡ ἔρημος
μου ὅσος ἐν ὁδοιπορίᾳ ἀνῆλθε πρὸς τὸν θ(εό)ν·
Ἦν τις ἀδελφὸς καὶ ἐπολέμει αὐτὸν ὁ λογισμὸς ὅτι ὀφείλει ἀπελθεῖν καὶ ἐπισκέψασθαι
τὸν δὲ τὸν γέροντα· καὶ ὑπερετίθετο ἡμέραν καὶ ἡμέραν λέγων· ὅτι αὔριον ὑπάγω·
ἐπὶ τρία οὖν ἔτη ἐπολέμησεν τῷ λογισμῷ· ὕστερον δὲ λέγει πρὸς τὸν λογισμόν·
ὅτι δὲ μόνον ὅτι ἀπῆλθε πρὸς τὸν γέροντα· καὶ λέγει· καλῶς ἦλθες ἀδελφέ
λότερε· πόσον χρόνον ἐπεθύμουν ἰδεῖν τὴν ἀγάπην σου κυροῦ· καὶ ἀπήσας λεκάν-
ην· ὑπένιψεν ἐξ αὐτὸν καὶ ἔλεγεν· ὡς ἐκ προσώπου τοῦ γέροντος· καλῶς ἦλθες
ἀδελφέ· συγχώρησόν μοι ὅτι δι' ἐμὲ ἐκοπώθης· ὁ κ(ύριο)ς δώσει σοι τὸν μισθόν·
καὶ ποιήσας εὐχήν· ἔφυγεν καὶ ἔπεσεν καλῶς· καὶ εὐθέως ἀνεχώρησεν ὁ πόλεμος ἀπ'
αὐτοῦ· Εἶπεν γέρων· μοναχὸς ἐὰν ὀλίγας ἡμέρας κοπιᾷ· καὶ πάλιν χαυνοῦ-
ται· καὶ πάλιν κοπιᾷ· καὶ πάλιν ἀμελεῖ· ὁ τοιοῦτος οὐδὲν ποιεῖ οὐδὲ κτᾶται ὑπομονήν·
Εἶπεν ἡ ἀββᾶ Σεβαστιανός· ἐπὰν τὰ μὲν μὴ συμφέρει· καὶ μόνον μετὰ ἰ(ησο)ῦ εἶ· πλού-
σιος γὰρ ἐστὶν πᾶς ὁ μετὰ ἰ(ησο)ῦ ὤν· καὶ ἐν σώματι καὶ ἐν πενίαις· ὁ μὲν γὰρ τοῦ ἐν τῇ
γῇ προτιμῶν τῶν πνικῶν· ἀμφοτέρων ἐκπέσεται· ὁ δὲ τῶν ὁσίων
ἐπιθυμῶν· καὶ τῶν ἐπὶ τῆς γῆς τάξεται πάντων ἀγαθῶν· Ἔλεγον περὶ Μέ-
γαλου γέροντος· ὅτι παρέβαλεν εἰς κοινόβιον· καὶ ἴδεν παιδίον ἐκεῖ· καὶ οὐκ ἠ-
θέλησεν κοιμηθῆναι ἐν τῷ τόπῳ· λέγουσιν αὐτῷ οἱ μετ' αὐτοῦ ἀδελφοί· καὶ σὺ φο-
βῆ ἀββᾶ· ὁ δὲ εἶπεν αὐτοῖς· φησὶν οὐ φοβοῦμαι τέκνον· ἀλλὰ τίς χρεία ἐστὶν
πολέμου ἀργοῦ· Εἶπεν γέρων· ὡς πειραζόμενοι ἡμεῖς ἐσμὲν· οὐ χαρ-
ερχεται χλωρὸν τί ποτε· οὐδὲ καλὸν βάλλει σπέρμα διὰ τὸ πατεῖσθαι τὸν τό-
πον· οὕτως καὶ ἐφ' ἡμῶν· ἡσυχάσομεν δὲ παντὸς πράγματος· καὶ βλέπεις φυό-
μενα ἃ οὐκ οἶδας ὅτι ἔσω θέμενος οὐ ἦσαν· ἐπὶ πᾶσι φυλάττεσθαι περιέπατε·
Εἶπεν τις τῶν γερόντων· ὅτι ἀδύνατόν ἐστιν τῷ ἀνθρώπῳ· ἐφ' ὅσον ἔχει τὴν γλυκύ-
τητα τοῦ κόσμου· ἔχειν τὴν γλυκύτητα τοῦ θ(εο)ῦ· πάλιν δὲ ἐὰν γεύσηται τῆς
γλυκύτητος τοῦ θ(εο)ῦ· μισεῖ πάντα τοῦ αἰῶνος τούτου· καθὼς γέγραπται ἐν τῷ
εὐαγγελίῳ· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· καὶ ἡμεῖς ἐφ' ὅσον θέλομεν
τὴν τῶν ἀνθρώπων σχέσιν καὶ τὴν ἀνάπαυσιν τοῦ σώματος· οὐ δυνάμεθα ἀπολαῦ-

σαι τῆς γλυκύτητος τοῦ θεοῦ· τοῦτο δὲ ἔλεγεν· ὅτι ἐάν τις καθίσῃ εἰς τὸ κελλίον αὐτοῦ· καὶ σι
ωπήσας ἀσκήσῃ· καὶ εὐχὴν καὶ τὸ ἔργον αὐτοῦ ποιεῖ, εἰ δύναται ἐπιτυχεῖν· ἐν τῷ καιρῷ τούτῳ
δύναται σωθῆναι. Εἶπεν γέρων· μοναχὸς τιμώμενος ἐν τῷ μοναστηρίῳ πο
τηρίων· μὴ δέξαι ὑπὲρ ἐρήμου. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ὅτι ποτὲ
χρῆσθαι ἀδιαφθόρως· καὶ τὸ φαγεῖν καὶ τὸ πιεῖν· εἶπεν αὐτῷ ὁ γέρων· ἀπεκρίθη ὁ γέρ(ων)
ὅτι πᾶν κακὸν γεννῶσιν· βλέπομεν γὰρ ὅτι ἡ τελεία ἐρήμωσις τῆς Ἱερουσαλὴμ· γέγο
νεν διὰ Ναβουζαρδὰν τοῦ ἀρχιμαγείρου· καὶ πάλιν ὁ κύριος παρήγγειλεν τοῖς ἑαυτοῦ μαθη
ταῖς λέγων· βλέπεται μὴ βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ·
καὶ μερίμναις βιωτικαῖς· ἔλεγον περὶ τινὸς ἁγίου· ὅτι ὡμολόγησεν μὲν διωγμῷ· καὶ
πολλὰ ἐβασανίσθη· ὥστε καθίσαι αὐτὸν εἰς θρόνον χαλκοῦν πεπυρωμένον· καὶ
ἐν τῷ μεταξὺ ἐτελεύτησεν ὁ μακάριος Κωνσταντῖνος βασιλεύς· καὶ ἀπελύθησαν οἱ χριστι
ανοί· καὶ θεραπευθεὶς ὁ γέρων οὗτος ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ· καὶ ὡς εἶδεν τοῦτο
μακρόθεν εἶπεν· οἴμοι ὅτι εἰς πολλὰ κακὰ πάλιν ἐρχόμεθα· τοῦτο γὰρ εἶπεν διὰ
τοὺς ἀγῶνας· καὶ τὰ πολλὰ ἔργα τῶν τοῖς δαίμοσι.
Εἶπεν γέρων· ὅτι ὁ ἀπερχόμενος εἰς αἱρετικὸν κἂν μὴ εἰς ἀντιρρήσῃ· ἀλλὰ πάντως μετα
λαμβάνει τῆς ἀσεβείας· οὕτως καὶ ὁ παραβάλλων τοῖς πατράσι· ἐὰν θέλῃ ἐργάσασθαι
ὑποδείκνυσιν αὐτῷ τὴν ὁδὸν τῆς ταπεινώσεως· καὶ τάχα αὐτὸς γίνεται· ἐν τῷ
ἐπιδρομαῖς τῶν δαιμόνων. Εἶπεν γέρων· ἐὰν ἴδῃς τινὰ ἐμπεσόντα εἰς ὕδωρ
καὶ δύνασαι αὐτῷ βοηθῆσαι· χάλασον αὐτῷ τὴν ῥάβδον σου καὶ ἕλκυσον αὐτόν· καὶ ἐ
ὰν μὴ δυνηθῇς ἑλκῦσαι αὐτόν· κατάλειπε αὐτῷ τὴν ῥάβδον· ἐὰν δὲ αὐτῷ δώ
σῃς τὴν χεῖρά σου· καὶ μὴ δυνηθῇς ἑλκῦσαι αὐτόν· ἑλκύσει αὐτὸς κάτω καὶ ἀμφό
τεροι ἀποθνῄσκετε· τοῦτο δὲ ἔλεγεν· πρὸς τοὺς ἐμβάλλοντας ἑαυτοὺς βοηθῆσαι
τισὶν ἐν πειρασμοῖς· ὑπὲρ τὸ μέτρον ἑαυτῶν.
Εἶπεν τις τῶν γερόντων· ὅτι οὐκ ἔστιν τῆς ἐν πολλοῖς κάλλιον· τὸ μὴ ἐξουθενεῖν τινὰ
τῶν ἀδελφῶν· γέγραπται γάρ· ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου· καὶ οὐ λήψῃ δι' αὐτὸν
τὴν ἁμαρτίαν· ἐὰν οὖν ἴδῃς τὸν ἀδελφὸν ἁμαρτάνοντα καὶ μὴ ἐπιπλήξῃς· ἡμαρτες ὡς τὸ
τὸ ἴδιον σφάλμα· ἐκ τῶν χειρῶν σου ἐκζητηθήσεται τὸ αἷμα αὐτοῦ· ἐὰν δὲ
καὶ ἐλεγχθῇ καὶ ἐπιμείνῃ τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται· καλὸν οὖν σοι τὸ ἐ
λέγχειν μετὰ ἀγάπης· καὶ μὴ λοιδορεῖν, ἢ ἐξουθενεῖν ὡς ἐχθρόν.
Κοινοβιάρχης τις ἦν· ἔχων πολλὴν δόξαν παρὰ τῶν ἀνθρώπων· τὴν μονὴν αὐτοῦ διακο

σίαν· τοῦτο ὁ κ(ύριο)ς ὥς τι ἐφερμηνεύων πτωχ(ός) παρέβαλλεν· καὶ τῷ θυρωρῷ παρεκάλε-
σεν· εἰπεῖν τῷ ἀββᾷ· ὅτι ποδαπὸς ὁ σὸς ἀδελφός ἐστιν· [illegible] πολλοῦ
εἰσῆλθεν μηνῦσαι αὐτῷ ὁ θυρωρός· καὶ εὗρεν τὸν ἀββᾶν ἄλλον διαλεγόμενον
[illegible] δὲ ὀλίγον προσαναμεῖναι περὶ τούτου τοῦ πτωχοῦ· μὴ φθάσας ὁ πτωχὸς ἡμῖν· ὁ δὲ ἀβ-
βᾶς δὲ [illegible] αὐτὸν λέγων· οὐχ ὁρᾶτε μετὰ [illegible] ἀφ' ἑ-
τέρως· ὁ δὲ ὑπεχώρησεν μακροθυμῶν δὲ ὁ κ(ύριο)ς· ἔμεινεν ἐκδεχόμενος ἕως ἂν
ἔλθῃ· περὶ δὲ πέμπτην ὥραν· πλούσιός τις παρέβαλλεν· ὃν [illegible] ὑπηκ-
τησεν ὁ κοινοβιάρχης· [illegible] σωτῆρος πλουσίου· ὁ πλούσιος ἐγένετο καὶ πα-
[illegible] φίλος [illegible]· ἤγγισεν παρακαλῶν ὅτι [illegible] σοι θέλω ἀββᾶ· ὁ δὲ σωτῆρος
πλουσίου εἰσῆλθεν ἀριστοποιῆσαι σπουδάζων [illegible] τὸν ξένον· [illegible]
[illegible] τὸ ἄριστον προπέμπων ἕως τῆς θύρας τὸν πλούσιον ὑπέστρεψεν· ταῖς
πολλαῖς φροντίσιν αἰχμαλωτισθεὶς· καὶ ἐπιλελυμένος τῆς παρακλήσεως·
τοῦ πτωχοῦ καὶ ἀνεξικάκου [illegible]· ὁ [illegible] δὲ [illegible] καὶ μὴ ἀξιωθεὶς [illegible] ὑποδέξασθαι
τὸν [illegible] καὶ ἀληθινὸν ξένον [illegible] ἀνεχώρησεν δηλώσας αὐτῷ· οὕτως εἶ-
πε τῷ ἀββᾷ· [illegible] τὴν δόξαν τῶν ἀνθρώπων θέλεις· [illegible] πρότερον [illegible] κό-
σμον· καὶ τὰ [illegible] ἐκ τῶν τεσσάρων μερῶν τῆς οἰκουμένης· [illegible]
παραβάλλουσι· ἐπειδὴ χρείαν καὶ [illegible] θέλεις· τῶν δὲ ἀγαθῶν τῆς ἐμῆς βα-
σιλείας οὐ μὴ γεύσῃ· καὶ οὕτως [illegible] ὁ παντοκράτωρ πτωχός·

Εἶπεν ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος· [illegible] τὴν [illegible] κατα[illegible]
σον [illegible]· τὸν ὀλέθριον ὄγκον τῆς ὑπερηφανίας· μὴ [illegible] ἐὰν [illegible]
τος [illegible] τὸ τοιοῦτον· καὶ μηδὲν παρορῶμεν· ὡς οὐ παρὰ [illegible] βλαπτόμε-
νοι· τοῖς [illegible] ἐπιτηδεύμασιν ὁμοιοῦται ἡ ψυχή· καὶ πρὸς [illegible] τυποῦται· καὶ πρὸς
ταῦτα σχηματίζεται· ἔστω σοι σχῆμα καὶ ἱμάτιον· καὶ βάδισμα καὶ καθέδρα· καὶ
τροφὴ καὶ [illegible]· καὶ στρωμνῆς παρασκευή· καὶ οἶκος καὶ τὰ ἐν οἴκῳ πᾶν [illegible]
πρὸς εὐτέλειαν [illegible]· καὶ [illegible] καὶ [illegible] τὸν πλησίον εὐταξία· καὶ
ταῦτα πρὸς μετριότητα μᾶλλον· ἢ πρὸς ὄγκον ὁρώντων· μὴ [illegible] ἐν λόγοις
σοφιστικοῖς· μηδὲ ἐν ᾠδαῖς ἡδυφωνίας ὑπερβαλλούσας· μὴ δὲ διαλέξεις [illegible]
[illegible]· ἀλλ' ἐν πᾶσιν ὑποφέρειν τοῦ μετρίου· χρηστὸς πρὸς τὸν φίλον· ἤπιος πρὸς
[illegible]· ἀνεξίκακος πρὸς τοὺς ἐχθρούς· φιλάνθρωπος πρὸς τοὺς ταπεινούς·
[illegible] κακουμένοις· ἐπισκεπτόμενος τοὺς ἐν [illegible]· μηδέ γα

καθάπαξ παρορῶν· γλυκὺς ἐν προσευχῇ· φαιδρὸς ἐν ἀποκρίσει· δεξιὸς πρόσιτος ἐν πᾶσιν·

Ἀναχωρηταὶ ἄλλοι σοφοὶ καὶ πνευματικοὶ τὸν ἀριθμὸν δώδεκα· συναχθέντες ἐπὶ τὸ αὐτό· ἀπήτησαν ἑαυτοὺς ἃ ἕκαστος αὐτῶν κατόρθωσεν ἐν τῷ κελλίῳ αὐτοῦ· καὶ ποίαν ἄσκησιν ἤσκησε πνευματικήν·

Ὁ πρῶτος οὖν καὶ πρεσβύτερος αὐτῶν ἔφη· ἐγὼ ἀδελφοί, ἀφ' οὗ ἠρξάμην ἡσυχάζειν, ἀπολόμενον ἐθέμην ἐμαυτὸν τοῖς ἔξω πράγμασιν· ἐννοῶν τὸ γεγραμμένον· διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν· καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν· καὶ τεῖχος ποιήσας ἀναμέσον τῆς ψυχῆς μου καὶ τῶν σωματικῶν· εἶπον ἐν τῇ διανοίᾳ μου· ὅτι ὥσπερ ἔσω τοῦ τείχους οὐχ ὁρῶσι τὸν ἔξω ἑστῶτα· οὕτως μηδὲ σὺ θελήσῃς ὁρᾶν τὰ ἔξω πράγματα· ἀλλὰ σεαυτῷ πρόσεχε, ἐκδεχόμενος καθ' ἡμέραν τὴν ἐλπίδα τῆς [illegible]· οὕτως δὲ ἔχοντα τὰς πονηρὰς ἐπιθυμίας· ὡς ὄφεις καὶ γεννήματα ἐχιδνῶν· καὶ ὅταν αἰσθάνωμαι ἐν τῇ διανοίᾳ μου ταύτας φαινομένας, μετὰ ἀπειλῆς καὶ ὀργῆς ξηραίνω αὐτάς· καὶ οὐκ ἐπαυσάμην ποτὲ ὀργιζόμενος τῷ σώματί μου καὶ τῇ ψυχῇ μου· ἵνα μηδὲν φαῦλον ποιήσωσιν·

Ὁ δεύτερος εἶπεν· ἐγὼ εἶπον ἐμαυτῷ· ἀφ' οὗ ἀπεταξάμην τῷ κόσμῳ· ὅτι σήμερον ἀνεγεννήθης· σήμερον ἤρξω δουλεύειν τῷ θεῷ· σήμερον ταύτῃ παροικεῖν ἤρξω· οὕτως ἔσο καθ' ἑκάστην ὡς ξένος καὶ αὔριον ἀπαλλασσόμενος· καὶ τοῦτο ἐμαυτὸν συνεβούλευον·

Ὁ τρίτος εἶπεν· ἐγὼ ὄρθριος ἀπέρχομαι πρὸς τὸν κύριόν μου· καὶ προσκυνήσας αὐτὸν· ῥίπτω ἐμαυτὸν ἐπὶ πρόσωπον· ἐξομολογούμενος τὰ παραπτώματά μου· καὶ οὕτως καταβαίνων προσκυνῶ τοὺς ἀγγέλους αὐτοῦ· παρακαλῶν αὐτοὺς δεηθῆναι τοῦ θεοῦ περὶ ἐμοῦ καὶ πάσης κτίσεως· καὶ ὅταν ταῦτα ποιήσω, κατέρχομαι ἐν τῇ ἀβύσσῳ· καὶ ὥσπερ οἱ Ἰουδαῖοι ποιοῦσιν ἐν Ἱεροσολύμοις [illegible]· καὶ περισχιζόμενοι καὶ δακρύοντες καὶ πενθοῦντες ἐπὶ τῇ συμφορᾷ τῶν πατέρων αὐτῶν, τοῦτο κἀγὼ ποιῶ περιερχόμενος τὰς κολάσεις· θεωρῶ τὰ ἴδια μέλη βασανιζόμενα· καὶ κλαίω μετὰ τῶν κλαιόντων·

Ὁ τέταρτος ἔφη· οὗτός εἰμι ὡς ἐν τῷ ὄρει τῶν ἀγγέλων· καθήμενος ἐναντίον τοῦ δ
κυρίου καὶ τῶν ἀγγέλων αὐτοῦ· καὶ εἰ πῶς ἐμαυτὸν ἀπὸ τοῦ νῦν μηδὲν ἄγγελος κεκτῆσθαι
σάρκα· ἀλλὰ μετὰ τούτων μέσον διαπαντὸς ζῶντος αὐτοῖς· καὶ τὴν πολιτείαν
μιμούμενος· ὡς ἡ καλὴ Μαρία· παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καθημένη καὶ
τῶν λόγων αὐτοῦ ἀκούουσα· λέγοντα· τί με θέλοι· ὅτι καὶ ἐγὼ ἄλλος εἰμί· τί
μὲν θέλοι ὡς ὁ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν· καὶ μάθετε ἀπ' ἐμοῦ
ὅτι πρᾷός εἰμι· καὶ ταπεινὸς τῇ καρδίᾳ·
Ὁ πέμπτος εἶπεν· ἐγὼ τοὺς ἀγγέλους θεωρῶ· πᾶσαν ὥραν ἀνερχομένους· καὶ κατερχο- ε
μένους πρὸς τὴν κλίσιν τῶν ψυχῶν· καὶ διαπαντὸς τὸ τέλος μου προσδοκῶν
λέγω· ἑτοίμη ἡ καρδία μου ὁ θεός· Ὁ ἕκτος ἔφη· ἐγὼ καθημέραν
τοὺς λόγους τούτους ἀκούω μοι μὴ νομίζω παρὰ κυρίου· κάμετε δι' ἐμὲ καὶ ἐγὼ ἀναπαύ- ϛ
σω ὑμᾶς· ἔτι μικρὸν ἀγωνίσασθε καὶ δόξαν ὑμῖν τὸ σέλας μου· ἀγαπᾶτε
μου τέκνα μου ἐστέ· ὡς πρὸς παρακαλοῦντα αἰσχύνθητε· οἱ ἀδελφοί μου
ἐστέ· αἰδέσθητέ με ὡς πολλὰ δι' ὑμᾶς ὑπομεμένηκα· φίλοι προβάτων μου
ἐστέ· τοῖς δεσποτικοῖς ἀκολουθήσατε παθήμασιν·
Ὁ ἕβδομος εἶπεν· ἐγὼ τὰ τρία ταῦτα ἔχω μελετῶ· καὶ ἀδιαλείπτως ἐπιλέγω ζ
ἐμαυτῷ· πίστιν, ἐλπίδα, ἀγάπην· ἵνα τῇ μὲν πίστει χαίρω· τῇ δὲ ἐλ-
πίδι ἀνελχθῶ· τῇ δὲ ἀγάπῃ μηδὲν λυπήσω ποτέ·
Ὁ ὄγδοος εἶπεν· ἐγὼ πετόμενον θεωρῶ τὸν διάβολον ζητοῦντα τίνα καταπί- η
ῃ· καὶ ὅπου δ' ἂν ἀπέλθω· θεωρῶ τοῖς ἔσωθεν ὀφθαλμοῖς· καὶ τῷ δεσπό-
τῃ μου δέομαι ἐντυγχάνων κατ' αὐτοῦ· ἵνα ἀσθενήσῃ κατ' ἐμοῦ καὶ μηδὲν ἰσχύσῃ·
καὶ μάλιστα κατὰ τῶν φοβουμένων αὐτόν·
Ὁ ἔνατος εἶπεν· ἐγὼ καθημέραν ὁρῶ τὴν ἐκκλησίαν τῶν νοερῶν δυνάμεων θεωρῶ· θ
καὶ τὸν κύριον τῆς δόξης ἐν μέσῳ αὐτῆς· ὑπὲρ πάντας λαμπρυνόμενον· ὅταν δὲ
ἀκηδιάσω· ἀνέρχομαι εἰς τοὺς οὐρανούς· καὶ θεωρῶ τὰ κάλλη τὰ θαυμαστὰ
τῶν ἀγγέλων· καὶ τοὺς ὕμνους οὓς ἀναπέμπουσιν ἀπαύστως τῷ θεῷ·
καὶ πᾶσαν μελῳδίαν αὐτῶν· καὶ μετεωρίζομαι· ὑπὸ τῶν φωνῶν καὶ τῆς φωνῆς
καὶ τοῦ μέλους αὐτῶν· ὡς ἐμὸν σαι τὸ γεγραμμένον· οἱ οὐρανοὶ διηγοῦνται
δόξαν θεοῦ· καὶ πάντα τὰ ἐπίγεια· ὥσπερ δοκῶ σκύβαλα ἡγοῦμαι·
Ὁ δέκατος εἶπεν· ἐγὼ τὸν ἄγγελόν μου παραμένοντά μοι θεωρῶ πλησίον ι

καὶ τηρῶ ἐμαυτὸν ἐν μόνῳ τῷ ποθουμένῳ· προσδοκῶν τὴν τοῦ κυρίου μου διὰ παν-
τός· ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ· φοβοῦμαι σὺν αὐτὸν τὸν ὁρῶν-
τα μου τὰς ὁδούς· καὶ γὰρ θεωρῶ αὐτὸν καθεκάστην ἀνερχόμενον πρὸς τὸν
θεόν· καὶ ἐμφανίζοντα τὰ ἔργα μου καὶ τοὺς λόγους·
ια Ὁ ἐν τέλει κατ(?) εἶπεν· ἔσω πρὸ προσώπου ἐπίθες ταῖς ἀρεταῖς· οἷον τὴν ἐγ-
κράτειαν· τὴν σωφροσύνην· τὴν μακροθυμίαν· τὴν ἀγάπην· ἀεὶ ἐμαυ-
τὸν ἀγκίστρῳ κυκλώσας μοι αὐτάς· καὶ ὅπου δ' ἂν ἀπέλθω ἐμαυτὸν λέγω· ποῦ
εἰσί μοι οἱ παιδαγωγοί σου· μὴ ὀλιγωρήσῃς· μὴ ἀκηδιάσῃς· ἔχω αὐτὰς ἐπὶ τοῦ
διαπαντός· οἱ ἀδελφαὶ ἀρετῶν παρέστησαν σοι· πολλὰ μαρτυρήσουσιν ὑ-
πὲρ σοῦ ἐπὶ θεοῦ· ὡς ἀκροῶνται ἀναπαύουσιν ἐν σοί·
ιβ Ὁ δὲ ἕκαστος εἶπεν· ὑπομένων πειρασμοὺς ὁ σωθεὶς ἔχομεν τῶν πολιτευσαμένων ὁσίων
κέκτησθαι· καὶ οὐ θαυμαστόν· ἐπηρμένους γὰρ ὑπάρχοντας θεωρῶ τοῖς ἐρ-
γοις καὶ ταῖς ἀνωδίαις κομπάζοντας· τῇ γὰρ ἀληθείᾳ ἁμαρτίᾳ καὶ μετὰ τῆς ἐθνήσεσθε τῆς εἰκ-
σι ἑαυτοὺς πανταλῶς ἀπαλλοτριώσαντες ἐξ αὐτῆς· τί εἴπω ὑμᾶς ἐ-
σωτέρους ἀγγέλοις ἢ ὡς ἴσως ἄνθρωποι· ἐγὼ δὲ ἐμαυτὸν τούτων κρίνας ἀνά-
ξιον καὶ τοῦ ζῆν· τὰς ἁμαρτίας μου βλέπω ἔμπροσθέν μου· ὅπου δ' ἂν ἀπέλ-
θω· καὶ ὅπου δ' ἂν περιστραφῶ· βλέπω αὐτὰς προλαβούσας με· ἐν
τοῖς καταχθονίοις ὁρῶ ἐμαυτὸν κατεδικασμένον· ἐσόμενον μετ' αὐ-
τῶν μεθ' ὧν καὶ ἄξιός εἰμι· ἐν τούτοις γὰρ μικρὸν ὕστερον καταλογισθή-
σομαι· θεωρῶ οὖν ἐκεῖ οἰμώζοντας καὶ δάκρυα ἀπαιτοῦντας καὶ ἀνεκδιήγητον·
θεωρῶ τινὰς βρύχοντας τοὺς ὀδόντας· καὶ ἀλλομένους ὅλῳ τῷ σώ-
ματι· καὶ τρέμοντας ἀπὸ κεφαλῆς ἕως ποδῶν· καὶ ῥίπτω ἐμαυτὸν ἐπὶ τὴν
γῆν καὶ ὀδυρμὸν κατασπώμενος· ἱκετεύω τὸν θεὸν τῶν συμφορῶν ἐκείνων
ἀπερᾶν μὴ λαβεῖν· βλέπω δὲ καὶ θάλασσαν πυρὸς παφλάζουσαν· καὶ διάρ-
σασαν καὶ μυκωμένην· ἀφορμῆσαι τινὰ μέχρι τοσούτου φθά-
νον τὰ κύματα τοῦ πυρός· καὶ ἐν τῇ φοβερᾷ θαλάσσῃ ἀναριθμήτους
ἐρριμμένους ὑπὸ ἀγρίων ἀγγέλων· καὶ πάντας ἀφορμὴν πάντας ἐκ μόνου ὁμοῦ
ἀλαλάζοντας καὶ βοῶντας· οἵας οὐδεὶς ἐκδιηγήσεται ἐπὶ τῆς γῆς ὀλολυγὰς
καὶ φωνάς· καὶ ὡς περιφρύγεται πανταχόθεν καιόμενοι· καὶ τοὺς οἰκτιρ-
μοὺς τοῦ θεοῦ ἀποστρεφομένους ἀπαιτοῦντας διὰ τὰς αὐτῶν ἀνομίας

καὶ τὸ τεθνηκὸς τοῖς ἔθνεσι τῶν ἀνθρώπων· πῶς τολμήσω λαλῆσαι λόγον ἢ προσέχειν τινί; τὸ σύνταγμα τῶν καθημένων καθ' ὅλον τοῦ κόσμου· ἐν τοῖς τοιούτοις λογισμοῖς κρατοῦμαι ἐν τῇ διανοίᾳ μου τὸ πένθος· ἀνάξιον ἐμαυτὸν κρίνας τοῦ ὁσίου καὶ τῆς γῆς· πληρωθὲν τοίνυν γράφειν μόνον· ἐπενήνθη τὸ δάκρυόν μου ἐμοὶ ἄρτος· ἡμέρας καὶ νυκτός· ταῦτα τῶν σοφῶν καὶ πνευματικῶν πατέρων τὰ ἀποφθέγματα· πέμψον οὖν καὶ ἡμᾶς μνήμης ἀξίαν πολιτείαν ἐνδείξασθαι· ἵνα γενόμενοι ὁμοίως ἄμεμπτοι χάριτι ἀπολαύσωμεν τοῦ δεσπότου ἡμῶν Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν :~

Περὶ ἀββᾶ Μακαρίου τοῦ πολιτικοῦ.

Τοῦ βασιλέως τῶν αἰώνων πλουσίως χαριζομένου τοῖς ἀξίοις τῶν αὐτοῦ ἀγαθῶν· δεῖ εἰς ἔπαινον καὶ δόξαν τοῦ ὀνόματος αὐτοῦ, δίκαιον λέγειν πρὸς ὠφέλειαν τὰ διὰ τοῦ ὁσίου Μακαρίου κατορθώματα· οὗτος γὰρ εἰς τέλος τὴν ἄκραν φθάσας τῆς κατὰ θεὸν ἀρετῆς· καὶ πάντων ὑπεραναβὰς τῶν πατέρων, θεωρίᾳ κατηξιώθη τῶν ἀσωμάτων καὶ θείων μυστηρίων· ἰσάγγελος ἀρετῇ· ὡς δηλοῦσί τινες οἱ τούτου μαθηταὶ γεγονότες· καὶ παρ' αὐτοῦ ἀκούσαντες τὰς ἀποκαλύψεις· ὅσας ὁ θεὸς αὐτῷ ὑπορίζειν ἠβούλετο· καὶ φησίν· εἶδόν ποτε αὐτὸν εἰς τὸν ... διὰ ... καὶ ἀπειρηκὼς πολλὰ πρὸς ἐπάλαιεν μόνος διάβολος δαίμων καὶ τῆς κακίας ἀρετῆς διάφορα· ὡς δὲ οὐδὲν ὄφελος ἐποιεῖτο τῆς μάχης ὁ πολέμιος ὁ πανοῦργος· ἐμφανίζειν ἑαυτὸν ἐδόκει τῷ ἀνδρὶ· καὶ τὰς ἑαυτοῦ ποικίλας τῆς πλάνης τέχνας δεικνύειν ἐπειρᾶτο· θεοῦ τοῦτο ὁμολογεῖν ἀναγκάζοντος· καὶ μὴ βουλομένου· καὶ δὴ πρὸς τὴν βαθυτάτην ὁδὸν ὡς ἔρημον· ὁ καλὸς τοῦ Χριστοῦ στρατιώτης ὁ μακάριος· ὁρᾷ πρεσβύτην πάνυ προσαπαντῶντα αὐτῷ καὶ ἀχθοφοροῦντα σφόδρα· καὶ πάντα τοῦ σώματος περικείμενον ἀγγείων πλῆθος· ἕνεκα τὰ δὲ ἑαυτῷ περιφέρειν· καὶ ὥστε περιβολαῖς φορεῖν τὴν ὕλην· πήξας οὖν τὴν ... δομέστη φησὶν πρόσωπον πρὸς πρόσωπον ἀπερίζων· ὡς δὲ ἴσως ... τῆς ἐρυθρίας προσεποιήσατο· καὶ φησιν τῷ δικαίῳ· τί ποιεῖς ἐν τῇ ἐρήμῳ ταύτῃ πλανώμενος· ὁ δὲ ἅγιος Μακάριος ἀπεκρίθη· θεὸν ἀεὶ θέλων φεύγω τὴν πλάνην· σὺ δὲ τίς εἶ ὦ πρεσβῦτα· ὑπόριζέ μοι· ξένον γάρ σου τὸ σχῆμα τῆς ἀνθρωπείας· λέγε μοι ταῦτα ἅ φησιν τὰ περιέχοντά σε· ὁ δὲ ἀκούσας ὁμολογεῖ λέγων· οὐ λέγειν ἐσαυτῷ ἀλλὰ καὶ διάβολος ὁ ἐστὼς τυγχάνω· καὶ ταῦτά ἐστιν

+ φιλαδελφ δὲ τα κ(αὶ) μισο

ἐμοῖς τοῖς ἀνοήτοις διαφόροις τρόποις εἵλκω πρὸς ἐμαυτόν· ἑκάστῳ μέρει τὸ ἁρμό-
ζον φάρμακον πάσης ἐργασίας σπουδάζων τελέσαι· καὶ πρὸς ἑπτὰ θυμοῖς· τοῖς ἀκούουσί μου
καὶ τρέφω μεθ' ὧν φρονίμως ἐπὶ τῇ πάσῃ τῶν ὑπ' ἐμοῦ ἡττωμένων· ἀκούσας ὁ ἅγιος Μα-
κάριος ὁ θαρσήσας εἶπεν πρὸς αὐτόν· τοῦ Χριστοῦ σε δεσμώτην παραδεδωκότος τοῖς
αὐτοῦ ἀγγέλοις· φράσον μοι κατ' εἶδος· ὧν ἔχεις φαρμάκων τὴν ἐνέργειαν· καὶ
τοῦτο γὰρ ἐφάνης· ἵνα ἴδωμεν σοῦ τὰς πολυπλόκους μηχανὰς τῆς κακίας σου τέ-
χνης· καὶ μαθόντες τὰ πολυμήχανά σου βέλη· μὴ οὕτω τιθέμεθα αὐτοῦ τὴν γνώμην·
ὁ δὲ ἔφη· λέγω σοι καὶ μὴ θέλων τὴν ἐμὴν ἐπιστήμην· οὐ γὰρ δύναμαι κρύπτειν μὴ ἀποβλέ-
πων· μάνθανε αἰτίαν· ἐκ θείου ἀγγείου· ἐὰν ἀκούω τινὰ τὸν νόμον τοῦ
θεοῦ ἀδιαλείπτως μελετῶντα· ἐμποδίζω αὐτὸν κεφαλαλγίαν αὐτῷ ἐπιφέρων
τοῦ ἐπὶ τῆς κεφαλῆς μου ἀγγείου χέουσαν· τὸ δὲ ἀγρυπνεῖν καὶ ... μὴ θέλον-
ται λαμβάνω ἐκ τοῦ περὶ τοὺς ὀφθαλμούς μου ἀγγείου καὶ τῷ περὶ τὰς χεῖρας· καὶ ὕπνῳ
ἑλκυσθεὶς βιάζομαι μυσταγωγὸν ἐπιφέρων· τὰ δὲ περὶ τὰς ἀκοὰς ὁρώμενα ἀγγεῖα
παρακοὴν ἐργάζονται πρὸς ἐρεθισμὸν καὶ διὰ τούτων ποιῶ μὴ ἀκούειν τὸν τῆς ἀλη-
θείας λόγον· τοὺς θέλοντας σωθῆναι· τοῖς δὲ ἐπὶ ταῖς ὀσφρήσεσί μου μύροις ἀνα-
τοῖς μέσοις καὶ πορνείαν· τοῖς δὲ ἐπὶ τὸ στόμα σκεύεσι ... φαρμάκοις δελε-
άζω τοὺς ἀσκοῦντας διαρρωννύναι ἀθέλως ... ἐπὶ τὸ ἐμπεσεῖν αὐτοῖς διὰ τούτων
τὸ τῆς καταλαλιᾶς εἶδος· καὶ τὸ τῆς αἰσχρολογίας· καὶ πάντα ὁμοῦ ἴδιον ἔργον ...
... καὶ πλῆθος κακοπαθειῶν μοι ἀξίων· τῶν ἔργων τούτων ὡς ἐμοὶ ἐργασία· ὑπερη-
φανίας δὲ περιβάλλων περικλῶ τὸν ὑψηλοφρονοῦντα διὰ τῶν ἐν τῷ τραχήλῳ
μου ὅπλων· ἐκ τούτων γὰρ ἔχω τοῖς ταῖς ἐμαῖς φρονοῦσιν ἐργάζεσθαι ἐν τῷ βίῳ· δό-
ξαν καὶ πλοῦτον καὶ ὅσα ἄλλα ἔργα αὐτὸς νομίζει εἶναι ἀγαθὰ τοῖς ἀποθυμεῖ μακρυμέ-
νοις· τὰ δὲ περὶ τὸ στῆθος βλέπεις· τῶν ἐμῶν ἐμμονῶν εἰσι δοχεῖα· ἐξ ὧν ποτί-
ζω τὰς καρδίας καὶ μεθύσκω ἀσεβείᾳ· σκοτίζων καὶ σκορπίζων τὰς εὐσεβεῖς γνώμας
τῶν θελόντων τῶν ἐνθυμεῖσθαι τὰ μέλλοντα· λήθῃ τὴν μνήμην αὐτῶν ἀφανίζων
τὰ δὲ περὶ τὴν κοιλίαν μου εἰσί μοι ἀγγεῖα· ἀναισθησίας πεπληρωμένα· δι'
ὧν ἀλόγως καὶ κτηνωδῶς παρασκευάζω τοὺς ἀνθρώπους θηρίων τρόπῳ
τὸ ζῆν αὐτοῖς παρέχων· τὰ δὲ ὑπογάστρια μοι ... πρὸς θυμικὴν εὐκινεῖν
πρὸς μῖξιν ἀσελγῶν· ἀκολασίας αἰσχρὰς διὰ τούτων ποιοῦμαι· τὰ δὲ
ἐν χερσί μου ὡραῖα καὶ τὴν τῶν φόνων καὶ φθόνων εἰσὶν ὑπηρεσίαν ἤτοι μασ

μένουσιν ἔξωθεν αἱ πράξεις τῶν ἐμῶν μερῶν περιχορεύουσιν· πῶς δὲ ὄπισθεν
περιέποντες μὴ ὄντων καὶ τοὺς ὁμοίους κρατήματα· ὁ ἡμόφος ἐστὶν τῶν ἐμῶν
πλεονεκτημάτων· δι' ὧν μὲν ἰσχυρῶς ἀγωνίζομαι· πρὸς τοὺς ἐμοὶ πολεμοῦντας ἐγ-
χειροῦντας· ἐμφράττω μὲν ἐκ τῶν ὄπισθεν· καὶ ῥαπίζω τοὺς διωκομένους ἐπιπο-
θοῦντας· τοὺς δὲ περὶ τοὺς μηροὺς καὶ τὰ σκέλη ἕως ποδῶν ὥσπερ χερσὶ
συγκεκλεισμένα· ταῖς δὲ ὀργαῖς καὶ βρόχον μηχανώμενα ἔξωθεν περιαιμάτων
παρ' αὐτὰς τὰς ὁδοὺς τῶν εὐθειῶν· ἐμποδίζων τρέχειν τὸν τῆς εὐσεβείας
δρόμον· καὶ τῇ ἐμῇ ὁδῷ βαδίζειν αὐτοὺς παρασκευάζω· ἐν μέσῳ γὰρ καθή-
μενος τῶν ὁδῶν τῆς ζωῆς καὶ τοὺς θανάτου σκελίζω· τοὺς ἐν τῇ ζωῇ περιπα-
τοῦντας· συγκλείω μὲν αὐτοὺς εἰς τὴν ὁδὸν τοῦ θανάτου· ἐνισχύω μὲν αὐτοὺς πρὸς
τὴν ἐμὴν πορείαν· εἰς δὲ τὴν ἐμὴν ἀροτριῶ· τριβόλους καὶ ἀκάνθας καὶ
πῦρ· ἐμπιπρώμενοι ἀρνοῦνται τὴν ὁδὸν τῆς ἀληθείας· οὐδὲ τῶν πε-
λαζόντων ἡ βουλὴ θέλησις μου ἀκοῦσαι· καὶ ἅπαξ ἵνα ἔχω μικρὰν παραμυθί-
αν ἀλλὰ πυροῖς με πάνυ· ὅπλον ἔχω μέγα· ὁ θεμελιώδης φθέγμα εἰς τοὺς ἐμοὺς
δούλους· σὺ γὰρ ἔχεις καλὸν δεσπότην μετὰ τῶν σῶν δούλων σου· περὶ ὧν ὁ μέλ-
λοντα· καὶ ὅσα τηροῦντα ὡς ἴδιον τέκνον· ἀκούσῃ ταῦτα ὁ δόκιμος τοῦ ἀθλη-
τής· ἐπεστράφη σεαυτὸν εἰ πῶς εὐλογητὸς ὁ θεός· ὁ παραδοὺς σε εἰς αἰσχύνην τῶν
ἐλπιζόντων ἐπ' αὐτόν· καὶ ἐμὲ φυλάξει τελείως ἀπὸ τῆς σῆς ἀπάτης· ὅπως νική-
σας σε λάθρα· τὸ βραβεῖον παρ' αὐτοῦ ἐμοῦ δεσπότου· φέρε τοίνυν μακρὰν τῶν βελῶν
ἀρχηγὸς ἐκ ταρταροῦ· μὴ ἀπὸ τοῦ τῶν ὀλίγων τὴν στενὴν ὁδὸν εὐθεῖαν καὶ τετραχ-
υμένην τῆς ζωῆς· ἀρκοῦ τοῖς σοῖς· καὶ φείδου τῶν εἰς ἐρημίαν· λέγων τοῦτο δὲ τοῦ ἀλ-
λόταυ· εὐθέως ἐκ μέσου ἀφανὴς ἐγένετο· καπνὸς ὥσπερ πυρὸς ἐκ τῶν δύο ξύλων·
εἰς δὲ τὰ ὀνόματα ὁ ἄλλος· προσκυνῶ τὸ λέγων· δόξα σοι Χριστὲ ὁ καταφυγὴ τῶν
χειμαζομένων· ὁ σωτὴρ τῶν εἰς σὲ καταφευγόντων· ἀμήν·
Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀλωνίου· ὅτι καὶ αὐτοῦ ποτε εὐχομένου ἐν τῷ κελλίῳ αὐτοῦ· ἦλ-
θεν αὐτῷ φωνὴ λέγουσα· Ἀλώνιε· οὕτω ἔφθασας εἰς τὸ μέτρον· τοῦ δὲ τοῦ
σκηπτέως· τοῦ ἐν Ἀλεξανδρείᾳ· ἀναστὰς οὖν ὁ γέρων· καὶ λαβὼν τὴν βαΐνην
ῥάβδον· ἀπῆλθε πρὸς αὐτόν· ἐλθὼν οὖν εἰς τὸν τόπον· εἰσῆλθεν πρὸς αὐτόν
ἰδὼν δὲ αὐτὸν ἐκεῖνος ἐταράχθη· λέγει οὖν πρὸς αὐτὸν ὁ γέρων· εἰπέ μοι τὰς
πράξεις σου· ὁ δὲ εἶπεν· οὐκ οἶδα ἐμαυτόν τί ποτε καλὸν πράξαντα.
ἀλλ' ἐμὸν μὲν ὡς ἀνίσταμαι τὸ πρωΐ· πρὸ τοῦ με καθίσαι εἰς τὸ ἔργον χειρῶν μου λέγω

ὅτι πᾶσα ἡ πόλις αὕτη ἀπὸ μικροῦ ἕως μεγάλου
αὐτῶν εἰσέρχονται εἰς τὴν βασιλείαν διὰ τὰς δικαιοσύνας
αὐτῶν· ἐγὼ δὲ κληρονομήσω τὴν κόλασιν· διὰ τὰς ἁμαρτίας
μου· καὶ πολλάκις ... πρὶν καὶ μὴ θέλοντος τὸν αὐτοῦ λόγον· ἀκούσας
δὲ ὁ ἀββᾶς Ἀντώνιος λέγει· ἀληθῶς ὡς καλὸς χρυσοχόος κα-
θεζόμενος ἐν τῇ οἰκίᾳ μετὰ ἀναπαύσεως τὴν βασιλείαν ἐκληρο-
νόμησας· ἐγὼ δὲ ἀδιακρίτως ὅλον μου τὸν χρόνον οὐ κατελά-
βομεν·

Γέρων τις διηγήσατο περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ πολιτικοῦ· ὅτι περὶ τὸν μάρ-
μονάστηριν· ἐκαθέζετο ἡσυχάζων ἔτη πολλὰ πολὺν ἄθλον ἀσκήσας βίον
ὢν πνευματοφόρος πρὸς ἐπιλογισμοὺς κενοδοξίας· περὶ τὴν μονὴν διὰ τὴν ὑπερη-
φανίαν· καὶ ὑψώθη καὶ προσπορευόμενοι πλανᾶν αὐτὸν ἀπὸ τῆς ἀληθοῦς
πίστεως· καὶ ἐφύσησεν αὐτὸν εἰς τὸ φρόνημα τῶν λεγομένων ἱεροκηρύκων· οἱ
τινὲς λέγουσιν· μήποτε τὸν σὸν ... ἀντιμονὰν πλανηθῆς· μήποτε ἐπιτρέπε-
σθαι τὸν ἡμέτερον σῶμα ὅπερ ἰκάμεθα· καὶ ὅτι τρεῖς φύσιν ἀρχαί· θεὸς καὶ ὕλη
καὶ κακία· ἐξ ὧν κατασκευάζεται· μήποτε ἐν ... πιστεύειν τὸν θεὸν λόγον τέ-
λειον ἄνθρωπον· μήποτε μὴ σώζεσθαι τοὺς εἰς τὸν υἱὸν πάντα αἰτίαν· οὗτος
δὲ διὰ τὰς ... αὐτοῦ ψυχὰς πεντακοσίας· ἴσχυσεν δὲ διὰ τὸ λέγειν πολλὰ πολ-
λοὺς καὶ αὐτὸς λέγειν ἀρέσας· καὶ ἀποβολὰς θανάτου ἐν διαφόροις τρόποις· ἀλλὰ καὶ
δαιμόνια φησὶν ἐξέβαλεν· κατὰ τὸ ἐν εὐαγγελίοις εἰρημένον· ὅτι δώσουσιν
σημεῖα καὶ τέρατα· ὥστε εἰ δυνατὸν πλανῆσαι καὶ τοὺς ἐκλεκτούς· φοβερὸν
τὰ ἀρχοντικὰ δαιμόνια ... ταῖς ἰσχύσι· τὰ αὐτὰ ἐκ φαντασίας θέλει κατα-
γεῖν· πάντα γὰρ συμφορούσιν ἐπὶ τὰς ἀψυχῶν· ὁ δὲ οὕτω τοῦτο ποιοῦν ἐπὶ τοὺς κόπους
μετὰ τοῦ κλήρου παρελθεῖν πρὸς τὸν Χριστὸν μακάριον· ἀξιοῦν αὐτὸν· ὅτι ὡς
θέλεις ἐλθὲ καὶ βοήθησον ἡμῖν· ἐὰν γὰρ μὴ σοῦ ζῶντος· τὴν γειτονίαν ἡμῶν κα-
θαρῶμεν· πάντες αὐτῷ προσκαμπτοῦσι· καὶ εὐχερῶς περιφερόμενοι
τῇ πλάνῃ ὑπαγόμενοι ἀπόλλυνται· ὁ δὲ πρὸς αὐτὸν ἔφη· καὶ ἰδοὺ ἐρχόμεθα·
ἰδιώτης ἄνθρωπος· τί αὐτῷ ποιήσω· ὁ δὲ ἐπίσκοπος ἔπεμψεν· ἀξιῶν καὶ λέγων
ὅτι οὕτως ποιήσω· ὅτι ἐὰν ἔλθῃς· ὡς εἰρηνικὴν τὴν ἐκκλησίαν αὐτοῦ· πολλάκις
γὰρ προθέμενος ἐλθεῖν· ἐκωλύθη ὑπὸ τοῦ κλήρου· ὡς καὶ τελούμενος

πὸ τῶν κοσμικῶν· μὴ οὖν μὴ φέρων τὴν ἀπώλειαν τοῦ λαοῦ· ἄλλος δὲ καὶ τὸ
ἔγκλημα φοβούμενος τοῦ θεοῦ λέγοντος τῷ γέροντι· ὅτι τὸ αἷμα αὐτῶν ἐκζητήσω ἐκ τῆς
χειρός σου ὑμῶν· ἦλθον πρὸς αὐτὸν ἔπεμψαν τὸν μετὰ τοῦ θεοῦ· ὁ δὲ ἀναστὰς ἠκολούθησεν
αὐτῷ· καὶ ἔρχονται ἕως ἐκάθητο τοῦ πλάνου· καὶ ὁρῶν αὐτὸν καὶ λέγει τῷ ἐπισκόπῳ
οὗτος τὸ πνεῦμα ἔχει ἀρχοντικόν· καὶ εἶμαι οἶδας ὅτι ἐμὸν ἔργον τοῦτο οὐκ ἔστιν· οὔτε
γὰρ πρὸς ταῦτα τὰ πνεύματα ὅλως ἐπάλαισα· διὸ γὰρ τὰ γράμματα λέγουσιν οἱ ἀλ-
οι δαιμόνων· ἐν τὸ τὰς ἡδονὰς ἐμβάλλειν τῷ σώματι· καὶ ἐν τῷ τὰς ψυχὰς
ἐμποιοῦντι πλάνας· ὃ καὶ σφόδρα ἐστὶν δεινὸν ποτὲ κτῶν· ταῦτα γὰρ ἀφορίζουσα αὐτὰ
μας· τοῖς γόησι καὶ τοῖς πλάνοις· καὶ αἱρεσιάρχαις· καὶ φαρμακοῖς καὶ μάντεσι·
καὶ εἴ τι τοιοῦτον· λέγει ὁ ἐπίσκοπος· καὶ τί ποιήσομεν· λέγει ὅτι ἐρχομένων χάρω
ἐκ βάθους· λόγος γὰρ οὐκ ἰσχύει· κελεύουσι μὲν οὖν αὐτὸν ἐξελθεῖν· ὁ δὲ ἐξέρχεται
πρὸς αὐτούς· καὶ παραχρῆμα δέχεται αὐτὸν ὁ ἐπίσκοπος χαλῶς· καὶ λέγει αὐτόν·
πῶς τοσοῦτον χρόνον μονώσας ἀπέβαλες ἡμῖν· ὁ δὲ εἶπεν· ὅπου φέρομαι τεὸρ θεοῦ
λέγει οὖν αὐτῷ ὁ ἄλλος μακάριος· σὺ οὖν καλῶς φρονεῖς· ὁ δέ· καὶ πάνυ φησίν·
τί δὲ ἐστὶν φησὶν ὃ ἡμεῖς οὐ φρονοῦμεν καλῶς; ὁ δὲ· ὅτι σάρκα καὶ ὅσα λέγετε
περιέρεσθε· ἀλλὰ καὶ τὸν θεὸν λέγετε σάρκα ἀνειληφέναι· λέγει ὁ ἄλλος μακάριος
ἡμεῖς ἀφ' ἑαυτῶν λέγομεν· καθὼς λέγομεν· ἀδελφὲ ἀληθῶς οὕτως ἠθέλησεν·
σὺ τί ἄρα τι λέγεις· ἵνα δὲ μὴ πολλοῖς ἀναλώσωμεν λόγοις· λέγομεν ὡς οὕτως φρο-
νοῦμεν· καὶ ἡμεῖς πεπιστεύκαμεν· καλῶς ποιεῖς· ἀδελφὲ εἰ μὴ πρὸς τὸν θεὸν ἔχεις· οὕτω
δόγματα τὰ ἀθετεῖς· ὁ δὲ ἔφη· ἐγὼ περὶ τὸ λέγομεν τὴν πίστιν· εἰ γὰρ ὅ-
σοι εἶπεν· καθολικὴ πίστις μὴ ὁμολογεῖσθω· ἀλλὰ λέγομεν τὴν καθολι-
κὴν τῆς ἐκκλησίας πίστιν· καὶ λέγει τῷ ἐπισκόπῳ ἀπαμ ἑαυτῷ ὅλου τοῦ λαοῦ·
ἄρχεται οὖν ἐκτίθεσθαι τὴν πίστιν οὕτως· πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παν-
τοκράτορα ποιητὴν οὐρανοῦ· καὶ εἰς τὸν ὁμοούσιον αὐτοῦ λόγον δι' οὗ ἐποίη-
σεν τοὺς αἰῶνας· τὸν ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν τῆς ἁμαρτίας
ἐπιδημήσαντα ἐν σαρκί· ἣν ἐκ τῆς ἁγίας θεοτόκου μαρίας ἑαυτῷ ὑπεστήσατο·
τὸν σταυρωθέντα καὶ ἀποθανόντα· καὶ ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ
καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός· καὶ πάλιν ἐρχόμενον ἐν τῷ μέλλοντι αἰῶνι
κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ ὁμοούσιον τῷ πατρὶ καὶ τῷ λόγῳ
αὐτοῦ· προσδεχόμεθα δὲ καὶ ἀνάστασιν ψυχῆς τε καὶ σώματος καθὼς λέγει ὁ ἀπόστολος

ὡς φησί· σπείρεται σῶμα ψυχικόν· ἐγείρεται σῶμα πνευματικόν· καὶ πάλιν δεῖ γὰρ τὸ φθαρτὸν
τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν· καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν·
ὀρθῶς οὖν λέγεις τοῦτο. ὁ δὲ πρὸς αὐτὸν ἀπεκρίθη· ἐμοὶ τὴν ἐκ λόγων πίστιν
μὴ πρόφερε· ἀλλὰ ἀπελθόντες ἐπὶ τὰ μνήματα· καὶ ἕνα τῶν κειμένων ἀνά-
στησόν μοι· καὶ οἶδα ὅτι καλῶς φρονεῖτε· ἐπεὶ ἔγωγε ψυχὴν χωρὶς σώματος οὔπω
τεθέαμαι(?)· ὁ δὲ ἅγιος μακάριος λέγει τῷ ἐπισκόπῳ· μέγα κακὸν ὅτι σὺ πειράζεις
τὸν θεόν· ἀλλ' οὐδὲ ἔχω παρρησίαν ἀξιῶσαι τὸν θεὸν δι' ἐμὲ δαιμονικὸν(?) τηλικοῦ-
τον σημεῖον γενέσθαι· λέγει ὁ ἐπίσκοπος· οὐχὶ περὶ ἐμοῦ ἀλλὰ διὰ ὁλόκληρον παρακαλῶ·
τότε ἀπέρχονται ἕως τῶν μνημάτων· καὶ ἄρχεται ὁ ἱερεὺς ἐπικαλεῖσθαι δαίμονας·
οὐ γὰρ δή που ψυχὴν ἐδύνατο ἀγαγεῖν ἐκ τοῦ μνημείου(?)· ἕως οὐδὲν ἴσχυσεν· ἀντέκειτο γὰρ αὐ-
τῷ ἀληθῶς τὸ πνεῦμα τοῦ ἁγίου· λέγει αὐτοῖς· διὰ τὴν ἀπιστίαν ὑμῶν οὐ δύναμαι
ἀναγαγεῖν· παραχρῆμα δὲ ῥυμίσας(?) ἑαυτὸν ὁ μακάριος ἔκαμψεν τὰ γόνατα
γενόμενος(?) δὲ ὑποσχόμενος· καὶ ὥραν μίαν παρατείνας ἐν τῇ εὐχῇ μετὰ δακρύων ἀνέστη
καὶ τύψας τῷ βαΐῳ τὸ μνῆμα· αἱ γὰρ ῥάβδοι τῶν ἐκεῖ μοναχῶν ἐκ βαΐων εἰ-
σιν· ἐγείρας(?) αὐτὸν οὐχ ὑπόγειόν τινα ἄρτι τελευτήσαντα· ἀλλὰ τῶν ἀρχαίων· καὶ φω-
νεῖ τὸν ἱερέα καὶ λέγει αὐτῷ· ἐξέτασον τοῦτον εἰ ἐγείρεται σῶμα. ὁ δὲ ἀπο-
τυχὼν(?)· τοῦ δαίμονος αὐτοῦ ὑποχωρήσαντος ἐπὶ τῷ τηλικούτῳ σημείῳ· πί-
πτει δὲ εἰς τοὺς πόδας τοῦ ἁγίου μετὰ παντὸς τοῦ λαοῦ· ζητούντων δὲ αὐτὸν φορέ-
σαι(?)· οὐ συνεχώρησεν· ἀλλὰ ἀπήγαγεν αὐτὸν εἰς τὴν ἔρημον· φασὶν δὲ ὅτι ἐγερ-
θεὶς ὁ ἀναστὰς δὲ ἐπίστευσε(?) τὸν Χριστόν· ἔφη ὅτι οὐδὲ ἀκοὴν αὐτοῦ εἶχον ζῶν· ἔφη
γὰρ βασιλεὺς εἶναι καὶ τετελευτηκέναι πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ ἡμῶν· βαπτίσ-
ας οὖν αὐτὸν εἶχεν μεθ' ἑαυτοῦ ἐπὶ ἔτη τρία· τὴν ἀληθινὴν λοιπὸν κοίμησιν κοιμη-
θέντα· ὡς ἁρμόζει μὲν ἐπ' αὐτὸν τὸν λόγον τοῦ κυρίου· ὅτι οὔτε οὗτος ἥμαρτεν· οὔτε
οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ ἡ δόξα τοῦ θεοῦ· ἠρώτα οὖν ὁ ἐπίσκοπος τὸν ἅγιον
μακάριον· ἆρα ἐνέβη ἐν τῇ καρδίᾳ αὐτοῦ δόξα· τοσούτων ὑποπεσόντων
αὐτοῖς ἐν τῷ τηλικούτῳ σημείῳ· ἀπεκρίθη αὐτῷ· οὐκ ἡ καρδία σχολὴν ἔχει· δό-
ξαν ἀνθρώπων περιβλέπεσθαι· ὁ τοιοῦτος θεὸν μὲν οὐκ ἔγνω· ὁ δὲ ποιεῖ, ἀνθρω-
πίνως ποιεῖ· ὁ δὲ ἀξιωθεὶς ἐπὶ πεῖραν(?) θεοῦ· ἐν πολλοῖς ἀγῶσιν ἐστὶν ὥσπερ ἐπιζη-
τεῖ(?)· φοβούμενος μὴ ἐκπέσῃ· ὁ τοιοῦτος μίαν ἔχει μόνην ἐπιθυμίαν· τὸ
ἐξελθεῖν ἐκ τοῦ σώματος· περὶ γὰρ δόξης οὐδὲ ἔννοιαν ἔχει· ὑπὸ δὲ τῆς

δὲ αὐτῷ διδόασιν τοιοῦτον· καὶ φησίν· ᾐτήσαί μοι τινὰ ἐπιθαλάσσης ἐπ' ἐμὲ ὡσαύτως
ται· καὶ εἰς τὸν σῶον ἀπεμίζον ταυτῷ ἡλίῳ· καὶ ὑπὸ τῶν ἀκτίνων αὐτοῦ βασταζόμενον
τῷ τοιούτῳ ὑπό τινος ἀξιωθείς τις· ὅτι ἐὰν ἴδῃς αὐτὸν τοσοῦτον ἐφ' ὧν ἐπιβαίνει φημὶ πον
τοῦσαι· πολλὰ πάθη παρακούσας· οὕτως ὁ τῆς τοῦ θεοῦ δόξης ἐγκαταπειρίζων· παι
τῇ τὴν παρὰ ἀνθρώπων δόξαν· ἐὰν δὲ περὶ ταύτην τραφῇ· ἐκ ἀμύνης ἐκ παντός· ἐκ
πεσὼν δὲ ἐξ ἀμύνης· ὑπὸ πολλῶν ἄλλων παθῶν κλυδωνίζεται· ταῦτα δὲ λοιπὸν τοὺς ἀ
πως ἠμελημένον καὶ φιλάδελφος· καὶ πόσην εἶχεν διάκρισιν περὶ τὰ πράγματα
τὸ κατεῖδος σιγήσομαι·

Ἀδελφὸς ἠρώτησεν γέροντα λέγων· τὸ ὄνομα ἐστὶ τὸ σῷζον ἢ τὸ ἔργον· λέγει αὐτῷ
ὁ γέρων· οἶδα ἐγὼ ἀδελφὸν εὐχόμενον ποτέ· καὶ παρεισῆλθεν εἰς τὸν λογισμὸν
αὐτοῦ· ὅτι ἤθελον ἰδεῖν τὴν ψυχὴν ἁμαρτωλοῦ καὶ δικαίου ἀπαλλασσομένην ἐκ τοῦ
σώματος· μὴ θέλων ὁ θεὸς λυπῆσαι αὐτὸν ἐν τῇ ἐπιθυμίᾳ αὐτοῦ· καθεζομένου
αὐτοῦ ἐν τῷ κελλίῳ εἰσῆλθεν λύκος πρὸς αὐτόν· καὶ ἐπιλαβόμενος τῶν ἱματίων
τοῦτο τῷ στόματι· ἔσυρεν αὐτὸν ἔξω· ἀναστὰς οὖν ἐπηκολούθησεν αὐτῷ· ἕως οὗ
ἀπήγαγεν αὐτὸν ἕως πόλιν τινά· καὶ ἐάσας αὐτὴν ἀνεχώρησεν· ὡς οὖν ἐκαθέ
ζετο ἔξω τῆς πόλεως· εἰς μοναστήριον ἔχον τινὰ οἰκοῦντα ἐν αὐτῷ· ὀνόματι
μεγάλου ἀναχωρητοῦ ἔχοντος· ἦν δὲ ἀρρωστῶν καὶ ἐκδεχόμενος τὴν ὥραν αὐτοῦ·
ὁρᾷ οὖν ὁ ἀδελφὸς πολλὴν ἑτοιμασίαν κηρίων· καὶ κανδηλῶν ἑτοιμαζομένην
αὐτῷ· καὶ πᾶσα ἡ πόλις ἔκλαιεν δι' αὐτόν· ὡς ὅτι ὁ θεὸς διὰ τῶν εὐχῶν αὐτοῦ·
τὸν ἄρτον καὶ τὸ ὕδωρ παρεῖχεν ἡμῖν· καὶ πᾶσαν τὴν πόλιν ἡμῶν ὁ
θεὸς ἔσωζεν δι' αὐτοῦ· ἐὰν οὖν συμβῇ τί ποτε· πάντες ἀποθνήσκομεν· γε
ναμένης δὲ τῆς ὥρας τῆς ἀναγκαίας· ἰδοὺ προσέχει ὁ ἀδελφὸς καὶ βλέπει
τὸν τάρταρον τοῦ ᾅδου μετὰ τριόδοντος πυρίνου· καὶ ἤκουσεν φωνὴν ὅτι
αὐτήν· ὥσπερ οὐ κατέπαυσέν με ἡ ψυχὴ αὐτοῦ μίαν ὥραν· μηδὲ σὺ αὐτὸν
ἐλεήσῃς ἀνασπῶν τὴν ψυχὴν αὐτοῦ· οὐ γὰρ μὴ ἀναπαύσῃ εἰς τοὺς αἰῶνας· χαλά
σας οὖν τὸν πύρινον τριόδοντα εἰς τὴν καρδίαν αὐτοῦ πολλὴν ὥραν βα
σανίζων αὐτόν· ἀνέσπασεν τὴν ψυχὴν αὐτοῦ· μετὰ ταῦτα εἰσελθὼν ἐν τῇ
πόλει ὁ ἀδελφὸς· ἐκαθέζετο κλαίων· καὶ εὗρε ξένον ἀδελφὸν ἐν τῇ πλατείᾳ
ἐρριμμένον ἄρρωστον· μὴ ἔχοντα τινὰ τὸν ἐπιμελούμενον αὐτοῦ· καὶ ἔμει
νεν πρὸς αὐτὸν μίαν ἡμέραν· καὶ ἐν τῇ τῆς κοιμήσεως αὐτοῦ ὥρᾳ· ὁρᾷ οὖν ὁ

δελφὸς τὸν μιχαὴλ καὶ τὸν γαβριὴλ ἐλθόντας διὰ τὴν ψυχὴν αὐτοῦ· καὶ καθεσθεὶς ὁ μὲν ἐκ δεξιῶν αὐτοῦ καὶ ὁ ἕτερος ἐξ εὐωνύμων· ἤρξαντο παρακαλεῖν τὴν ψυχὴν αὐτοῦ ἐν τούτῳ παραλαβεῖν αὐτήν· τῆς δὲ μὴ βουλομένης ἐάσαι τὸ σῶμα· εἶπεν ὁ γαβριὴλ πρὸς τὸν μιχαήλ· ἀναλάβωμεν αὐτὴν ἵνα ἀπέλθωμεν· λέγει πρὸς αὐτὸν ὁ μιχαήλ· ἐκελεύσθημεν ἀπὸ τοῦ δεσπότου ἡμῶν· ἀπόνως αὐτὴν ἐκβαλεῖν· διὰ τοῦτο οὐ δυνάμεθα αὐτὴν βιάσασθαι· ἐβόησεν οὖν ὁ μιχαὴλ φωνῇ μεγάλῃ· κύριε· τί βούλει περὶ τῆς ψυχῆς ταύτης ὅτι οὐ πείθεται ἐξελθεῖν· ἦλθεν δὲ αὐτῷ φωνὴ λέγουσα· ἰδοὺ ἀποστέλλω τὸν δαβὶδ μετὰ τῆς κιθάρας καὶ πάντας τοὺς ψάλλοντας· ὥστε ἀκούσασαν αὐτὴν τῆς εὐωδίας τῆς φωνῆς αὐτῶν ἐξελθεῖν μετὰ χαρᾶς· ἐπειδὴ μὴ βιάσῃ αὐτήν· καὶ κατελθόντων πάντων ἐκύκλωσαν τὴν ψυχήν· καὶ ᾀδόντων τοῖς ὕμνοις· ἐκπηδήσασα ἐσκίρτησεν εἰς τὰς χεῖρας τοῦ μιχαήλ· καὶ ἀνελήφθη μετὰ χαρᾶς·

Εἶπε πάλιν ὁ αὐτὸς περὶ τινὸς γέροντος· ὅτι ἀπῆλθεν ποτὲ εἰς πόλιν πωλῆσαι κοφίνια· καὶ κατὰ καιρὸν ἐκαθέσθη εἰς πυλῶνα τινὸς πλουσίου μέλλοντος τελευτᾶν· καθημένου δὲ αὐτοῦ προσέσχεν καὶ ὁρᾷ ἵππους μέλανας καὶ τοὺς ἐπιβάτας αὐτῶν μέλανας καὶ φοβερούς· ἔχοντας βακτηρίας ἐν ταῖς χερσὶν αὐτῶν· φθάσαντες δὲ αὐτοὶ τὸν πυλῶνα· ἔστησαν τοὺς ἵππους ἔξω· καὶ εἰσῆλθεν ἕκαστος αὐτῶν· καὶ ἰδὼν αὐτοὺς ὁ ἄρρωστος· ἐκραύγασεν μεγάλῃ τῇ φωνῇ· κύριε ἐλέησόν με καὶ βοήθησόν μοι· λέγουσιν αὐτῷ οἱ ἀποσταλέντες· ἄρτι ὅτε ἥλιος ἔδυσεν ἦλθες μνησθῆναι τοῦ θεοῦ· διατί αὐγαζούσης τῆς ἡμέρας αὐτὸν οὐκ ἐζήτησας· νῦν οὐκέτι σοι μέρος ἐλπίδος· οὐδὲ παρακλήσεως· καὶ οὕτω παραλαβόντες τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀπῆλθον·

Ἦν τις ἀσκητὴς ὑπὸ φιλαργυρίας πολεμούμενος· οὗτος ἐκ τοῦ ἐργοχείρου αὐτοῦ συνήγαγεν νόμισμα ἕν· εἶτα δεύτερον· εἶτα ἐσπούδασεν ποιῆσαι αὐτὰ πέντε· καὶ εὐθὺς περιέπεσεν εἰς πάθη· καὶ τοῦ ποδὸς αὐτοῦ σαπέντος ἀναλίσκει τὸ ἕν· εἶτα τὰ πέντε· μὴ παυσαμένου δὲ τοῦ πάθους· ἔρχεται ὁ ἰατρὸς τῇ ἑξῆς· καὶ λέγει αὐτῷ· ὅτι ὀφείλει κοπῆναι ὁ πούς σου ἀββᾶ· ἐπεὶ ὅλον τὸ σῶμα σήπεται· καὶ ἐπέδωκεν αὐτὸν εἰς τομήν· καὶ διὰ νυκτὸς κλαίοντος αὐτοῦ ἐφίσταται αὐτῷ ἄγγελος· καὶ γενομένου αὐτοῦ μετεώρου· κατέχει τὸν πόδα· καὶ τὸ πλῆγμα ἀπήλειψεν τῇ χειρί· καὶ λέ

ἢ αὐτοῦ ὁ ἄγγελος· ποιῆσαι αὐτὰ ὡσεὶ μή τι· τί λέγεις λοιπόν; καὶ παραχρῆμα ἐθερά-
πευσεν αὐτὸν καὶ ἀφανὴς ἐγένετο· ἐρχόμενος οὖν ὁ ἰατρὸς ἡμέρας γινομένης
ἔκρουε τὴν θύραν· ὁ δὲ ἀναστὰς ὑπήντησεν αὐτῷ· ἰδὼν δὲ ὁ ἰατρὸς ἐθαύμασε
καὶ μαθὼν τὸ γεγονὸς ἐγένετο χριστιανὸς ἐλλήμων.

Εἶπε γέρων· ἀδύνατον κτήσασθαι τὸν Ἰν̄ μὴ διὰ κόπου καὶ ταπεινώσεως καὶ προσ-
ευχῆς ἀπαύστου. Εἶπε πάλιν· πάντα ὅσα λογίζεται ἄνθρωπος· ἀπὸ τοῦ
οὐρανοῦ καὶ κάτω· μάταια λογίζεται· ὁ δὲ προσκαρτερῶν τῇ μνήμῃ τοῦ θεοῦ· οὗ-
τος ἐν τῇ ἀληθείᾳ ἐστίν. Ἐν καιρῷ παρουσίας ἀδελφῶν· μὴ ἀπολύ-
σῃς τὴν καρδίαν σου· μᾶλλον τότε προσεύχου κρυπτῶς· ὅτι τότε ἐστὶν
ὁ φόβος διὰ τὴν καταλαλιάν. Ἀδελφὸς ἠρώτησε γέροντα· τί ἐστι
καταλαλιά· καὶ εἶπεν ὁ γέρων· ὅτι ἐὰν ἀκούσῃς ὅτι ὁ δεῖνα ἀδελφὸς σπουδαῖος
καὶ συνετός· ἀλλὰ μικρὸν ἀπὸ δὲ τὸ πρᾶγμα ἀσύστροφός ἐστι· ἰδοὺ κατελά-
λησας αὐτόν· ἐὰν δὲ ἀκούσῃς ὅτι ψεύστης ἐστὶ καὶ ἐπίορκος· τοῦτο κατάκρισίς ἐ-
στι· χεῖρον τῆς καταλαλιᾶς. Εἶπε γέρων· ὁ ἔχων ἑαυτὸν εὐτελίζων
οὗτός ἐστι ταπεινόφρων· ἀλλὰ μετὰ χαρᾶς τὰς παρὰ τοῦ πλησίον ὕβρεις
καὶ ἀτιμίας καταδεχόμενος :

Ἠρώτησεν ἀδελφὸς γέροντα λέγων· καλόν ἐστι μονῇ οἰκῆσαι ἐν τῇ ἐρήμῳ·
καὶ ἀπεκρίθη ὁ γέρων· υἱοὶ Ἰσραὴλ ὅταν ἐπαύσαντο τοῦ περιπατεῖν τῆς ἐρή-
μου· καὶ ᾤκησαν ἐν σκηναῖς· τότε ἐστιμώσθη αὐτοῖς· ὡς δὲ ἀφοβήθησαν τὸν
θεόν· καὶ γὰρ τὰ πλοῖα μέσον τῆς θαλάσσης χειμαζόμενα· ὡς ἀπορραγέντα μέ-
ρουσιν· ὅταν δὲ ἔλθωσιν ἐν λιμένι· τότε τὴν ἐμπορίαν περιποιοῦνται·
οὕτως καὶ ὁ ἄνθρωπος ἐὰν μὴ καρτερήσῃ ἐν τῷ τόπῳ αὐτοῦ· οὐ μὴ λάβῃ τὴν ἐπίγνωσιν
τῆς ἀληθείας· καὶ γὰρ πρὸ πάντων τὴν ἀρετὴν τὴν ἡσυχίαν ἐξελέξατο ὁ θεός· γέγρα-
πται γάρ· πρὸς τίνα ἐπιβλέψω· ἀλλ᾿ ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ ταπεινὸν
καὶ τὸν τρέμοντά μου τοὺς λόγους· καὶ εἶπεν ὁ ἀδελφός· πῶς δύναται μόνος οἰκῆσαι
κατὰ μόνας· καὶ ἀπεκρίθη ὁ γέρων· ὁ ἀθλητὴς ἐὰν μὴ συγκροτηθῇ μετὰ
πολλῶν· οὐ δύναται μαθεῖν τὴν τέχνην τῆς νίκης· ἵνα οὕτως δυνηθῇ μετὰ
τοῦ ἀντιδίκου μονομαχῆσαι· οὕτως καὶ ὁ μοναχός· ἐὰν μὴ παιδευθῇ
μετὰ ἀδελφῶν· καὶ μάθῃ τὴν τῶν λογισμῶν τέχνην· οὐ δύναται κατὰ μόνας
οἰκῆσαι· καὶ ἀντιστῆναι τοῖς λογισμοῖς· καὶ εἶπεν ὁ ἀδελφός· ἐὰν γένηται ἀνάγκη

τιμᾷ· διὰ συντυχίαν γυναικὸς ἐλθεῖν· πῶς δεῖ ἐλθεῖν αὐτὴν ἀπαντῆσαι. καὶ εἶπεν ὁ γέρων· ἡ ἀνάγκη αὕτη τοῦ διαβόλου ἐστίν· καὶ γὰρ πολλὰς προφάσεις ἀνοίγει καὶ ἀνέχεται ὁ διάβολος· ἐὰν δὲ ἐπέμβηται χρεία ἐλθεῖν διὰ συντυχίαν· μὴ ἐάσῃς αὐτὴν λαλῆσαι πλεῖον· καὶ σὺ ἐὰν λαλῇς κεφάλαιον σύντομον· διὰ πολλὰ καὶ ταχὺ ἀπόλυσον αὐτήν· ἐὰν δὲ βραδύνῃς μετ' αὐτῆς· γίνωσκε ὅτι ἡ διάδοσις αὐτῆς τὸν λογισμόν σου καταπαύσει.

Ἀδελφὸς εἶπεν· πῶς οἱ λογισμοὶ ὀδυνῶσιν τὸν ἄνθρωπον· παύσασθαι ἀπὸ τῆς καταλαλιᾶς. καὶ ἀπεκρίθη ὁ γέρων· ὥσπερ ὁ δεχόμενος πῦρ εὐκόλως τι προσκαίεται· οὕτως καὶ ὁ δεχόμενος τὴν τῶν ἀνθρώπων συντυχίαν οὐ μὴ καθαρωθῇ ἀπὸ τῆς καταλαλιᾶς· καὶ εἶπεν ὁ ἀδελφός· τί εἰσὶν τὰ νυκτερινὰ φαντάσματα τοῦ διαβόλου· καὶ ἀπεκρίθη ὁ γέρων· ὥσπερ ἡμέρας ἄλλοτε τοῖς λογισμοῖς ἀσχολεῖ ἡμᾶς· πρὸς τὸ μὴ σχολάζειν τῇ προσευχῇ ὁ διάβολος· οὕτως καὶ τὴν νύκτα ἀναπληροῖ τὸν νοῦν ἡμῶν φαντάσμασιν σκοτοῦν ἡμᾶς· καὶ τῆς νυκτερινῆς εὐχῆς ἀποστερεῖ.

Πάλιν ἠρώτησεν ὁ ἀδελφὸς λέγων· καὶ τί ποιήσει ἄνθρωπος περὶ ἵνα λάβῃ τὸ χάρισμα τῶν ἀρετῶν· καὶ ἀπεκρίθη ὁ γέρων· ἐάν τις θέλῃ μαθεῖν τέχνην· πᾶσαν μέριμναν καταλιμπάνει καὶ αὐτῇ μόνῃ σχολάζει· καὶ παραμένει τῷ διδασκάλῳ· ταπεινούμενος καὶ εὐτελίζων ἑαυτόν· καὶ οὕτως μανθάνει τὴν τέχνην· οὕτως καὶ ὁ μοναχός· ἐὰν μὴ ἐάσῃ πᾶσαν μέριμναν φθινὴν καὶ καταξευτελίσῃ ἑαυτὸν τοῦ μὴ λογίσασθαι ποτὲ ὅτι κάλλιόν εἰμί τινος ἢ ἴσος· οὐ μὴ κτήσηται ἀρετὴν τὸ σύνολον· ἐὰν δὲ ταπεινώσῃ ἑαυτὸν καὶ εὐτελίσῃ ἐν πᾶσιν τοῖς πράγμασι· τότε δωροῦσαι αἱ ἀρεταὶ τὴν ἐργασίαν· ἀφ' ἑαυτῶν παραγίνονται.

Ἐρώ(τησις)

Πῶς δύναται ἄνθρωπος γνῶναι ὅτι προσδεκτή ἐστιν ἡ εὐχὴ αὐτοῦ·

Ἀπόκρ(ισις)

Ὅταν ἄνθρωπος φυλάξῃ τοῦ μὴ ἀδικῆσαι τὸν πλησίον· τότε θαρσεῖ ὁ λογισμὸς αὐτοῦ ὅτι προσδέχεται ἡ προσευχὴ αὐτοῦ πρὸς τὸν θεόν· ἐὰν δέ τις ἀδικήσῃ τὸν πλησίον· ἡ εὐχὴ αὐτοῦ βδελυκτὴ καὶ ἀπρόσδεκτός ἐστιν· ὁ γὰρ στεναγμὸς τοῦ ἀδικουμένου· οὐ μὴ ἐάσῃ τὴν εὐχὴν τοῦ ἀδικήσαντος· εἰσελθεῖν ἐνώπιον τοῦ θεοῦ.

Εἶπεν τῶν πρώην· πλησίον ποτὲ μὲν τοῦ ὁσίου Ζήνωνος· συνετυχόμεν· καὶ ἐκινήσαμεν τὸν πρὸς ἡμᾶς λόγον ὠφελείας· ἠρωτήσαμεν αὐτὸν τί μὲν λογισμοὺς τῶν πονηρῶν· ἐάν τις ἔχῃ λογισμόν· καὶ ὁρᾷ ἑαυτὸν ἡττώμενον· καὶ πῶς

κις ἀναγνωμῶς κόσμον· φέρε αὐτὸν ἀκούει· πῶς φθάσωμεν οἱ πρες καὶ θέλεις καθαρότη-
τος· καὶ θέλεις καθαρθῶσαι καὶ οὐ δύναται· καλόμετι ἀναγνώσματα τινὶ τοσῶν προσ-
ἢ σπουδάσαι ὀφείλεις χρήσασθαι· ὡς ἀνέτιμος καὶ ἀρχεσθῆ μὴ ζητῇ ἑαυτὸν σώσει
δὴ ὅσα· καὶ εἴπερ ἡμῖν ὕστερον· ὁ φίλος ἐξαναγνῶσαι ἄλλος δύναμαι ὠφελῆσαι αὐ-
τοῦ· καὶ μὴ πεσῶν θέλῃ ἐφ᾽ ἑαυτοῦ· οὐ γὰρ δύναταί τις ἑαυτὸν βοηθῆσαι καὶ μάλιστα
ἐὰν φθάσῃ κατὰ τὸ μὴ θῆμαι ὑπὸ τοῦ πάθους· ἐμοὶ γάρ φησιν ἐν τῇ νεότη-
τί μου συνέβη τι τοιοῦτον· εἶχον γὰρ πάθος τυχηκὸν καὶ ἠπτόμην ἀφ᾽ ἑαυτο·
καὶ ἀκούω περὶ τοῦ ἀββᾶ Ζήνωνος ὅτι πολλοὺς ἐθεράπευσεν· ἠβουλήθην ἀ-
πελθεῖν καὶ ἀναγγεῖλαι αὐτῷ· καὶ ἐμποδίζει με ὁ διάβολος λέγων· ὅτι ἐπειδὰν
οἶδας τί ὀφείλεις ποιῆσαι· χρήσαι ὡς ἀναγνῶμος καὶ ... καὶ τί ὑπάγεις καὶ σκανδαλίζεις
τὸν γέροντα· καὶ ὅτε ἐπαγόμην τοῦ ἀπελθεῖν· μικρὸν ὁ πόλεμος ἐκούφι-
ζετο ἀπ᾽ ἐμοῦ· ἵνα μὴ ἀπέλθω· ὅτε δὲ ἐπαυθόμην τοῦ μὴ ἀπελθεῖν πρὸς
τὸν γέροντα· πάλιν κατεπονοῦντί με τὸ πάθος· πάλιν μὲν οὐκ ἔπαυον
ἀπελθεῖν· καὶ τὸ αὐτό μοι ἐδολιεύετο ὁ ἐχθρός· μὴ συγχωρῶν με ἐξαγγεῖλαι
τὸν γέροντι· καὶ πολλάκις ἀπῆλθον ὡς τὸν γέροντα ἵνα ὡς τὸ ἀναγγεῖλαι αὐτόν· καὶ
οὐκ ἠφίει με ὁ ἐχθρός· αἰσχύνην φέρων τὴν καρδίαν μου καὶ λέγων· ὅτι
ἐπὰν οἶδας πῶς ὀφείλεις σεαυτὸν θεραπεῦσαι· τίς χρεία εἰπεῖν τινί·
οὐ γὰρ ἀμελεῖς σεαυτοῦ· οἶδας γὰρ πῶς εἶπον οἱ πρες· ταῦτά φησιν ὑπε-
βάλλεν μοι ὁ ἀντίδικος· ἵνα μὴ φανερώσω τὸ πάθος τῷ ἰατρῷ καὶ
θεραπευθῶ· καὶ ὅμως ὑπερφέρεμαι ἔχω τοὺς λογισμούς· οὐκ ἠλέ-
γχθη δὲ· ἀναμένομεν σοῦ ἐγὼ ἀφ᾽ ἑαυτοῦ ἀναγγεῖλαι αὐτῷ· ἐδίδασκεν δὲ με
περὶ ὀρθοῦ βίου καὶ ἀπέλυεν· ὕστερον θλιβόμενος καὶ κλαίων· εἶπον τῇ ψυ-
χῇ μου· ἕως πότε ἀθλία ψυχὴ οὐ θέλεις θεραπευθῆναι· οἱ ἀπὸ μήκοθεν ἔρ-
χονται πρὸς τὸν γέροντα καὶ θεραπεύονται· καὶ σὺ οὐκ αἰσχύνῃ ἐγγὺς ἔχου-
σα τὸν ἰατρὸν καὶ μὴ θεραπευομένη· καὶ πυρωθεὶς φησὶν τὴν καρδίαν· ἀνέ-
στην καὶ εἶπον ἑαυτῷ· ὅτι ἐὰν ἀπέλθω πρὸς τὸν γέροντα· καὶ μὴ εὕρω ἐκεῖ τινὰ
οἶδα ὅτι θέλημα τοῦ θῦ ἐστιν ἀναγγεῖλαι μὲ αὐτῷ τὸν λογισμόν· καὶ δὴ ἀ-
πελθὼν οὐδένα εὗρον· ὁ δὲ γέρων κατὰ τὴν συνήθειαν ἐδίδασκέ με περὶ
φύσεως ψυχῆς· καὶ ὅπως τὶς καθαρθῇ ἀπὸ ῥυπαρῶν λογισμῶν· ἐμοῦ δὲ
πάλιν αἰσχυνομένου· καὶ μὴ ἐξαγγέλοντος· παρεκάλεσα αὐτὸν ἀπολῦσαι

περὶ λύπης

πάλιν ἠρώτησεν ὁ αὐτὸς ἀδελφὸς λέγ

καὶ ἀναστὰς ὁ γέρων ἐποίησεν εὐχὴν καὶ ὡς ἐξέπεμπέ με· [illegible]

προπέμψαι με· ἕως τῆς ἔξω θύρας· ἐγὼ δὲ βασανιζόμενος ὑπὸ τοῦ λογισμοῦ

φράσαι, ἢ μὴ εἰπεῖν τῷ γέροντι· ὀλίγον ὀλίγον περιεπάτουν ὀπίσω· ὁ δὲ γέ-

ρων οὐ προσεῖχέ μοι· ἀλλ' ἐκράτησεν τὴν θύραν εἰς τὸ ἀνοῖξαί μοι· ὡς δὲ ἐπὶ πολὺ

εἶδε βασανιζόμενόν με ὑπὸ τοῦ λογισμοῦ· στρέφεται πρός με· καὶ κρούων εἰς τὸ

στῆθος μου λέγει μοι· τί ἔχεις· κἀγὼ ἄνθρωπός εἰμι· ὡς δὲ εἶπέ μοι ὁ γέρων τὸν λόγον

τοῦτον· ἐνόμισα ὅτι τὴν καρδίαν μου ἤνοιξεν· καὶ πίπτω ἐπὶ πρόσωπον

εἰς τοὺς πόδας αὐτοῦ· παρακαλῶν αὐτὸν μετὰ δακρύων καὶ λέγων· ἐλέησόν με,

ὁ δὲ λέγει μοι· τί ἔχεις· ἐγὼ δὲ εἶπον· οἶδας ὅτι χρείαν ἔχω· καὶ λέγει μοι· σὺ χρείαν

εἶπας· τί ἔχεις· ἐμοῦ δὲ εἰπόντος τῷ γέροντι, ὁ ἀπεκάλυψέ σοι ὁ θεός, πάτερ, τί ἔχω· εἰπέ

μοι πάλιν· σὺ χρείαν ἔχεις φανερῶσαι τί ἔχεις ὃ θέλεις· ἐμοῦ δὲ μὴ τολμῶντος ἀπαγγεῖ-

λαι τῷ γέροντι τὸ πάθος μου· λέγει μοι· καὶ διατί αἰσχύνθης εἰπεῖν μοι· οὐκ εἰμὶ ἐγὼ

ἄνθρωπος· θέλεις εἴπω σοι τὰ ἐμά· οὐκ ἄρτι τελείως ἐρχόμενος οὐδὲ ἔχων τοὺς λο-

γισμοὺς τούτους καὶ μὴ ἐξομολογούμενος αὐτούς· ἐμοῦ δὲ προσπεσόντος τῷ γέροντι· καὶ παρακαλέσαν-

τος καὶ λέγοντος τῷ γέροντι αὐτῷ· ἐλέησόν με διὰ τὸν θεόν· εἶπέ μοι· ὕπαγε μὴ ἀμελήσῃς τῆς

εὐχῆς σου· καὶ μὴ καταλαλήσῃς· ἀπῆλθον οὖν εἰς τὸ κελλίον μου καὶ μὴ ἀμελή-

σας τῆς εὐχῆς μου· χάριτι Χριστοῦ καὶ εὐχαῖς τοῦ γέροντος οὐκ ἔτι ὠχλήθην ὑπὸ

τοῦ πάθους ἐκείνου· Γέρων τις ἦν ἐργαζόμενος πολὺ ἐργόχειρον· καὶ ἠφί-

ει τοῖς ἐπαρκοῦσιν εἰς τὴν χρείαν αὐτοῦ· καὶ τὸ λοιπὸν ἐδίδου πτωχοῖς· λιμοῦ οὖν

γενομένου· ἔπεμψεν ἡ μήτηρ τὸν υἱὸν αὐτοῦ πρὸς αὐτόν· παρακαλοῦσα δοῦναι

αὐτοῖς μικρὰν [illegible]· ἀκούσας δὲ ὁ γέρων λέγει τῷ υἱῷ αὐτοῦ· εἰσὶν ἄλλοι

ἐν τῷ τόπῳ χρῄζοντες ὡς ἡμεῖς· λέγει· ναὶ εἰσὶν πολλοί· καὶ κλείσας τὴν

θύραν εἰς τὸ πρόσωπον αὐτοῦ δακρύσας εἶπεν· ἀπέλθετε ἐκ μονῆς μου· ὁ

τὴν φροντίδα ποιούμενος ἑκάστου καὶ τὴν ὑμῶν ποιεῖ· ἠρώτησεν δὲ αὐτὸν

ὁ ἀδελφός· ἄρα τί οὐκ ἔκαμες τοῦ λογισμοῦ τὸν λόγον σου οὕτως ἀποστρέ-

ψαι· ἔφη ὁ γέρων· ὅτι εἰ μὴ εἰς ἕκαστον πρᾶγμα βιάσηται ἄνθρωπος ἑαυτὸν οὐ

κεχάρισται· Εἶπε γέρων· πᾶσαν πονηρίαν μὴ τετελεσμένην οὐ

κέκτημαι πονηρίαν· καὶ πᾶσαν δικαιοσύνην μὴ τελεσθεῖσαν· οὐκ ἔστιν δικαι-

οσύνη· ὅμοιος γάρ ἐστιν ὁ ἄνθρωπος ὁ μὴ ἔχων λογισμοὺς πονηροὺς καὶ ἀγαθ-

γῆς σποδὸν εἰς τὸ μέλαν· ὁ ἀπαλλυρανθεὶς ἐστίν· καὶ ὥσπερ καρπὸν ποιεῖ·

οὔτε βοτάνην· ἡ δὲ καλλίστη ἐκβάλλει καὶ σῖτον καὶ ζιζάνια.

Ἦν τις ἀναχωρητὴς ἐν τῇ ἐρήμῳ βοσκόμενος μετὰ τῶν βουβάλων· καὶ ἤρξατο
τῷ θεῷ λέγων· κύριε, ἐπί τι ὑστερῶ; δίδαξόν με. καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα·
ἄπελθε εἰς τὸ κοινόβιον· καὶ ἅπερ ἐπιτάσσουσίν σοι ποίησον. ἀπελθὼν δὲ εἰς
τὸ κοινόβιον ἔμεινεν· καὶ οὐκ οἶδε τὴν ὑπηρεσίαν τῶν ἀδελφῶν· καὶ ἤρξαντο
οἱ μικροὶ μοναχοὶ διδάσκειν αὐτὸν τὴν ὑπηρεσίαν λέγοντες· τοῦτο ποίησον
ἰδιῶτα, καὶ ποίησον τοῦτο ἀλλότερε. καὶ θλιβόμενος ἤρξατο λέγειν· κύριε,
οὐκ οἶδα τὴν ὑπηρεσίαν τῶν ἀνθρώπων· ἀπόλυσόν με πάλιν πρὸς τοὺς βου-
βάλους. καὶ ἀπολυθεὶς παρὰ τοῦ θεοῦ ἀπῆλθεν εἰς χωρίον πάλιν βοσκηθῆ-
ναι μετὰ τῶν βουβάλων· καὶ ἔστησαν παγίδας οἱ ἄνθρωποι ἐκεῖ καὶ ἐπίασαν βουβ-
λια· ἐπιάσθη καὶ ὁ γέρων· καὶ λέγει αὐτῷ ὁ λογισμός· βάλε τὴν χεῖρα σου καὶ λῦσον
σεαυτόν. εἶπεν δὲ πρὸς τὸν λογισμόν· εἰ μὲν ἄνθρωπος εἶ, λῦσον σεαυτὸν καὶ ὕπαγε πρὸς
τοὺς ἀνθρώπους· εἰ δὲ βούβαλος εἶ, οὐκ ἔχεις χεῖρας. καὶ ἔμεινεν εἰς τὴν παγίδα ἕ-
ως πρωΐ. ἐλθόντες δὲ οἱ ἄνθρωποι πιάσαι τοὺς βουβάλους καὶ ἰδόντες τὸν γέροντα
πεπιασμένον ἐφοβήθησαν· καὶ αὐτὸς οὐκ ἐλάλησεν οὐδέν· καὶ λύσαντες
αὐτὸν ἀφῆκαν· καὶ ἐξῆλθεν τρέχων ὀπίσω τῶν βουβάλων εἰς τὴν ἔρημον.

Φιλόρωμός τις ὀνόματι γέγονεν μοναχὸς δόκιμος πάνυ· ἀπετάξατο δὲ ἐν
ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ δυσωνύμου βασιλέως· καὶ μετὰ παρρησίας
διελέγετο αὐτῷ· ὑβρίζων αὐτὸν καὶ ἐλέγχων τὴν μανίαν αὐτοῦ· ὃν ξυρισθῆ-
ναι ἐκέλευσεν· καὶ ὑπὸ παιδαρίων ἀτόμως κατακοσσισθῆναι· ὅστις ἐγκαρτερή-
σας τῷ πράγματι καὶ χάριτας αὐτῷ ὡμολόγησεν. τοῦτον τοίνυν γενναίως ἐπελθὼν
τὸν τῆς πορνείας καὶ γαστριμαργίας πόλεμον· ὅστις νικήσας ἐξήλασεν τὰ
πάθη· ἄκρως ἐγκαρτερήσας σιδηροφορίᾳ τε καὶ ἐγκλεισμῷ. καὶ ἀποχῇ
βρωμάτων καὶ σιτίνου ἄρτου· καὶ ἁπαξαπλῶς πάντων τῶν ἑψομένων διὰ
πυρός. ἐπὶ δὲ καὶ ὀκτὼ ἔτη ἀσκήσας τὴν ἐγκράτειαν ἐνίκησεν τὸν δι-
άβολον. ἔλεγεν δὲ οὗτος ὁ μακάριος· ὅτι ἐπὶ τεσσαράκοντα καὶ δύο ἔτη οὐ
[illegible] ἐτάφη μην· δειλίας δέ μοι φησὶν πόλεμον πολεμήσας τῆς
εἰς ἄκρον· ὥστε καὶ αὐτὴν τὴν ἡμέραν ἐκφοβεῖν με· καὶ πρὸς τὸ αὐτῆς περιγε-
νέσθαι με· μνήματι ἑαυτὸν καθεῖρξα ἐπὶ ἓξ ἔτη· καὶ [illegible] τῆς περιεργεί-
ας μὴν τὸν [illegible] πόλεμον πολεμήσας μετὰ τοῦ ... τὴν
δειλίαν μοι ἐπάρον τοῦ :

Ἀδελφὸς σπουδαῖος ἦλθεν ἀπὸ τῆς ξένης· καὶ ἔμεινεν εἰς μικρὸν κελλίον ἐν τῷ ὄ-
ρει· καὶ ὡς ἦλθεν τὴν πρώτην ἡμέραν ἵνα καθίσῃ· εὗρεν εἰς μικρὸν ξύλον ἐπι-
γεγραμμένον· ὑπὸ τοῦ ἀπομείναντος ἐκεῖ ἀδελφοῦ οὕτως· Μωϋσῆς Θε-
όδωρος πάρειμι καὶ μαρτυρῶ· καὶ ἐτίθει ὁ ἀδελφὸς καθημέριον τὸ ξύλον πρὸ τῶν
ὀφθαλμῶν αὐτοῦ· καὶ ἠρώτα τοὺς παρόντας τὸν γεγραφότα· ποῦ ἄρα ἄ-
ρτι ἄνθρωπε ὁ ἄρτι πάρειμι λέγων καὶ μαρτυρῶ· ἄρα εἰς ποῖον κόσμον μένει· τί ἄρα ταύτῃ
ἄρα ποῦ ἐστὶν ἡ χεὶρ ἡ ταῦτα γράψασα· καὶ οὕτως πᾶσαν ἡμέραν ἐποίει ὁμοίως·
καὶ τοῦ θανάτου μνήμην ποιῶν· δι' ἐμμονῆς ἐπένθει· εἶχεν δὲ ἐργόχειρον τὸ καλ-
λιγραφικόν· καὶ ἔλαβον παρ' αὐτοῦ οἱ ἀδελφοὶ χαρτία· καὶ ἐν τῷ ταχυγραφεῖν
ἀπέθανεν μηδὲν μηδὲν γράψας· μόνον δὲ εἰς μικρὸν πιττάκιον γράψας
καὶ ἐάσας εἰς τὰ χαρτία ἑκάστου λέγων· συγχωρήσατέ μοι κύριοί μου ἀ-
δελφοί· ὅτι μικρὸν ἔργον εἶχον ἐπίμονος· καὶ διὰ τοῦτο οὐκ εὐκαίρησα
ὑμῖν γράψαι. Τοιοῦτος πλησίον ἔμενεν ἄλλος ἀδελφὸς· ἐλλίσ-
τυχῶν· καὶ ἐν μιᾷ ἀπερχομένου αὐτοῦ εἰς τὸ κάστρον· λέγει τῷ ἀδελφῷ
τῷ καλλιγράφῳ· ποίησον ἀγάπην ἀδελφὲ καὶ φρόντισον τοῦ κήπου ἕως
ἔρχομαι· λέγει αὐτῷ ὁ ἀδελφός· πίστευσον ὅσον δύναμαι οὐ καταμελῶ· καὶ
ἀπελθόντος τοῦ ἀδελφοῦ λέγει ἐν ἑαυτῷ· ταπεινὲ ὡς εἶπας ἄφες εὐκαιρεῖ
φροντίσον τοῦ κήπου· καὶ ταῦτα ὥσπερ εἰς κανόνα μου ἔχει προφάσεις οὐκ ἐ-
παύσατο μετὰ δακρύων ψάλλων καὶ εὐχόμενος ὡς αὐτὸς καὶ ὅλην τὴν ἡμέραν
ἣν γὰρ ἁγία κυριακή· ἐλθὼν οὖν εἰς ὃ ἔξω ὁ ἀδελφὸς ἐν τῷ μετ' αὐτοῦ· εὗρεν ὅτι
χοῖροι ἀγριμιαῖοι ἠφάνισαν τὸν κῆπον· καὶ λέγει αὐτῷ· ὁ θεὸς συγχωρήσει σοι
ἀδελφὲ· ὅτι οὐκ ἐφρόντισας τοῦ κήπου· ὁ δὲ λέγει· ὁ θεὸς οἶδεν ἀββᾶ· κα-
τὰ τὴν δύναμίν μου ἐποίησα καὶ ἐφύλαξα· ἀλλὰ δὲ ὁ θεὸς ἵνα δώσῃ καὶ
ἡμῖν καρπὸν τὸ μικρὸν κηπίον· λέγει ὁ ἀδελφός· φύσει ἀδελφὲ ὅλον ἐ-
ρήμωσεν· λέγει ὁ καλλιγράφος· οἶδα ἀλλὰ πιστεύω τῷ θεῷ ὅτι πάλιν ἀνθεῖ·
λέγει αὐτῷ ὁ κ(ύριο)ς τοῦ κήπου· ἔλθε ἀποτίσωμεν· λέγει αὐτῷ ὁ ἀδελφός· ὑ-
πάγε πότισον σὺ ἄρτι· κἀγὼ ποτίζω τὸ μικρὸν τὸ κηπίον· γενομέ-
νης δὲ ἀνομβρίας· ἐλυπήθη ὁ κηπουρὸς καὶ λέγει πρὸς αὐτὸν τῷ καλλιγρά-
φῳ· πίστευσον ἀδελφὲ· εἰ μὴ ὁ θεὸς βοηθήσῃ οὐκ ἔχομεν ὕδωρ ἐφέτος·
λέγει κἀκεῖνος· ἡμεῖς ἀδελφὲ· ἐὰν ζητήσωμεν τὸν θεὸν σημαίνει τοῦ κήπου

ἀληθῶς οὐκέτι ἔχω μόνην ἐλπίδα· αὐτὸς δὲ πάλιν τῶν δακρύων ἔλεγεν· ὁ πτωχὸς ἐγὼ με-
λλων ἀποθνήσκειν οὗτος ὁ κακὸς ἀνομίαις· παρεκάλεσεν τὸν ἐλίσιον τὸν κα-
τὸν αὐτοῦ λέγων· ποίησον ἀγάπην μηδενὶ εἴπῃς ὅτι ἀσθενῶ· ἀλλ' ἅπα-
ρεμμάρον ὧδε τὴν σήμερον· καὶ ὅταν κοιμηθῶ πρὸς κύριον, ἆρόν μου τὸ σῶμα
καὶ ῥῖψον αὐτὸ γυμνὸν εἰς τὴν ἔρημον· ἵνα φάγωσι αὐτὸ τὰ θηρία· καὶ ταῦτα ἐπὶ
διότι ἥμαρτεν τῷ θεῷ πολλά· καὶ οὐκέτι ἄξιον ταφῆναι· λέγει αὐτῷ ὁ κηπουρὸς ὁ ἐ-
λίσιος· πίστευσον ἀββᾶ διακρίνεται ἡ ψυχή μου τοῦτο ποιῆσαι τὸ πρᾶγμα·
ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· τὸ κρίμα αὐτοῦ τὸ ἐπάνω μου· καὶ λόγον σοι δίδωμι, ὅτι
ἐὰν μου ἀκούσῃς καὶ ποιήσῃς οὕτως, καὶ δυνηθῶ βοηθῶ σοι· καὶ ἀποθανόντος αὐτοῦ
αὐτῇ τῇ ἡμέρᾳ· ἐποίησεν ὁ ἀδελφὸς ὡς διέταξεν αὐτῷ· καὶ ἔρριψεν τὸ σῶμα
αὐτοῦ γυμνὸν εἰς τὴν ἔρημον· ἐμένον γὰρ ἀπὸ εἴκοσι μιλίων τοῦ κάστρου·
εἰς τὸ λεγόμενον μεθεμέρ· τῇ οὖν τρίτῃ ἡμέρᾳ· φαίνεται αὐτῷ κατὰ τοὺς ὕ-
πνους· ὁ ἀπελθὼν πρὸς κύριον· καὶ λέγει αὐτῷ· ὁ θεὸς ἀδελφὲ ἐλεήσει σε ὡς ἠλέησας·
πίστευσόν μοι· μέγα ἔλεος ἐποίησεν μοι ὁ θεὸς ὑπὲρ οὗ ἐποίησας τὸ σῶμά μου
ἄταφον· λέγω γάρ μοι ἀφέθη διὰ τὴν πολλὴν ταπείνωσίν σου· ἐκέλευσε εἶναί με
μετὰ ἀντωνίου· καὶ ἰδοὺ παρακαλῶ καὶ ὑπὲρ σοῦ· ἀλλὰ παράφες τὸ κηπίον
καὶ φρόντισον τοῦ ἄλλου κηπίου· καὶ παρὲν τὴν ὥραν· ὅτε ἐξῆλθεν ἡ ψυχή μου·
ἐθεώρουν ὅτι τὰ δάκρυά μου ἔσβεσαν τὸ πῦρ· ὅπου ἤμελλον ἀπελθεῖν +
Δύο ἀδελφοὶ σαρκικοὶ· ἀπετάξαντο καὶ ἀπελθόντες ἔμειναν ἐν ὑποταγῇ·
πατρὸς ἐν τῷ ὄρει τῆς νιτρείας· ἔδωκεν οὖν ὁ θεὸς καὶ τοῖς δυσὶ τὸ χάρισμα τῶν
δακρύων καὶ τῆς κατανύξεως· ἐν μιᾷ οὖν θεωρεῖ ὁ γέρων ἐν ὁράματι τοὺς δύο
ἀδελφοὺς ἱσταμένους εἰς εὐχήν· καὶ κρατοῦντας χαρτίον γεγραμμένον·
καὶ βρέχοντας αὐτὸ τοῖς ἰδίοις δάκρυσιν· καὶ τὰ μὲν γράμματα τοῦ ἑνὸς
ἀδελφοῦ ἐλευκαίνοντο· τὰ δὲ τοῦ ἑτέρου μετὰ κόπου· ἐφαίνοντο γὰρ ὡς ἀ-
πὸ ἐγκαυστοῦ μέλανος· ἐδεήθη οὖν ὁ γέρων τοῦ θεοῦ ἵνα μάθῃ αὐτὸς τὸ τοῦ
ὁράματος· καὶ παραστὰς αὐτῷ ἄγγελος λέγει· τὰ γράμματα τῶν χαρτίων· τὰ
ἁμαρτήματα αὐτῶν εἰσιν· καὶ ὁ μὲν εἷς κατὰ φύσιν ἥμαρτεν· καὶ ἐκ τούτου
ἀδελφοῦ λευκοῦνται τὰ γράμματα· ὁ δὲ ἕτερος εἰς ἀκαθαρσίαν καὶ ἐν παρα-
πτώμασιν· ἐμολύνθη παρὰ φύσιν· καὶ ἐκ τούτου κόπου περισσοτέρου
χρῄζει πρὸς μετάνοιαν καὶ πολλὴν ταπείνωσιν· καὶ ἐκ τότε ἔλεγεν ὁ γέρων·

τῷ ἀδελφῷ· πῶς μισῶ ἀδελφέ· ὅτι εἰ καὶ ταῦτά φησιν καὶ μετὰ κόπου λιαίνονται·
καὶ οὐ κεφανέρωσεν αὐτῷ τὸ πρᾶγμα ἕως τῆς τελευτῆς αὐτοῦ· ἵνα μὴ ἐκκόψῃ αὐτοῦ
τὴν προθυμίαν· ἀλλὰ μᾶλλον τοῦτο ποιῶν τὸ τέλειον αὐτοῦ· κοπιάσωμεν ἀ-
δελφέ· ὅτι μετὰ κόπου λιαίνονται·
Ἄλλος τις τῶν πρὸ ἡμῶν ἔμενεν δὲ Ῥαιθοῦ· εἰς τόπον καλούμενον Χάλκαι· τούτῳ
παρέβαλεν τις τῶν γερόντων καὶ λέγει αὐτῷ· ἀββᾶ θλίβομαι· ὅτε ἀπολύ-
ω ἀδελφὸν διὰ διακονίαν· λέγει αὐτῷ καὶ αὐτός· ἐγὼ ὅτε πέμπω τὸν διακονητήν
μου καθήμενος πλησίον τῆς θύρας καὶ θεωρῶ· καὶ ὅτε λέγει μοι ὁ λογισμός· ἄρα πότε
ἔρχεται ὁ ἀδελφός· καὶ λέγω κἀγώ· εἴ τι ἐὰν προλάβῃ καὶ εἰσέλθῃ ἀδελφὸς ἄλλος
ἐπαιρόμενος πρὸς κύριον τουτέστιν ἄγγελος· τί γίνεται· καὶ οὕτως καθήμενος βλέπω
τὴν θύραν· μεριμνῶν καὶ κλαίων μου τὰς ἁμαρτίας· καὶ λέγων· ἄρα ποῖος ἀδελ-
φὸς προλαμβάνει καὶ ἔρχεται· ὁ κάτωθεν ἢ ὁ ἄνωθεν· καὶ μεγάλως ὠφεληθεὶς ὁ
γέρων ἀνεχώρησεν· καὶ οὕτω ποιῶν καὶ αὐτὸς ἐκέρδησεν τὴν αὐτὴν ἐργασίαν·
Ἀδελφὸς σπουδαῖος ποιῶν τὸν κανόνα αὐτοῦ μετὰ τοῦ ἰδίου ἀδελφοῦ, ἐνίκα-
το ὑπὸ τῶν δακρύων καὶ ἐξέφευγεν τὸν ἀριθμὸν τῶν ψαλμῶν· ἐν μιᾷ οὖν παρεκάλεσεν
αὐτὸν ὁ ἀδελφὸς εἰπὼν αὐτῷ· τί λογιζόμενος δὲ τὸν κανόνα οὕτως πικρῶς
κλαίεις· ὁ δὲ λέγει αὐτῷ· συγχώρησόν μοι ἀδελφέ· ἔσω ὅταν ἵσταμαι τὸν κανόνα
μου τὸν κριτὴν θεωρῶ· καὶ ἐμὲ ὡς κατάδικον ἐξεταζόμενον· καὶ αὐτὸν λέ-
γοντά μοι· διατί ἥμαρτες· λοιπὸν μὴ ἔχων τί ἀπολογήσασθαι, ἐμφρά-
σσεταί μου τὸ στόμα· καὶ ἐκ τούτου ἀπόλλω τὸν ἀριθμὸν τῶν ψαλμῶν· ἀλλὰ συγχώρησόν μοι
ὅτι θλίβω σε· καὶ ἐὰν ἀναπαύῃ, ποιήσει ἕκαστος ἡμῶν κατ' ἰδίαν τὸν κανόνα
αὐτοῦ· λέγει αὐτῷ ὁ ἀδελφός· οὐχί πάτερ· κἂν γὰρ μὴ πενθῶ ἐγώ· ἀλλ' ὅμως θε-
ωρῶν σε ταλανίζω ἐμαυτόν· καὶ θεωρήσας ὁ θεὸς τὴν ταπείνωσιν αὐτοῦ· ἐχα-
ρίσατο αὐτῷ τὸ πένθος τοῦ ἀδελφοῦ αὐτοῦ·
Ἀδελφὸς ἐκ τοῦ ὄρους τῶν Ἐλαιῶν καθήμενος· κατῆλθεν ἐν μιᾷ δὲ τὴν ἁγίαν πόλιν
καὶ προσελθὼν τῷ ἄρχοντι ἐξωμολογήσατο αὐτῷ τὰς ἁμαρτίας αὐτοῦ φάσκων
αὐτῷ· κόλασόν με κατὰ τοὺς νόμους· ὁ δὲ ἄρχων θαυμάσας διεκρίθη περὶ αὐ-
τοῦ· καὶ λέγει τῷ ἀδελφῷ· ὄντως ἀββᾶ λοιπὸν ὅτι σὺ ἀφ' ἑαυτοῦ ἐξωμολογήσω·
οὐ τολμῶ κρῖναί σε πρὸ τοῦ θεοῦ· ἴσως γὰρ καὶ συνεχώρησέν σοι· καὶ ἀπελθὼν
ὁ ἀδελφὸς ἔβαλεν αὐτοῦ σίδηρα εἰς τοὺς πόδας καὶ εἰς τὸν τράχηλον· καὶ ἀπε-

κλάσαι μετ' αὐτὸν εἰς κελλίον· καὶ ἀποτεμὼν ταυτὸν ἄνω λέγων· ἀββᾶ, τίς ἔβα-
λέν σοι τὴν τοιαύτην ἀνάγκην τοῦ σιδήρου· ἀπεκρίνατο ὁ γέρων· πρὸ ὤν
μιᾶς ἡμέρας τοῦ τελευτῆσαι αὐτὸν ἠνοίγησαν ἀφ' ἑαυτῶν τὰ σίδηρα· καὶ ἔπε-
σαν ἐξ αὐτοῦ. ἐλθὼν οὖν ὁ διακονητὴς αὐτοῦ καὶ ἰδὼν, ἐθαύμασε καὶ λέγει αὐτῷ· τίς ἔλυ-
σεν τὰ σίδηρά σου· λέγει αὐτῷ· ὁ λύσας τὰς ἁμαρτίας μου· ἐφάνη γάρ
μοι χθὲς λέγων· ἰδοὺ διὰ τὴν ὑπομονήν σου ἔλυσα πάσας τὰς ἁμαρτίας σου·
καὶ ἥψατο τῷ δακτύλῳ αὐτοῦ τῶν σιδήρων· καὶ εὐθέως ἔπεσαν ἀπ' ἐμοῦ· καὶ ταῦτα
εἰπὼν ὁ ἀδελφὸς εὐθέως ἀπῆλθεν πρὸς κύριον.

Εἶπεν ὁ ἀββᾶς Δανιὴλ ὁ τῆς Σκήτεως· τοῖς συνελθοῦσιν ἀδελφοῖς· εἰ θέλετε σωθῆ-
ναι, φυλάξατε τὴν ἀκτημοσύνην καὶ τὴν σιωπήν· εἰς γὰρ τὰς δύο ἀρετὰς ταύτας
ὅλος ὁ βίος τοῦ μοναχοῦ κρέμαται.

Εἶπεν γέρων· ἠκούσαμεν παρά τινων ἄλλων· τὸν Χριστὸν ἐχόντων ἐν ἑαυτοῖς λα-
λοῦντα· περὶ συμφώνων τεσσάρων πρεσβυτέρων ἄλλων· οἵτινες δεξιὰς ἔδωκαν
ἀλλήλοις· ἵνα ὁμοτρόπως καὶ ὁμοφρόνως ζήσωσιν τὸν ἐν τῷ αἰῶνι τούτῳ· ὅμως
πάλιν ἐν τοῖς ὁσίοις εὑρεθῶσι· τῇ δεσποτικῇ φωνῇ πιστεύσαντες τῇ λεγού-
σῃ· ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς
πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν τοῖς
οὐρανοῖς· καὶ οἱ μὲν τρεῖς τῇ ἀσκήσει προσκαρτεροῦντες ἡσύχαζον ἐν τῇ ἐρή-
μῳ· ὁ δὲ ἄλλος διηκόνει αὐτοῖς τὰ πρὸς τὴν χρείαν· συνέβη οὖν τοὺς δύο τε-
λευτῆσαι ἐν Χριστῷ καὶ ἀναλῦσαι ἐκ τοῦ βίου καὶ ἀπενεχθῆναι ἐν ἑνὶ τόπῳ ἀναπαύσεως·
περιλειφθῆναι δὲ τοὺς δύο ἐν τῇ γῇ· τὸν διακονητὴν καὶ ἕνα ἡσυχάζοντα·
ἐξ ἐπιβουλῆς δὲ τοῦ πονηροῦ δαίμονος· περιέπεσεν ὁ διακονητὴς εἰς πορ-
νείαν· καὶ ἀπεκαλύφθη ἐνὶ τῶν δύο ὀρθοτικῶν ἄλλων· ὅτι οἱ δύο οἱ τελευτήσαντες
παρεκάλουν τὸν θεὸν λέγοντες· ὅτι παράδος τὸν ἀδελφὸν βρωθῆναι ὑπὸ λέ-
οντος ἢ ὑπὸ ἄλλου θηρίου· ἵνα ἀπονιψάμενος τὴν ἁμαρτίαν ἔλθῃ εἰς τὸ
πορευθῆναι μεθ' ἡμῶν· καὶ μὴ διασπασθῇ ἡ συμφωνία ἡμῶν· καὶ ἐγένετο ἐλθεῖν τὸν ἀ-
δελφὸν κατὰ τὸ ἔθος τῆς διακονίας καὶ ἐν τῷ ὑποστρέφειν πρὸς τὸν ἡσυχαστὴν
ὑπήντησεν αὐτῷ λέων καὶ ἐζήτει αὐτὸν θανατῶσαι· ἔγνω δὲ ὁ ἡσυχαστὴς τὸ γι-
νόμενον· ἀπεκαλύφθη γὰρ αὐτῷ· καὶ ἔστη εἰς προσευχὴν δεόμενος τοῦ
θεοῦ ὑπὲρ τοῦ ἀδελφοῦ· καὶ παραυτὰ ἔφθη ὁ λέων· οἱ οὖν δύο πατέρες οἱ ἤδη τε-

λφθέντων· παρεκάλουν τὸν θεὸν λέγοντες· δεόμεθά σου δέσποτα· συγχώρησον
αὐτὸν βρωθῆναι ἵνα ἐλεηθῇ μεθ' ἡμῶν ἐν τῇ μακαριότητι ταύτῃ· καὶ μὴ ὑπα-
κούσῃς ἄλλ' ἔτι παρακαλούντων ὑπὲρ αὐτοῦ ἐν τῇ γῇ· ὁ δὲ ἕτερος μένων τῷ κελλίῳ συμ-
παθὴς ἐκτενῆ εὐχὴν μετὰ δακρύων ἱκέτευεν τὸν θεὸν ἐλεηθῆναι τὸν ἀδελφόν·
καὶ ῥυσθῆναι τοῦ λέοντος· ὑπήκουσεν δὲ ὁ θεὸς τῆς κραυγῆς τοῦ ἑτέρου φθάσαντος· καὶ φη-
σὶν πρὸς τοὺς πρεσβυτέρους τοὺς ἐν τῷ οὐρανῷ ὄντας· δίκαιον ἐστὶν ἐκείνου ὑπακοῦσαι
ὑμᾶς γὰρ ὧδε ἐν ἀνέσει ἐστέ· ἀπολαβεῖν τὸν πόνον καὶ τὸν ἱδρῶτα τοῦ βίου
ἐκεῖνος δὲ κεκμηκὼς ἐν τῷ μόχθῳ τῆς σαρκός· καὶ ἐν πολλαῖς πείραις ταλαιπωρίας τῆς σωτη-
ρίας· δίκαιον οὖν ἐστὶν ἐκείνῳ δοῦναι τὴν χάριν· ὑπὲρ ὑμῶν· εὐθέως οὖν ἀνεχώ-
ρησεν ὁ λέων ἀπὸ τοῦ ἀδελφοῦ· καὶ ἐλθὼν ἐν τῷ κελλίῳ εὗρεν τὸν ἕτερον δακρύ-
οντα ὑπὲρ αὐτοῦ· καὶ διηγήσατο αὐτῷ τὴν ἁμαρτίαν αὐτοῦ· καὶ πῶς ὁ ἐπεφείσατο αὐτοῦ
ὁ θεός· μετανοῶν· καὶ μετὰ ὀλίγον χρόνον· ἦλθεν εἰς τὸ ἀρχαῖον μέτρον· συνέβη οὖν κοι-
μηθῆναι ἀμφοτέρους καὶ τελειωθῆναι ἐν Χριστῷ· καὶ ἀπεκαλύφθη τῷ προρρηθέντι διορα-
τικῷ ἄλλῳ· ὅτι οἱ πεσόντες ἀρέσκειν ἐνώπιον τοῦ θεοῦ εἰσιν καὶ ... ἀδελφὸς εἰς ἐπαγγελίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

Ἄλλος πάλιν ἀποκρισάριος κοινοβίου μεγάλου ἦν· καὶ ἐν τῷ ἀποκελλίσαι ... εἰς τὸν
αὐτὸν τοῦ κοινοβίου· συνέβη αὐτὸν ἐμπεσεῖν εἰς τὸν τῆς ἀκολασίας βόρβορον·
ἑτέρου τοῦ ἱμ... τελευτῆσαι αὐτόν· καὶ εἶπεν τὸ πρόσωπον αὐτοῦ ὡς ... ἀποβολῇ ἀπο-
χύτεας· ὁ οὖν τοῦ μοναστηρίου πρεσβύτερος ὢν ἰκὸς ὤν· ὡς εἶδεν τὸ γεγονός· συνήγαγεν πάν-
τα τὴν ἀδελφότητα λέγων· ὁ ἀδελφὸς οὗτος ὑπεξῆλθεν τὸν βίον· καὶ οἴδατε ὅ-
τι διὰ τὴν ἡμετέραν ἀνάπαυσιν καὶ ἡσυχίαν· ὅλος ἦν ... ἐκάμνεν ἐν ταῖς ἀποκρί-
σεσιν· καὶ ὑπεσκελίσθη ὡς ἄνθρωπος ὑπὸ τοῦ πονηροῦ· καὶ ἐπειδὴ ... ἁπάσης ἡμῶν
ἁμαρτήμασιν περιέπεσεν· δεῦτε ἐκτενῶς ἅμα ἐκτενεῖ ὑπὲρ αὐτοῦ καὶ παρακα-
λέσωμεν τὸν φιλάνθρωπον θεὸν ἐλεῆσαι αὐτόν· οἱ γὰρ οἰκτίρμονες αὐτοῦ ἐπὶ πάντα
τὰ ἔργα αὐτοῦ· ἤρξαντο οὖν μετὰ δακρύων ἱκετεύειν τὸν θεὸν ἐλεῆσαι αὐτόν·
καὶ ἐποίησαν τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἀσιτοῦντες μηδὲν ἐσθίοντες· οἱ
ἀδελφοὶ ἐρημοῦντες καὶ ὀλοφυρόμενοι τὴν ἀπώλειαν τοῦ ἀδελφοῦ· καὶ εἶπεν ὁ ἀββᾶς
τῆς μονῆς ἐν ἐκστάσει· καὶ θεωρεῖ τὸν σεσωσμένον πατέρα τῶν κόπων τῶν ἀδελφῶν·
ὁ δὲ διάβολος ἤρξατο κατηγορεῖν καὶ λέγειν· δέσποτα ἐμὸς ἐστὶν οὗτος δοῦλος
σου· τῶν ἡμετέρων ἔργων ἐστὶν ἑταῖρος συνεργήσαι αὐτῷ εἰς τὸ ἁμαρτάνειν· δι-
καιοκρίτης ὢν κε· καὶ δικαίως κρῖνον· ἀπεκρίθη οὖν ὁ σωτὴρ λέγων· δικαιοκρί

τῆς εἰμὶ ἀλλ᾽ αὐτὸς ἐλεήμων· καὶ περὶ τῆς δικαιοσύνης· ἐλεημοσύνη καὶ ἡ φιλανθρωπία αὐ-
τοῦ χάριν· καὶ ἐπεὶ ἐλεήμων εἰμὶ καὶ φιλάνθρωπος· οὐκ ἄλογον ἐστὶν μὴ παριδεῖν ἀνθρώπων τοσού-
των ἁγίων ἀνδρῶν ἱκεσίαν ὑπὲρ ἑνὸς τετραυματισθέντος προσαγομένην ἡμῖν·
καὶ ταῦτα διὰ κάμνοντας αὐτοὺς τοὺς παρακαλοῦντας· πεσόντα τὸν αὐτὸν ἐν τῇ ἁμαρτίᾳ·
ἠδύνατο γὰρ καὶ οὗτος ἐν ἡσυχίᾳ μένων μακρὰν ὡς περιπατῶν τῶν ἐν τῷ μοναστηρίῳ· καὶ αὐτὸς
τοῦ διαφυλαχθῆναι ἀπὸ τῶν βελῶν τῆς ἁμαρτίας· ἀλλὰ προφάσει τῆς ἀποκρί-
σεως τῶν ἀδελφῶν· ὡς ἄνθρωπος ὠλίσθησεν· ἢ οὐχ ὁρᾷς πῶς πάντες θάνατον μέ-
δωκαν ἑαυτοὺς ὑπὲρ αὐτοῦ· καὶ πάντες ὑπὲρ τοῦ ἐμοῦ ἀποθνῄσκουσι· ὅμως μέντοι
πάσαν αὐτῶν ἀποστῆναι τῆς παρακλήσεως καὶ λυθῆναι αὐτόν· ἰδὲ τοσαῦται ψυχαὶ κιν-
δυνεύουσιν ἀπολέσθαι τρεῖς ἡμέρας ἤδη τρέφονται παρακαλοῦντες·
καὶ δεόμενοι μετὰ δακρύων ὑπὲρ αὐτοῦ· μὴ ἀφιστάμενοι ἀπὸ τῶν προσευχῶν
ἐν περιαγομένοις ἑστῶν κύκλῳ· καὶ τὴν σποδὸν ἣν κατέπασαν τὰς ἑαυτῶν κεφαλάς·
τοσοῦτον πλῆθος παρακαλεῖ· καὶ ταῦτα μὴ κατὰ σκοπὸν μελετήσαντος ἀποστασίαν
ἁμαρτήσαντος τοῦ ἀδελφοῦ· ἀλλὰ κατὰ περίπτωσιν ἁρπαγέντος αὐτοῦ ἐν τῇ ἁ-
μαρτίᾳ ὡς ἀνθρώπου· οὐκ ἄλογον ἐστὶν ἀπολῦσαι αὐτοὺς τῆς αἰτήσεως αὐτῶν·
εἰ γὰρ τοῖς ἐπὶ γῆς βασιλεῦσιν· ἐὰν πόλις ὁλόκληρος ἴδῃ κατάδικόν τινα ἀπαγό-
μενον ἐπὶ θάνατον· ἀνακαλεῖται τὴν βασιλικὴν ψῆφον· ἡ ἱκεσία τοῦ πλήθους
καὶ ἐξαρπάζεται τῶν τοῦ δημίου χειρῶν τὸν ὑπεύθυνον· πόσῳ μᾶλλον ἐγὼ ὁ βα-
σιλεὺς ὁ οὕτως δίκαιος καὶ φιλάνθρωπος· χαρίσομαι τοῖς ἐμοῖς στρατιώταις· τὴν ὑ-
πὲρ τοῦ ἑνὸς αἴτησιν καὶ ἱκετηρίαν μοι προσφερομένην· ταῦτα τοῦ κυρίου φήσαντος·
κατῃσχύνθη ὁ διάβολος καὶ ἀφανὴς ἐγένετο· ὡς δὲ ἐπανῆλθον ἀπὸ τῆς ἐκκλη-
σίας· ὁ ἀββᾶς τῆς μονῆς· διηγήσατο πάντα τοῖς ἀδελφοῖς· καὶ ἐχάρησαν χαρὰν
μεγάλην σφόδρα· καὶ ἤρξατο τὸ πρόσωπον τοῦ ἀδελφοῦ κατὰ μικρὸν ἀποκαθαί-
ρεσθαι τῆς μελανίας· καὶ γέγονεν ὅλον καθαρόν· καὶ πληροφορηθέντες ὅτι ἔταξεν
ὁ θεὸς τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κλήρῳ τῆς ζωῆς· συνεκόμισαν τὸ λείψανον καὶ θά-
ψαν αὐτὸν καὶ ἠγαλλιάσαντο· ἐπὶ τῇ γεγενημένῃ παραδόξῳ σωτηρίᾳ τοῦ ἀδελφοῦ αὐτῶν·
ὅτι ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ+
Διηγήσατο ὁ μακάριος Παῦλος ὁ ἁπλοῦς· ὅτι εἶχον μαθητήν· καὶ ποτὲ ἐπεὶ περὶ
διαφόροις ἁμαρτήμασιν ἐμοῦ μὴ φθάσαντος· συνέβη αὐτὸν τοῦτον τελευτῆσαι·
καὶ ἐδεήθην τοῦ θεοῦ ἐκτενῶς· καὶ παρεκάλεσα τὸν φιλάνθρωπον δηλωθῆναί μοι ἐν

ποίοις ἐστὶν μετὰ τὴν ἔξοδον αὐτοῦ· καὶ προσκαρτερήσαντός μου τῇ προσευχῇ ἡμέρ-
ας οὐκ ὀλίγας· ἐπιμονὴν ἡμέραν ἑκάστην· καὶ θεωρῶ φησὶ τὸν ἐμὸν μαθητήν· βασανιζόμενον
ὑπὸ διοτίμου· πεπεδημένον ὁλόκληρον ἀπὸ κεφαλῆς ἕως ποδῶν· καὶ μη-
δεμίαν ἐνέργειαν ἔχοντα· μήτε ψυχικὴν μήτε σωματικήν· μήτε λαλοῦντα
ὅλως· ἀλλ' ὥσπερ ἀπολιθωθέντα· ἐπὶ δὲ λίαν ἀγωνιῶν· καὶ ὥσπερ ἐρευθοστημόμενον
ἐμνήσθην τοῦ ῥήματος τοῦ κυρίου εἰρηκότος· τὸν μὴ ἐνδεδυμένον ἔνδυμα γάμου· δή-
σαντες αὐτοῦ χεῖρας καὶ πόδας· ἐκβάλετε δὲ τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυ-
θμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· τὸ γὰρ δεδέσθαι χεῖρας καὶ πόδας· οὐδὲν ἕτερον
ἡμῖν αἰνίττεται· ἀλλ' ἢ τὸ σβεννύσθαι καὶ ἀνενέργητον μένειν· πᾶσαν ἐνέργειαν καὶ
προαίρεσιν πονηράν· τὴν μὴ κατὰ τὸ θέλημα αὐτοῦ θεοῦ προβληθεῖσαν ἐν τῷ αἰῶνι
τούτῳ· ὡς δὲ ἐπανῆλθον φησὶν ἀπὸ τῆς ἐκστάσεως· ἠρξάμην σφόδρα λυπεῖ-
σθαι καὶ ἀδημονεῖν· ἐλεημοσύνας τε κατὰ δύναμιν ποιεῖν ὑπὲρ αὐτοῦ καὶ προσφορ-
ὰς καὶ παρακαλεῖν τὴν ὑπεράγαθον ἐλεηθῆναι αὐτόν· καὶ παρακαλέσαι τὸν φιλάνθρω-
πον θεὸν ὑπὲρ αὐτοῦ· καὶ ἠρξάμην μοχθεῖν ἐν τῇ ἀσκήσει καὶ ξηροφαγεῖν εἰς τοιοῦτο
λοιπὸν γῆρας ἐληλακώς· μετὰ δὲ ὀλίγας ἡμέρας· ὁρῶ φησὶν τὴν πανάγαθον θεοτόκον λέ-
γουσάν μοι· τί λυπεῖσαι· καὶ ἀδημονεῖς ὦ παπία· καὶ εἶπον διὰ τὸν ἀδελφὸν
δέσποινά μου· ὅτι εἶδον αὐτὸν ἐν κακοῖς· καὶ ἀπεκρίθη καὶ εἶπεν· οὐχὶ σὺ πα-
ρεκάλεσας ἰδεῖν αὐτὸν βουλόμενος· καὶ ἰδοὺ ἐπληροφορήθης· ἐγὼ δὲ εἶπον
ναὶ δέσποινά μου δέομαί σου ἐγὼ παρεκάλεσα· ἀλλ' οὐκ ἤθελον οὕτως ἰδεῖν
αὐτὸν καὶ κλαίειν καὶ ὀδυνᾶσθαι· καὶ λέγει μοι ἡ ἀγαθή· ὕπαγε διὰ τὸν μόχθον
σου καὶ τὴν ταπείνωσιν καὶ ἀγάπην σου· ἐγὼ σοι αὐτὸν δείκνυμι ἵνα μὴ λυ-
πῇ· καὶ τῇ ἐπαύριον ἰδὼν πάλιν τὸν ἀδελφὸν ἐρχόμενον πρός με περι-
χαρῆ· καὶ δι' ἑαυτοῦ περιπατοῦντα καὶ λαλοῦντα· καὶ λέγει μοι· αἱ πρεσβεῖαι
σου ὑπὲρ ἐδυσώπησαν τὴν πανάγαθον θεοτόκον· διότι πάνυ ἐφίλησας· καὶ πα-
ρεκάλεσε τὸν υἱὸν καὶ ἔλυσέ με τῶν δεσμῶν· ὅτι σφοδρῶς τῶν ἁμαρτιῶν μου
ἤμην περιεσφιγμένος· ταῦτα τοῦ ἀδελφοῦ εἰρηκότος ἐγὼ χαρᾶς ἐπλη-
ρώθην· καὶ εὐθέως εἶδον τὴν ἀγαθὴν θεοτόκον καὶ λέγει μοι· ἐπληροφορήθης πρεσ-
βύτα καλῶν ἄρτι· ἐγὼ γὰρ φησὶν ναὶ δέσποινά μου· καὶ πάνυ ἐχάρην ὅτι εἶδον
αὐτὸν ἐν ἀναπαύσει· ἡ δὲ εἶπεν πρός με· ἄπιθι τοιγαροῦν καὶ μνημόνευε τοῦ ἀδελφοῦ
διὰ παντὸς ἐν προσευχαῖς· καὶ ἐλεημοσύναις καὶ προσφοραῖς· σφόδρα γὰρ

ἐλεάντων καὶ γενηθέντα· ἐλεημοσύνη καὶ αὕτη ἡ προσφορά +

Εἶπεν ὁ ἀββᾶ Ἀθανάσιος ὁ ἐπίσκοπος Ἀλεξανδρείας· ὅτι πολλάκις λέγει τις ἡμῶν· ποῦ ἐστὶν ὁ διωγμὸς ἵνα καὶ τὸ μαρτυρῆσαι· μαρτύρησον τῇ συνειδήσει· ἀπόθανε τῇ ἁμαρτίᾳ· νέκρωσον τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· καὶ γέγονας μάρτυς τῇ προαιρέσει· ἐκεῖνοι πρὸς βασιλεῖς καὶ ἄρχοντας ἐμάχοντο· ἔχεις καὶ σὺ ἀντίπαλον διάβολον τὸν βασιλέα τῆς ἁμαρτίας· καὶ ἄρχοντας τοὺς δαίμονας· οὗτος γὰρ καὶ τότε ἐκείνοις βωμὸς καὶ θυμιατήριον προέκειτο· καὶ βδέλυγμα τῆς εἰδωλολατρείας· ἐκτὸς τὸν εἴδωλον μόνον τὸν ἐν τῇ ψυχῇ· βωμὸν μὲν τῆς τάξεως μαρτί πολύψυχον· θυμιατήριον τὸ ὅμοιον τῆς ἐπιθυμίας· εἴδωλον δὲ τῆς ἐπιθυμίας τὸ πάθος· ὅταν γὰρ πορνείᾳ δουλεύωμεν καὶ ἡδοναῖς σχολάζωμεν· τὸν Ἰησοῦν ἠρνήσατο καὶ εἴδωλον προσκυνεῖ· ἔχει γὰρ ἐν ἑαυτῷ τῆς Ἀφροδίτης τὸ ἄγαλμα· τῆς σαρκὸς τὴν αἰσχρὰν ἐπιθυμίαν· καὶ πάλιν ὀργιζόμενος καὶ θυμούμενος τὸν νοῦν· καὶ μὴ ἐκκόπτων τὴν τοῦ πάθους τὴν μανίαν· τὸν Ἰησοῦν ἠρνήσατο καὶ τὸν Ἄρην ἐν ἑαυτῷ θεὸν ἔχει· ὑπέκυψεν γὰρ τῇ ὀργῇ ὥσπερ ἐστὶν μανίᾳ εἰδώλῳ· ἕτερος φιλάργυρος ὢν καὶ φιλήδονος κλείει τὰ σπλάγχνα ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ μὴ ἐλεῶν τὸν πλησίον· τὸν Ἰησοῦν ἠρνήσατο· καὶ εἰδώλοις λατρεύει· ἔχει γὰρ ἐν ἑαυτῷ τοῦ Ἑρμοῦ τὸ εἴδωλον· ἔτι δὲ καὶ τῇ κτίσει λατρεύει παρὰ τὸν κτίσαντα· ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία· ἐὰν τούτων ἐγκρατεύσῃ καὶ φυλάξῃ ἀπὸ τῶν μανικῶν παθῶν· ἐπάτησας τὰ εἴδωλα καὶ ἠρνήσω τὴν δαιμονίαν καὶ γέγονας ὁμολογητὴς τῆς κληρονομίας +

Εἶπεν ὁ ἀββᾶ Μακάριος· τίκει μὲν τοὺς φονέας καὶ μοιχοὺς καὶ τυμβωρύχους· καὶ ἀτιμάζει ποτὲ τῶν παρανόμων· ἔχουσιν ἴδιον διδάσκαλον ἐκεῖ τὴν μᾶλλον δὲ μνήμονα μὴ πρὸς ἐξετάζειν τὰ πράγματα· ἀλλὰ καὶ παύσεται αὐτοῦ ταῖς ματαιοπολυπραγμοσύναις· καὶ ἀρνήσας ἑαυτὸν πολλάκις ἐκείνων χείρους· καὶ σὺ γὰρ πολλάκις ἴδες ἀκολάστοις ὀφθαλμοῖς· καὶ τοῦτο δὲ καὶ αὐτὸς οἶδας· ὅτι μοιχεία ἀπηρτισμένη ἐστίν· καὶ πολλάκις ἐλοιδόρησας τὸν ἀδελφόν σου· οὐκ αἰ τροφεῖ ὅ τις περὶ τούτου ὁ κύριος ἀπεφήνατο· ὅτι ὁ εἰπὼν τὸν ἀδελφὸν αὐτοῦ μωρόν· ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός· τὸ δὲ πάντων φρικωδέστερον· ἴσως ἀναξίως προσέρχῃ τοῖς ἁγίοις καὶ ἀχράντοις μυστηρίοις· καὶ ἔνοχος γίνῃ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ· καὶ οὐ μόνον κρίνεις· ἀλλ' εἰς καὶ αὐτὸ πηλὸν ἄνομον φορέσας· οὐδὲ ἀλλ' εἰς καὶ αὐτὸν τὸν Χριστὸν φονεύων· καὶ τῆς ἐκείνου σφαγῆς ὑπεύθυνος ὤν· ἀναξίως μετέχων τοῦ ἀχράντου αὐτοῦ σώματος καὶ

αἵματος· ὅταν ἀναξίως φησὶν ἐσθίωμεν καὶ πίνωμεν ἔνοχοι ἔσται τοῦ σώματος καὶ τοῦ αἵμα-
τος τοῦ Χριστοῦ· καὶ κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει· τουτέστιν ὥσπερ ἐκεῖνοι οἱ ἰουδαῖοι
ἐσταύρωσαν αὐτόν· οὕτως καὶ οἱ ἀναξίως μετέχοντες τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος
τὸ αὐτὸ ποιοῦσιν· καὶ μάλα εἰκότως· ὅταν διαρρήξας πορφύραν βασιλικὴν
καὶ ὀρύξας τὸν αὐτὸν θάνατον ὑπομένουσι· ὥσπερ οὖν καὶ οἱ κατατέμνοντες τὸ
σῶμα αὐτοῦ ποτέ· καὶ οἱ νῦν ῥυπώσαντες αὐτό· ἐν ἀκαθάρτῳ ψυχῇ μεταλαμβάνον-
τες αὐτοῦ· τὴν αὐτὴν τοῖς σταυρώσασιν αὐτὸν ὑποστήσονται δίκην· κατὰ τὴν τοῦ
ἀποστόλου ἀπόφασιν + Εἶπεν γέρων· τὸν ὀκνηρὸν καὶ τὸν ἀργὸν ὁ θεὸς οὐ θέλει +

Ἠρωτήθη γέρων· ὅτι πότε ἐνυπνιάζεσθαι· ὅσον εἰ μὴ ξηρὸν ἢ καθ᾽ ἑαυτὸν μόνος· καὶ ἀπε-
κρίθη λέγων· ~~μὴ~~ προσποιεῖσθαι ὅλως· ἀλλὰ μὴ νομίζειν ἑαυτὸν ἀπομιαίνεσθαι·
ἐὰν γὰρ πέσῃ ἐν αὐτῷ δημοσίᾳ ἰδὼν καπηλεῖον μαγειρεῖον· καὶ πλησίον ἐν τῷ παρ-
έρχεσθαι μετὰ ἀλλήλων τὴν τῶν κρεῶν ἀναθυμίασιν ὀσφράνθης οὐ· ταῦτα πῶς
ἔρχῃ ὅτι οὐ· οὕτως οὐδὲ τὸ ἐνυπνιάζεσθαι μολυσμόν σοι παρέξει· ἐὰν γὰρ σὺ
ἴδῃς ὄνειρον ὀφθαλμοῖς πλέον σοι ἐπιμέλεια· παραιτήσασθαι ὅπως μὴ εἰς αἴσθησιν
ἐλθὼν συγκαταβῇς τῇ ἐπιθυμίᾳ +

Ἠρωτήθησαν γέροντες τῆς σκήτεως διὰ τὴν πορνείαν· ὅτι πῶς Δαυῒδ ἐκάμνε πρὸς τὸ
ἐκθαμβοῦντας αὐτοῦ ἡ ἐνθύμησις αὐτοῦ· καὶ ἀπεκρίθησαν· ὅτι τὸ πρᾶγμα τοῦτο
ἔοικεν τεθνηκότι σπέρματι· κἂν γὰρ θέλῃ τις ἐπιθυμίαν
φαγεῖν ἔξω αὐτοῦ μὴ ἐκτάμῃς τὴν χεῖρα αὐτοῦ τοῦ λαβεῖν ἔξω· ζῶν ἀδύνατον γίνεσθαι +

Ἀδελφὸς ἠρώτησεν γέροντα λέγων· καλὸν τὸ παραβάλλειν τοῖς γέρουσιν· ἢ τὸ ἡ-
συχάζειν· λέγει αὐτῷ ὁ γέρων· τὸ πρότερον βάλλειν τοῖς γέρουσιν ἦν ὁ καιρὸς τῶν ἀρχαίων πρὸ τοῦ +
γεροντέρων· ἐμίσησαν τῶν μὲν γεροντέρων τὰς κενοδοξίας· ὅτι κἀκεῖνοι μισ-
θὸν οὐκ ἔχουσιν· ἀποβλέποντες πρὸς τὰς δόξας τῶν ἀνθρώπων· λέγει αὐτῷ ἄλλος γέρ-
ων φιλοσοφώτατος· ἐγὼ καὶ πάνυ αὐτοὺς ἀποδέχομαι· συμφέρει γὰρ τῷ μὲν γέροντι
κενοδοξεῖν ἢ μὴ ἀμελεῖν· πάντως γὰρ κενόδοξος· ἀνάγκη καὶ ἐγκρατεύεται
καὶ ἀγρυπνεῖ· καὶ συμμελετᾷ· ἀγαπᾷ κατὰ τὰς θλίψεις βαστάζειν διὰ τὸν ἔπαι-
νον· μετὰ δὲ τοῦτο πολιτεύεσθαι οὕτως· ἔρχεται αὐτῷ ἡ χάρις τοῦ θεοῦ λέγουσα αὐ-
τῷ· διατί οὐχ ἕνεκεν ἐμοῦ· ἀλλὰ διὰ τοὺς ἀνθρώπους· τότε πείθεται μὴ πρὸς
χαμαιδοξίαν ἰέναι· Δύο σύμφωνοι ταῖς μοναζούσαις τὴν ἄσκησιν ὑπερβάλλου-
σαι· καὶ ἐνάρετον βίον ἐπολιτεύσαντο· συνέβη δὲ τὸν ἐν ἀκοίμον βίαρχον

τεμέσθαι· ὁ δὲ ἄλλος ἀναχωρητὴς μέγας· καὶ ἐπὶ τῇ ἀσκήσει γενόμενος· χαρισμά-
τος κατηξιώθη· δαιμονιῶντας ἰώμενος· καὶ προορήσεις προλέγων· νόσους τε
θεραπεύων· καὶ σημεῖα ποιῶν· ταῦτα ἀκούσας ὁ κοινοβιάρχης· ἔκρινεν ἡσυ-
χάσαι ἀπὸ τῶν ἀνθρώπων τρεῖς ἑβδομάδας· δεόμενος τοῦ θεοῦ ὅπως ἀποκαλύψῃ
αὐτῷ· πῶς ὁ μὲν ἐκεῖνος θαυματουργεῖ· καὶ περιβόητος παρὰ πᾶσιν ἐστίν· καὶ ἅγιος
ὀνομάζεται· ἐγὼ δὲ οὐδενὸς τούτων μετέλαβον· καὶ ὤφθη αὐτῷ ἄγγελος λέγων·
ὅτι ἐκεῖνος καθήμενος ἡσυχάζων(?)· καὶ αὐτὸν τὸν θεὸν νύκτα καὶ ἡμέραν· ποθῶν
καὶ φροντίζων διὰ τὸν κύριον· οὐδὲ πολλὰ μεριμνῶν· ἔχεις τὴν τῶν πολλῶν συντυ-
χίαν· ἀρκεῖ σοι ἡ τῶν ἀνθρώπων παράκλησις +

Εἶπεν ὁ ἀββᾶς Δανιήλ· ὅτι ἐτέλει τις ἀδελφὸς ἐν κοινοβίῳ· τὸ μὲν σχήματι
ταπεινὸς καὶ ἐξουθενημένος· τῇ δὲ διανοίᾳ μέγας καὶ εὐτεταγμένος(?)· οὗτος πάντων ἐξουθε-
νούντων αὐτὸν καὶ ἀτιμαζόντων· ἔχαιρεν καὶ ἠγαλλιᾶτο· τῶν ἀδελφῶν ἐξ ἐπι-
βουλῆς τοῦ ἀλλοτρίου πικραινομένων περὶ αὐτόν· καὶ τῶν μὲν τυπτόντων τὸν
αὐτόν· τῶν δὲ ἐμπτυόντων· ἄλλων δὲ λοιδορίαις πλυνόντων αὐτόν· καὶ ταῦτα
ἐπὶ ἀκούοντος(?) ... ἐμοὶ δὲ μὴ φέρων ὁ ἐχθρὸς τὸ εὐτυχὲς τῆς ὑπομονῆς αὐτοῦ
ὑποτίθεται τινὶ ἀδελφῷ· καὶ τῶν ἀδελφῶν ἡσυχαζόντων εἰσελθὼν ἐν τῇ ἐκκλη-
σίᾳ πάντα τὰ ἱερατικὰ σκεύη ἀποσυλήσας· λαθὼν ἐξῆλθε τοῦ κοινοβίου· ὡς
δὲ ἐπέστη ὁ καιρὸς τῆς συνάξεως· εἰσελθὼν ὁ κανονάρχης βλέπει τὸ θυμιατήριον
καὶ τὰ ἕτερα πάντα ἀφαιρεθέντα· καὶ ἀπελθὼν ἀπήγγειλεν τῷ ἀββᾷ· καὶ ἔκρουσε τὸ
ξύλον· καὶ συνήχθησαν οἱ ἀδελφοὶ πάντες· καὶ ἤρξαντο ταράττεσθαι καὶ λέγουσιν
οὐδεὶς ἔλαβεν αὐτά· εἰ μὴ ὁ δεῖνα ὁ ἀδελφὸς καὶ διὰ τοῦτο οὐδὲ εἰς τὴν σύναξιν ἦλθεν·
εἰ μὴ γὰρ τοῦτο ἐποίησεν· ὡς πάντοτε καὶ νῦν ἤρχετο πρῶτος· καὶ ἀπελθόντες
καὶ εὑρίσκουσιν αὐτὸν εἰς προσευχὴν ἱστάμενον· καὶ κρούσαντες εἰσῆλθον· καὶ σύρ-
ουσιν αὐτὸν μετὰ βίας· ὁ δὲ παρεκάλει λέγων· τί ἐστιν τὸ πρᾶγμα πατέρες· οἱ δὲ
λοιδορίαις καὶ ἀτιμίαις βάλλοντες αὐτὸν ἔλεγον· ἱερόσυλε ἀνάξιε τοῦ ζῆν·
οὐκ ἤρκησας ὅτι τοσαῦτα ἔτη ἐτάραξας ἡμᾶς· ἀλλὰ καὶ νῦν ὡς πᾶσας ψυχὰς
ἡμῶν ἐπῆξας(?)· ὁ δὲ ἔλεγεν· συγχωρήσατέ μοι ὅτι ἐσφάλην· καὶ φέρουσιν
αὐτὸν πρὸς τὸν ἀββᾶν· καὶ λέγουσιν αὐτῷ· ἀββᾶ οὗτός ἐστιν ὁ ἀπ' ἀρχῆς
ταράσσων τὸ κοινόβιον· καὶ ἤρξατο ἕκαστος λέγειν· ὅτι οἶδα αὐτὸν λάθρα
τὰ λάχανα φαγόντα· ἄλλος ὅτι πάντων μίαν κλέπτει δίδραχμα· καὶ ἄλλος ὅτι τὸ

οἱ μὲν τὸν κάμιτον ἔφθασαν αὐτὸν πίνοντα· καὶ πάντα ψευδόμενοι ἐπεζήτου-
ον τό· κατὰ μόνας ἀληθεύοντος οὐκ ἠκούετο· ἐπαίρεται ὁ ἀββᾶς τὸ σχῆμα αὐτοῦ
λέγων· ὅτι ταῦτα οὐκ εἰσὶν χριστιανοῦ· καὶ σιδηρώσαντες αὐτὸν παραδιδόασιν τῷ
οἰκονόμῳ τῆς Ἀλεξανδρείας· κατὰ μόνας τυμπανώσαντες· καὶ βουνεύροις τύψαντες· ἐπύθοντο
μετὰ ἀληθείας εἰ ἐστὶν τὰ περὶ αὐτοῦ λεγόμενα· ὁ δὲ γελῶν ἔλεγεν· συγχωρήσατέ μοι
ὅτι ἐσφάλην· ὀργισθεὶς δὲ ἐπὶ τῷ λόγῳ· κελεύει αὐτὸν βληθῆναι εἰς τὸ κολαστή-
ριον ξύλον ἐν τῇ φυλακῇ· τοὺς πόδας αὐτοῦ ἀσφαλισάμενος· καὶ γέγραφε τῷ δου-
κὶ τὰ τοῦ πράγματος· καὶ παραυτὰ ἔρχονται περαζήμιοι καὶ λαμβάνουσιν αὐ-
τόν· καὶ ἐπιβιβάσαντες αὐτὸν ἐπὶ ἀγρίου ζώου· ἔχοντα σίδηρον βαρὺ
κατὰ τοῦ τραχήλου· ἦγον αὐτὸν μέσον τῆς πόλεως· καὶ παραστεχθεὶς τῷ δικά-
ζοντι· ἠρώτα αὐτὸν τίς ἂν λέγει τοῦ καὶ ποῦ θεμελεῖεν καὶ τί ὑπὸ χαρισμάτων ζῶν γέγονεν·
ὁ δὲ πλέον οὐδὲν ἔφησεν· ἢ ὅτι ἥμαρτον συγχωρήσατέ μοι· ἐκμανεὶς ὁ
δοὺξ κελεύει αὐτὸν ταθῆναι· καὶ βουνεύροις ὠμοῖς διαρραγῆναι αὐτοῦ τὸν νῶτον·
ταθεὶς οὖν ἐκ τεσσάρων· καὶ τοῖς νεύροις ἀνηλεῶς μαστιζόμενος· μηδόλως τι προ-
σεσιώπα λέγει πρὸς τὸν δοῦκα· τί πτε τί ποιεῖς τὸ ἀργύριόν μου λαβὼν πρότε-
ρον ἀπεργάζῃ· κατὰ μὲν ἔφησεν ὑπερχεόμενος ἀναδέξασθαι τὴν τιμωρίαν· καὶ κελεύει
πῦρ ὑποστρωθῆναι τῇ κοιλίᾳ αὐτοῦ· καὶ ἅλας ὄξει συμφυράσαντας ἐπι-
χέαι τοῖς μώλωψιν αὐτοῦ· οἱ δὲ παρεστῶτες ἐθαύμαζον ἐπὶ τῇ τοσαύ-
τῃ καρτερίᾳ· καὶ ἔλεγον πρὸς αὐτόν· εἰπὲ ἡμῖν ποῦ ἔβαλες τὰ ἱερατικὰ
σκεύη καὶ ἀπολύῃ· ὁ δὲ ἔλεγεν μὴ ὅτι οὐκ ἔχω πρᾶγμα· μόλις δὲ ἐκλυθῆναι αὐτὸν
τῆς βασάνου κελεύσας· εἰς τὸ δεσμωτήριον παραυτίκα ἀπαχθῆναι· καὶ ἄ-
σιτον καὶ ἀνεπιμέλητον φυλαχθῆναι· καὶ τῇ ἑξῆς πέμψας ἐν τῇ λαύρᾳ ἐ-
κέλευσεν ἀχθῆναι τοὺς τοῦ κοινοβίου καὶ τὸν ἀββᾶν· καὶ ἐλθόντων ὁμοῦ λέγει
πρὸς αὐτοὺς ὁ δούξ· πάνυ πολλὰ ποιήσας· καὶ πολλαῖς τιμωρίαις αὐτὸν ὑ-
ποβαλών· οὐδὲν πλέον ἠδυνήθην μαθεῖν· καὶ λέγουσιν αὐτῷ οἱ ἀδελφοί·
ὅτι δ' ἄξιός ἐστι καὶ ἄλλα πολλὰ κακὰ ἐποίησεν· καὶ διὰ τοῦτο μὴ ἐβασανίσαμεν
αὐτὸν προσδοκῶντες αὐτὸν ἐπιστρέφειν· καὶ ἰδοὺ εἰς χεῖρον μᾶλλον ἦλθεν·
λέγει αὐτοῖς· πῶς ποιήσω αὐτόν· λέγουσιν· τὰ δοκοῦντα τοῖς νόμοις· λέγει
αὐτοῖς· ὁ νόμος τοὺς ἱεροσύλους φονεύει· λέγουσιν φονευθήτω· καὶ ἀπολύει
αὐτούς· καὶ φέρει τὸν ἀδελφόν· καὶ καθίσας ἐπὶ τοῦ κριτηρίου λέγει πρὸς

αὐτόν· ὁμολόγησον ἄθλιε· ἐρωτηθεὶς [illegible] παρ' αὐτῶν· λέγει ὁ ἀδελφός· [illegible]
κελεύεις ἵνα [illegible] τὸν κόσμον λέγω· ὁ δὲ οὐ θέλω κατασκευάσασθαι ἑαυτοῦ· ὁ
δὲ ἀδελφὸς εἶπεν· οὐδὲν φθέρω τῷ μαίῳ [illegible] ποιήσας [illegible]· ἰδόντες δὲ
οἱ δοῦκες ὅτι οὐδὲν λέγει· κελεύει αὐτὸν ἀποκεφαλισθῆναι· καὶ λαβόντες αὐτὸν
οἱ δήμιοι· ἀπήγαγον τοῦ ἀποκεφαλίσαι· ἀπαγομένου δὲ αὐτοῦ· εἰς κα-
ταυτὴν μέλλων θέων· ὁ ἐπάρας τὰ κειμήλια· λέγει πρὸς αὐτόν· κἂν τε ἄρτι κἂν
[illegible] ἐξελεύσεται τὸ πρᾶγμα· εἶδε δὲ καὶ ὁ δουλευτής· τί ποιήσω
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· πῶς ἀπολογήσομαι περὶ τῶν τοιούτων κακῶν παρά-
γεων· καὶ ἔρχεται πρὸς τὸν ἀββᾶ καὶ λέγει αὐτόν· ταχυτέρως ἵνα μὴ ἀποθάνῃ
ὁ ἀδελφός· εὑρέθησαν γὰρ τὰ ἱερατικὰ σκεύη· πέμψας οὖν καὶ ἀναφέρει
τῷ δουκὶ καὶ ἀπολύεται ὁ ἀδελφός· καὶ φέρουσιν αὐτὸν εἰς τὸ κοινόβιον·
καὶ ἤρξαντο πάντες οἱ πατέρες [illegible] λέγειν αὐτῷ ὅτι ἡμάρτομεν [illegible]
[illegible] ὁ δὲ ἤρξατο κλαίειν καὶ λέγειν· συγχωρήσατέ μοι ὅτι μεγάλας ὑμῖν
χάριτας ὁμολογῶ· ὅτι διὰ τῶν ὑμῶν [illegible] τούτων [illegible]· μεγάλων ἀξιοῦμαι
ἀγαθῶν· μεγάλως γὰρ πάντοτε ἐχαιρόμην· ὅταν ἤκουσα ταύτας [illegible]
λεγομένας ἀπὸ πάντων περὶ ἐμοῦ· ὅτι διὰ τῶν ὀλίγων τούτων [illegible]
[illegible] καὶ [illegible] τὴν φοβερὰν ἡμέραν ἀξιωθήσεσθαι [illegible]
[illegible] ἐχαιρόμην ὅτι τοῦτο μοι ἐποιήσατε· πλὴν θλίψις μου ἦν διὰ τὸ λέ-
[illegible] προξένων γὰρ τῆς διὰ τῶν [illegible] δοκουμένης ἀναπαύσεως·
ἐν τῇ τῶν ὁσίων βασιλείᾳ· ἐπιζήσας δὲ ὁ ἀδελφὸς τρεῖς ἡμέρας ἀπῆλθεν
πρὸς κύριον· καὶ ἐλθόντων τῶν ἀδελφῶν ἰδεῖν πῶς ἔχει· εὗρον κείμενον αὐτὸν ἐπὶ τὸν
[illegible] κάμινον εἰς [illegible] καὶ [illegible] ὁ ἀδελφὸς καὶ λέγει τῷ ἀββᾷ· καὶ κελεύει
ἐνεχθῆναι τὸ σῶμα αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ· ἵνα ἐκεῖ ἐνταφιασθῇ· ὡς οὖν ἔθη-
καν αὐτὸν ἔμπροσθεν τοῦ θυσιαστηρίου· κελεύει κροῦσαι τὸ ξύλον ἵνα καὶ ἅπα-
σα ἡ λαύρα συναχθῇ· καὶ μετὰ δόξης τὸ σῶμα αὐτοῦ κατατεθῇ· ὡς δὲ συνήχθη-
σαν· ἤθελον ἕκαστος εὐλογίαν αὐτοῦ ἐπάρειν· ἰδὼν οὖν ὁ ἀββᾶς· τίθησι τὸ
σῶμα αὐτοῦ εἰς τὸ ἱερατεῖον· καὶ ἀσφαλισάμενος τῷ κλειδίῳ· ἐξῆλθεν [illegible]
[illegible] τῆς λαύρας· ἵνα [illegible] ἐνταφιάσωσιν αὐτόν· ὡς οὖν ἦλθεν ὁ πατὴρ τῆς
λαύρας μετὰ τῶν κληρικῶν καὶ ἐποίησαν τὴν εὐχήν· λέγουσιν τῷ ἀββᾷ·
ἄνοιξον φέρε τὸ σῶμα ἵνα ἐνταφιασθῇ· ὅτι καιρός τῆς ἑρμαντης ἐστὶν [illegible]

πον· καὶ ἀπὸ ... οὐδὲν ἔστι εἰ μὴ μόνον τὰ ἱμάτια αὐτοῦ καὶ τὰ σανδάλια·
καὶ πάντες θαμβηθέντες· ἐδόξαζον τὸν θεὸν μετὰ δακρύων καὶ ἔλεγον·
βλέπετε ἀδελφοί· οἵαν προξενεῖ ἡ μὴ μακροθυμία καὶ ἡ ταπείνωσις· ὡς οὖν
ἴδετε οὕτως καὶ ὑμεῖς ἀφορίσασθε· ὑπομένομεν ἐξουδενούμενοι καὶ παραδόσομεν·
ὅτι βασιλείαν οὐρανοῦ ἡ δὲ μὴ προξενεῖ· διὰ τῆς χάριτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·
ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου πατριάρχου Ἀλεξανδρείας· σύγγραμμα
διδασκαλίας· πρὸς πάντα μονάζοντα καὶ πρὸς πάντα εὐσεβῆ χριστιανόν· λόγος· περ

τιμοβίτων υἱῶν τῆς καθολικῆς ἐκκλησίας· καὶ μάλιστα τῶν ἐν αὐτῇ ἀναχωρη-
σάντων· ἤτοι μοναχῶν· οὕτως· χάριτι μὲν ἐσωζόμενοι· ἀλλ᾽ ἡ χάρις αὐθαι-
ρέτους βούλεται εἶναι τοὺς ἑαυτῆς παῖδας καὶ σοφίας υἱούς· καὶ πάσης πρά-
ξεως ἀγαθῆς δοκιμάσαντα τὸ καλόν· ζηλοῦντα καὶ οὕτως πράττειν· τῆς σω-
ρθῆς ταύτης πίστεως· ἀξίου σεαυτὸν εὐπρέπιζε· περιβεβλημένος ἀγά-
πην τε καὶ ταφυλαττειν ἀγαπῶν μετ᾽ αὐτοῦ κύριον τὸν θεόν σου ἀγαπήσεις ἐξ ὅ-
λης καρδίας σου· καὶ ἐξ ὅλης τῆς ψυχῆς σου· καὶ τὸν πλησίον σου ὡς ἑαυτόν· οὐ
φονεύσεις· οὐ μοιχεύσεις· οὐ πορνεύσεις· οὐ παιδοφθορήσεις· οὐ φαρμακεύσεις·
οὐ διχοστατήσεις· ἀπέχου πνικτοῦ καὶ εἰδωλοθύτου καὶ αἵματος· καὶ ταῦτα μὲν γε-
γὶ τὰ περιφανῆ ἁμαρτήματα· ἃ δὲ ὡς ἐλάχιστα περιφαινόμενα ἐν τοῖς ἄλ-
λοις· ὧν καὶ αὐτῶν λόγον ἀποδώσουσιν· φησὶν αὐτοί· τέως μὲν τοὺς μονάζοντας
καὶ ἐγκρατεῖς· δέον ἀποκεχωρισμένους εἶναι ἀπὸ γυναικῶν· καὶ μήτε ὁμιλί-
αν αὐτῶν ἔρχεσθαι· ἀδύνατον μήτε ὁρᾶν αὐτὰς φιλοτιμεῖσθαι· ἵνα μή τις ζημι-
ούμενος γένηται· ἐὰν μοιχεύσῃ καρδίαν διὰ τῆς τοῦ ὀφθαλμοῦ ὁράσεως· φυλάττεσ-
θαί τε μὴ ῥῆμα δόλιον μηδὲ ὑπόνομον· μὴ ψεῦδος· μὴ καταλαλιάν· μὴ ἄκαιρον
περίσσειον· μὴ ἀναίσχυντον· μὴ ῥεμβόν· μὴ ματαιότητα· μὴ αὐθάδη· μηδὲ
παρὰ λόγον ἐκ χειλέων προσφέροντα· μὴ περὶ ὅρκον ὅλως τὸ παράπαν· ἀλλ᾽
... ναὶ ναὶ· οὔ οὔ· ἐὰν που ἀνάγκη γένηται· λέγε μὲν ὁμιλῶν· τίμιος ...
ἀληθῶς ἀληθὲς λέγω· ἢ ψεύδομαι· τὸ δὲ σεβάσμιον ὄνομα ἐπίορκον μὴ λάμ-
βανε· μήτε ἕτερον τινὰ ὅρκον καθὼς εἶπεν τὸ εὐαγγέλιον· ταῦτα γὰρ πάντα
... οὐδ᾽ ἁρμόδιον ἐστὶν ποιεῖν· ἀλλὰ καὶ ἀπὸ ἐκκλησίας ἐκβάλλει τὸν μὴ

† φιλα· β· κη μισό

παραφυλαττόμενον· τὴν δὲ αὐτῶν καὶ ἀποκτείνειν· ἐπιπεῖ μὴ γυμνούμενος ἐᾶν
τὸν ἐμὸν ἀποστόλων τινός· ἀλλὰ ἀνάγκην ἔχειν λούεσθαι διὰ πάθος· ἐμάθετε γὰρ ἀπολλύ-
γινόμενον· μὴ λέγειν ἀδελφὸν ἑαυτοῦ· μήτε μορφὴν ἑορταῖς ἐθνικῶν μὴ συγκοι-
νωνεῖν· σάββατον μὴ φυλάττειν· μὴ μαγεύειν· μὴ φαρμακεύειν· μήτε
ἄλλους τὰ τοιαῦτα πράττειν· ἐπὶ νόσοις ἢ πάθεσιν ἀλγήμασι· μὴ ἀπέρχεσθαι
πρὸς ἐπαοιδόν· μήτε φυλακτήριον ἑαυτῷ περιτιθέναι· μήτε περικα-
θαίρειν· μήτε μανθάνειν τὰ τοιαῦτα ποιεῖν· μήτε ὑπὸ ἄλλων ποιεῖν μηδέ· τὸ σῶμα
φυλάττειν αὐτὸ ἀπὸ πάσης αἰσχρότητος καὶ ἀσελγείας· μὴ ἔχειν γυναῖκας ὡς αὐτό-
κτον καθάπερ τινὲς φυλάττουσιν τὰς ἐπιθέσεις ταῖς αὐταῖς ὀνόμασι· τὰ χάριν δὲ ἐξ
βαπτίσαι μὴ ἐχέτωσαν αὐτοῖς ἀρετὴν ὅσον ποτε· μὴ ἔχειν καταφυγὴν περὶ τὸν
ὅταν καταφυγῆς ἔχων ἢ τύχῃ αὐτοῦ τὰ κακά· οὐ προσδέδεκται· μὴ συνεύχεσθαι
αἱρετικοῖς· μήτε μετὰ ἐθνικῶν· μὴ παραλαμβάνειν μηδὲ τοὺς ἐν τετρά-
δι καὶ παρασκευῇ· εἰ μή τις ἐπὶ νόσῳ βεβάρηται· χωρὶς τῆς πεντηκοστῆς
μόνης καὶ τῶν ἐπιφανίων· τὴν τεσσαρακοστὴν τῆς ἁγίας ἐκκλησίας· καὶ τὴν ἑβδομά-
δα τοῦ ἁγίου πάσχα παρατετηρημένως φυλάττειν· λύειν μηδαμῶς ἐπὰν ἀ-
δελφὸς προσεπέσῃ δὴ μηνὸς· μηδαμῶς δὲ οὕτω μὴ τεταγμένως· τετράδι καὶ
τὴν παρασκευὴν καὶ τὴν τεσσαρακοστὴν καὶ τοῦ πάσχα· ἀλλὰ τὴν αἵρεσιν ἰδί-
προαιρέσεως τουτέστιν δευτέραν καὶ τρίτην καὶ πέμπτην· σάββατον καὶ κυ-
ριακὴν μὴ νηστεύσῃς· πλὴν τοῦ μεγάλου σαββάτου τοῦ ἁγίου πάσχα· ἡ δὲ τῆς τε-
τράδος καὶ παρασκευῆς ἕως ὥρας ἐνάτης νηστεία τετηρημένη ἐστίν· καὶ ἅπαξ
περισσότερος ποιήσας τοῦτο παρατηρῆσαι αὐτοῦ προαιρέσει· ἃ δὲ καὶ ὑπερ-
θέσεις δύνασαι ποιεῖν· τελείως ἄσκησις· μὴ νηστεύων δὲ καὶ πολιτευόμενος βλέπε
μὴ φυσιωθῇς· ἡ γὰρ φυσίωσις παγίς ἐστιν τοῦ διαβόλου· δι' ἧς αὐτὸς ὢν οὕτω πέπτω-
κεν· ὁμοίως δὲ λοιπὸν διὰ ταύτης· ἂν οὐ πολλοὶ δεύτερον καταβάλλει· μήτις σε πλα-
νήσῃ ἐν κυριακῇ νηστεύειν τὸ παράπαν· μήτε τὸν ὕπτιον τὸ παράπαν
μήτε ἐν πεντηκοστῇ· οὐ γάρ ἐστιν θεσμὸς ἐκκλησίας· καὶ μὴ ἀνέχου· ἵνα πλανή-
σωσίν σε τινὲς Μαρκιωνισταὶ ἢ ἕτεροι αἱρετικοί· μηδὲ ἐν τῷ σαββάτῳ ἰδίως
καὶ κυριακῆς· τῶν δὲ ἑορτῶν μὴ ἀμέλει· τῶν μυστηρίων ἀξίως σεαυτὸν εὐτρέ-
πιζε μήπως ἀνάξιος συνέλθῃς· ζητηθῆναι γενήσεται αὐτῇ ἐν πόλει· περὶ
τῶν ὑπερηφανευσάντων αὐτήν· καὶ ἐπισκοποῖς ὅταν ἡμῶν καὶ

αὐτὸς πρῶτος ἔπλευσεν παρ' ἄλλας αὐτοῖς οὕτως ποίησον· μὴ γίνου φιλάρ-
γυρος· μὴ αἰσχροκερδής· μὴ φιλοκτήμων· μὴ φιλόπλουτος· οἱ γὰρ τοιοῦτοι
θεῷ ἀρέσαι οὐ δύνανται· καὶ ὅλως μὴ πραγματεύου· πολλαὶ χῶραι εἰσὶν μὴ
σπείρουσαι· καὶ οἰκοῦντες ἐὰν τέχνας μὴ ἔχωσιν ἀναγκάζονται πραγματεύον-
ται καὶ κακῶς γίνονται· πλὴν ἀνάγκῃ ποίησον· τόκον μὴ λάμβανε· μὴ πρὸ ὀργῆς ζε-
τί· ἴσον μοῦ τῆς πολιτευομένης τιμῆς· ἀγάπα πάντας ἀνθρώπους καὶ εἰρήνευε με-
τὰ πάντων· καὶ μεθ' ὧν οὐ καλὴ εἰ δυνατὸν τὸ ἐκ σοῦ χωρὶς αἱρέσεως· ἔχων δὲ με-
ταδίδου τῷ μὴ ἔχοντι· μὴ ἔχων δὲ οὐκ ἐγκληθήσῃ· ἐὰν αἰτήσῃ τίς παρὰ σοῦ
εἰς χρῆσιν δίδου καὶ λάμβανε παρ' αὐτοῦ τὸ κεφάλαιον ὅταν ἔχῃ ἄνευ τόκου·
μηδὲ λίβου ἔμπροσθεν κυρίου· ἐὰν γὰρ ἔχῃς γεννήματα ἢ ἀργύριον καὶ ζητῇ τίς δα-
νείσασθαι παρὰ σοῦ· οὐ δεῖ τὸ μὴ λαμβάνειν δημοσίως τόκον· πολλάκις τιμιώτερος
εἶναι ὥσπερ ἡ θύρα τῆς διώμοσε τοῦ καιροῦ· τουτέστιν ὀλιγότιμος· δ...
σοφοῖς ἐν τῇ πανουργίᾳ· σκέπτεται γὰρ καὶ ὁρᾷ ὅτι ἂν θέλῃ τόκου· πρὸς ἣν πέσω-
ρας τόκους ἀφ' ἧς ἀδελφὸς λαμβάνει· γίνου ταπεινὸς καὶ ἡσύχιος· τρέμων διὰ παντὸς
τὰ λόγια κυρίου· μὴ γίνου μάχιμος· μὴ τύπτε ἄνθρωπον· ἢ μόνον παιδίον σου μικρὸν
πρὸς παιδείαν· καὶ αὐτὸ παρατετηρημένως· σκόπει μὴ πως διὰ σοῦ φό-
νος γένηται· πολλαὶ γάρ εἰσιν ἀφορμαὶ τοῦ θανάτου· μὴ μυκτήριζε πάντα ἄνθρω-
πον· μὴ βδελυκτοῦ τινὸς ἀσχήματος· παρατετηρημένως ἔχε τὴν ἐσθῆτα·
μὴ τε μαλακοῖς χρώμενος ἱματίοις· μὴ περὶ ἐσθῆτι φαινόμενος μηδὲ καινὸν
ἐνδυμάτων τουτέστιν ῥυπαροῖς προερχόμενος· σάκκον δὲ ἐὰν ἔχῃς
ἱμάτιον ἔνδοθεν τοῦ σάκκου ἁμαρτίας σου· σκόπει μὴ φανῇ σου ὁ σάκκος· ἀλλ' ἔστω κε-
κρυμμένος ἔσω· καὶ μὴ τε δέρματα ἀμφιάζου· μὴ πως δόξαν παρ' ἀνθρώπου
λήψῃ· ὅλως τελείας μὴ τρέφε· ἐξέκοψεν γὰρ τὸ τοιοῦτον σχῆμα ὁ ἀπόστολος·
μὴ ξυρῶν τὸ γένειον· καὶ μὴ περικουρίοις χρώμενος· εἰ δυνατὸν καὶ ἐν δό-
ματα μὴ ἀπέλθῃς μηδὲ μὴ ἴδῃς μὴ κλίνε· κρεῶν ἀπέχου· οὐχ ὡς βδελυσσόμενος
ἄλλως ἀνακόπτων τὸ σῶμα τῆς τρυφῆς· καὶ ἀνάξιον ἑαυτὸν ἡγούμενος·
καὶ ἂν τινὸς ἐπιτάφων τῆ ἐπανόδῳ ἐρχόμενος· πᾶσα γὰρ διαφυλίαι μετὰ
ἀλόγων τροφῶν· βοηθεῖ τῷ σώματι αὐτοῦ πρὸς ἐγκράτειαν· οἴνου ὅλως
μὴ λάμβανε· ἢ μόνον γεύεσθαι καὶ εὐλογεῖν τὸν κτίσαντα· ἐὰν δὲ εἰς σὺ
ὥσπερ Τιμόθεος διὰ τὴν πολλὴν πολυτρόπων νόσοις περιπέσῃς· ὀλίγῳ

οἴνῳ χρῶ· τὸ γὰρ ὀλίγον φάρμακόν ἐστιν ἰάσεως· τὸ πολὺ δὲ αὐτοῦ χρώμενον
ἀμφότερα σαθρὰ σεαυτὸν περιβαλεῖς· εἰ δὲ ἔχεις ἐμὸς ποτήριον ἢ
δύο περισσὸν δὲ μή· ἀδύνατος ὢν σὺ ἀνυπόδητος ὁδὸν διάμπερ μακρὰν ἀνεχθῆ-
σῃ· εἰ δὲ ἀναγκαῖόν ἐστι πάντως ὑποδέσασθαι· ψιλὰ ἔστωσάν σου τὰ ὑποδή-
ματα· καὶ μὴ θέλε καθόλου κεκοσμημένοις ὑποδήμασιν ἢ ἑταιρισμοῦ σχήμασιν
ἐπαίρεσθαι· τοῖς παροῦσιν ἀρκοῦ· καὶ ἐὰν περισσότερον εὕρῃς καὶ οἱ μὲν ἐ-
χῃς πολιτείᾳ· καὶ ἀπέλθῃς ἐπὶ ξένοις· μὴ θελήσῃς ἑαυτὸν κομπάζειν· ἀλλ' ἰσό-
τιμος τοῖς ἀδελφοῖς· οἷον· ἐὰν ἐν λαχάνοις χρώμενος ᾖς καὶ ἐν ψήμασιν καὶ ἀ-
ναγκὴ γάρ ἐστιν ἢ καὶ ἰχθύας μετὰ λαχάνων· ἐὰν θέλῃς ἕως τοῦ μόνου·
καὶ πάλιν ἀναλαβεῖν τὴν προτέραν ἄσκησιν· πάλιν ἐὰν ἀρρωστήσῃς καὶ λάβῃς, οὐ
οὐ ἁμαρτία οὐκ ἔστιν· ἀλλ' ἐκ τῆς ἀσθενείας ἐν τῇ νόσῳ καὶ λάβῃς τοῦ οἴνου ἢ κρεῶν
κτήνη μακρὰν σοί ἐστιν· μὴ λογίσῃ δὲ αὐτῷ ἁμαρτίαν· λυποῦ δὲ ὅτι ἐὰν ἐκ-
κοπῇς σου τῆς πολιτείας· καὶ ὑπερεχύλασθης τοῦ περὶ σοῦ λογισμοῦ· ἀλλ' ἐπὶ
νόσῳ ἀναγκασθῇς λουτρῷ χρήσασθαι· ἕως ἅπαξ καὶ δίς· ὑγιαίνων δὲ βαλανείου
χρείαν ἔχεις· σὺ ὁ μονάζων καὶ ἱερεὺς χαμευνίαν θέλε ἐὰν ᾖς ὑγιής· πε-
ριττὸς δὲ τέχνην μὴ ἔχων χειρῶν· ἐν ἀγρῷ ἐργάζου· ἵνα μὴ ἐσθίῃς ἄρτον ἀρ-
γόν· μᾶλλον δὲ ἐκ τῶν χειρῶν σου ἔχε ποῦ τὸ ἀναπαῦσαι ἀδελφοὺς καὶ ξένους
καὶ ἀδύνατον χήρας καὶ ὀρφανοὺς καὶ μετρίους· καὶ ἐὰν μὴ μετὰ ξύλων ἀνθρωπικῶς
καὶ ἔχεις χωρίον πεδικὸν ἢ τοιοῦτον χωρίον ἐργάζεσθαι· δικαίως συνάγων καρ-
ποὺς καὶ μὴ ἔχων τι ἀδικίας· πρὸ τῶν μὲν πάσας ἀπαρχὰς τοῖς ἱερεῦσι προσ-
φέρε· ἔπειτα θέλε καὶ χήρας ἀναπαύειν καὶ ὀρφανοὺς καὶ λοιπούς· ἀπὸ δικαίων
πόνων· μὴ ἀπὸ τόκων ἢ πλεονασμῶν· ἢ πράγματι ἢ διασεισμοῦ· ἀλλ' ἐὰν
μονήρης καθέζῃ· μὴ ὕβριζε τὴν ἄσκησιν τῆς μονῆς· ἐὰν χωρίον κέκτησαι
ἐν μοναστηρίῳ ἀναχωρῶν· οὐκ ἀνεχώρησεν σοι· ἀλλ' ἐμπορεύῃς καὶ ἐμπαί-
ζῃ· καθεζόμενος δὲ ἐν μοναστηρίῳ· μὴ θέλε ἀεὶ ἀργὸς καὶ ὑπὸ ἄλλων τρέ-
φεσθαι· ἀλλὰ δίδου σεαυτὸν ἢ τέχνην ἣν οἶδας ἢ ἐγκρατεύεσθαι· ἵνα πῶς τὴν
ἐφήμερον πρὸς πορισθὲν τροφήν· μεσοτέρους δὲ ἐὰν ἔχῃς πέρα σεαυτὸν
πρὸς τὸν μὲν παντοδαπὸν φορτίον καὶ μὴ θέλε εἰ ἢ διδάσκαλος· ἰδεῖν δὲ ἠχὰς
συζωμένας διὰ τῆς συνῆς ἀναστροφῆς· τελειῶσαι βουλόμενος τῶν πέμπε-
τε λαλιῶν· τὰ δυνατὰ σιωπῶν ἀλήθειας· μερίμνας τὰς περὶ σὲ τυχὰς

καὶ ἐπὶ τὰ ὑφεστῶτα μεσοπέρου ἰδίᾳ ἕκαστον· αὐτῶν ἐν πέντε ἢ ὀκτὼ μιλίοις εἶναι
τῇ ἀναστροφῇ· χωρὶς μόνης τῆς τραπέζης καὶ συνάξεως καὶ ψαλμῳδί-
ας· ἐν δὲ τῷ ὕπνῳ αὐτῶν ἕκαστον ἰδίῳ περιβάλλεσθαι· καὶ ἕκαστον τὸ ἱμάτιον αὐτοῦ ἔ-
χειν· ἢ ποῖος ἄξιον κεκρυμμένον· ἵνα αὐτοῦ ἀρχῇ ἡ νυκτὸς ἕτοιμοι εὑρεθῶσι· θέ-
λει ἐν ὕπνῳ αὐτῶν σύμμετρος ἐν ψαλμοῖς καὶ εὐχαῖς· καὶ ἡμέρας μὲν ἄρχεσθαι τοῦ κυρίου
μὴ χρονίζων δὲ ἐν εὐχῇ· ἢ κράζων καὶ βαττολογῶν· συμμέτρως δὲ ψάλλειν· ἵνα μὴ ἐπε-
γκακῶσιν αἱ ψυχαί· θέλει δὲ τοὺς παῖδας ὡς πικοὺς περιβιβάζειν·
ἀσκητικὸν ἡλίου ὅλως μὴ ἀσελγῆς· ἀλλὰ ἀνάγκη εἶναι ταῖς ἐπιζημίοις τεμομένων· καὶ χρεί-
ας ἐξ ὀφειλομένου ἢ ποτοῦ· ἀπὸ ἄλλων ὀργάνων· καὶ ἐν ἐκκλησίᾳ φάγεσθαι τί ἐν τόπῳ ὧν
τῆς ἀνακεχωρημένων· ἐὰν δὲ μὴ ἡ ἐκκλησία ἐν τόπῳ· μηδὲ οἰκία ὀρθοδόξων·
καὶ ἀνάγκη οὖσι γένηται καὶ ἀσελθεῖν εἰς πανδοχεῖον· θέλει μένειν ἐν πανδοχεί-
ῳ ὅπου οὐκ ἔστι γυναικῶν οὔτε καπηλεῖον· καὶ τοῦ τόπου ἄλυπος· ἐὰν οὕτως τὰ προ-
ειρημένα ἐν τόποις φυλάξαι· καὶ τῶν προειρημένων σφαλμάτων ἑαυτὸν τηρῶν
τὸν δρόμον τελειώσεις· ἐν πᾶσι τε καὶ ἀνωτάτῃ καὶ πολιτείᾳ κατὰ τὸν εἰρημένον
βαθμὸν σὲ αὐτὸ μέγα καὶ ἀγαθὸν περιποιήσει· αὗται εἰσὶν αἱ τῆς προειρη-
μένης πίστεως ἐν τόποις καὶ παραφυλάγματα· ἃ ἐὰν ποιήσας καὶ τὴν πίστιν
τηρήσῃς· ἔσῃ μαθητὴς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· εἰ δέ τις ἀντιλέγει τοῖς προειρη-
μένοις· θεῷ ἐστὶν ἀντιλέγων· ἀληθῶς γὰρ ταῦτα ὀρθῶς ἔγραψα· καὶ κατὰ μόνας
τὴν παράδοσιν τῆς ἐκκλησίας· καὶ ἔχας ὡς ἡ ἐξ ὅτι περὶ τοῦ πῶς ὅλων ἐντέλλεται
ὁ κύριος· ἡμεῖς δ' ἵνα μὴ μακρολογήσωμεν· ταῦτα μαρτυρίου χάριν ἐξεθέμεθα· καὶ αὗται μὲν
αἱ ἐν πόλεσι μονάζουσι καὶ λοιποῖς χριστιανοῖς εὐλαβέσιν· εἰ δέ τις ἱερεὺς ὁ ἀκρι-
βῶς θέλει ἱερατεύειν μετὰ τῶν προειρημένων ἐν τόποις· ἔστω νηφάλαιος·
σπουδαῖος· ἀνεξίκακος· χρηστός· φιλόρφανος· φιλόπτωχος· ἀπεχόμενος
γυναικός· μὴ ἀμελῶν τοῦ ποιμνίου· μὴ βδελυσσόμενος τινάς· μὴ προσωπολη-
πτῶν· ἐλέγχων τοὺς ἐπὶ πάντων· μὴ ἐν ἐξουσίᾳ ... ὁ βαπτομένην τῇ ὁσίᾳ κ· ἀλ-
λ' ὡς καθαίρειν πρὸς τὸν διὰ μετανοίας· καὶ τὸ πρῶτον ἀγάπην ἐν τῇ καρδίᾳ· ἀδελφοὺς
ἑκάστοις πῶς ποιμαίνειν δεῖ· τί δὲ ταῖς χήραις παραγγέλλει· τί μοναχοῖς·
τί λαϊκοῖς· τί κατηχουμένοις· γυναιξὶν δὲ παραγγέλλειν ἐν ἐκκλησίᾳ μὴ λαλεῖν
ὅλως· ἀλλ' ἐν πάσῃ σιγῇ καὶ εὔχεσθαι· καὶ μὴ λαμπρύνειν ἑαυτὰς ἐν χρυσῷ καὶ
ἐσθῆτι· τὰ δὲ πρόσωπα αὐτῶν μὴ φαίνεσθαι· χάριν ἀνδρῶν μὴ κατὰ φι-

λαῶν· κατηχουμένων δέ· ἴδε εὔχεσθαι ὡσαν· ἢ ἔξωθεν τοῦ βήλου· ὁ δὲ πᾶς ὁ λαὸς
ἐν φόβῳ καὶ σιωπῇ ἀκουέτω τὸν λόγον τοῦ κυρίου· οὐ μόνον δὲ οἱ ἁμαρτάνοντες
δικημάτων ποιήσωσιν· ἀλλὰ καὶ οἱ χαίροντες ἐπὶ τοῖς ἁμαρτάνουσιν· περὶ
τῶν προσφορῶν· ὀφθαλμὸν μὴ φθόνει ἱερεῦ· ἐὰν γὰρ λάβῃς ἢ παρασπαρατομένου
ἐκχέοντος αἷμα· ἢ διασφάξαντος· ἢ κλέψαντος· ἢ πραγματευτοῦ· ἢ ἐπιόρκου
ἢ παραπλουσίου ἀποστερητοῦ· ἢ παραπέμψαντος ἐπὶ πρᾶσιν τόν· ἢ τοκογλύφου
ἢ τιμιολόγου ἐπὶ σίτου· ἢ παραπάντων τῶν ἁμαρτωλῶν· ἱερεῦ ἀπὸ τοιούτων μὲν ἂν
λάβῃς· χάριν τυφλῶν προσφέρεις ἑαυτὸν τῷ θεῷ· σοὶ δὲ πολεμικῶς· οὐκ ἔξεστιν
κρῖναι τὸν ἱερέα· εἰ μὴ ἐὰν ἴδῃς παραβάτην· φύλαξαι σεαυτοῦ· ἐὰν ταῦτα φυ-
λάξῃς ὁ ἱερεύς· βαθμὸν ἀγαθὸν ἑαυτὸν περιποιεῖ· καὶ πολλὴν παρρησίαν τὴν ἐν
Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· μεθ' οὗ τῷ πατρὶ σὺν ἁγίῳ πνεύματι ἡ δόξα εἰς αἰῶνας τῶν αἰώνων ἀμήν +

Ἠσαΐου προφήτου ὀνόματα καὶ πόθεν ἦν καὶ ποῦ κεῖται :·

Ἠσαΐας ὁ προφήτης ἦν ἀπὸ Ἱερουσαλήμ· θνήσκει δὲ ὑπὸ Μανασσῆ πρισθεὶς εἰς δύο· καὶ ἐ-
τέθη ὑποκάτω δρυὸς Ῥωγὴλ ἐχόμενα τῆς διαβάσεως τῶν ὑδάτων· ὧν
ἀπώλεσεν Ἑζεκίας ὁ βασιλεὺς χώσας αὐτά· καὶ ὁ θεὸς τοῦ Σιλωὰμ τὸ σημεῖον ἐποί-
ησεν διὰ τὸν προφήτην· ὅτι πρὸ τοῦ θανεῖν ὀλιγωρήσας ηὔξατο πιεῖν ὕ-
δωρ· καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ· διὰ τοῦτο ἐκλήθη Σιλωάμ· ὃ ἑρμηνεύε-
ται ἀπεσταλμένον· καὶ ἐπὶ τοῦ Ἑζεκίου πρὸ τοῦ ποιῆσαι τοὺς λάκκους καὶ τὰς κολυμβή-
θρας· ἐπὶ εὐχῇ τοῦ Ἠσαΐου· μικρὸν ὕδωρ ἐξελήλυθεν· ὅτι ἦν ὁ λαὸς ἐν συγκλει-
σμῷ ἀλλοφύλων· καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις ὡς μὴ ἔχουσα ὕδωρ· ἠρώτων γὰρ
οἱ πολέμιοι πόθεν πίνουσι· καὶ χαρακώσαντες τὴν πόλιν· καὶ παρακαθέζον-
το τοῦ Σιλωάμ· ὅταν οὖν ἤρχετο ὁ Ἠσαΐας· ἄφνω ἐξήρχετο καὶ τὸ ὕδωρ· ἐὰν δὲ οἱ
ἀλλόφυλοι ἦλθον· οὐκ ἐξήρχετο τὸ ὕδωρ· διὸ ἕως σήμερον αἰφνιδίως ἐξ-
έρχεται· κατ' αὐτὴν ὥραν ἣν ἤρχετο ὁ Ἠσαΐας τότε σὺν τοῖς Ἰουδαίοις· ἵνα
δειχθῇ τὸ μυστήριον· καὶ ἐπειδὴ διὰ τοῦ Ἠσαΐου τοῦτο γέγονεν· μνήμης χάριν
καὶ ὁ λαὸς πλησίον αὐτὸν τοῦ Σιλωὰμ ἔθαψαν ἐπιμελῶς ἐνδόξως· ὅπως διὰ
τῶν εὐχῶν αὐτοῦ· ἔχωσιν ὡσαύτως τὴν ἀπόλαυσιν τοῦ ὕδατος· ὅτι καὶ χρησ-
μὸς ἐδόθη αὐτοῖς περὶ αὐτοῦ· ἔστιν δὲ ὁ τάφος ἐχόμενα τῆς ὁδοῦ τοῦ τάφου
τῶν βασιλέων· ὄπισθεν τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς

μόντον· Σολομὼν γὰρ ἐποίησεν τοὺς τάφους τοῦ Δαυὶδ διαγράψαντος κατ' ἀνατολὰς τῆς Σιὼν ἥτις ἔχει εἴσοδον· ἀπὸ Γαβαὼν μήκοθεν τῆς πόλεως στάδια εἴκοσι· καὶ ἐποίησεν σκολιὰν σύνθεσιν ἀνυπονόητον· καί ἐστιν ἕως τῆς σήμερον· τοῖς πολλοῖς ἀγνοουμένη τοῖς ἱερεῦσι ὅλου τοῦ λαοῦ· ἐκεῖ εἶχεν ὁ βασιλεὺς τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα· καὶ ἐπειδὴ Ἐζεκίας ἔδειξεν τὸ μυστήριον· Δαυὶδ καὶ Σολομῶντος τοῖς ἔθνεσι τοῖς Βαβυλωνίοις· καὶ ἐμίανεν ὀστᾶ τῶν πατέρων αὐτοῦ· διὰ τοῦτο ὁ θεὸς ἐπηράσατο ὡς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ· καὶ ἄκαρπον αὐτὸν ἐποίησεν ὁ θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα+

Jeremiah

Ἱερεμίας ἦν ἐξ Ἀναθώθ· καὶ ἐν Τάφναις τοῖς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ ἀποθνήσκει· κεῖται δὲ ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ· ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτὸν εὐεργετηθέντες δι' αὐτοῦ· ηὔξατο καὶ αἱ ὀλοθρεύουσαι αὐτοὺς ἀσπίδες ἀπέθανον· καὶ τῶν ὑδάτων θηρία· οὓς καλοῦσι μὲν οἱ Αἰγύπτιοι ἐφώθ· Ἕλληνες δὲ κροκοδείλους· καὶ ὅσοι εἰσὶ πιστοὶ θεοῦ· ἕως σήμερον εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ· καὶ λαμβάνοντες τὸν χοῦν τοῦ τόπου· δήγματα ἀσπίδων θεραπεύουσι· ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντιγόνου καὶ Πτολεμαίου· ἀνδρῶν γερόντων· ὅτι Ἀλέξανδρος ὁ Μακεδών· ἐπιστὰς τῷ τόπῳ τοῦ προφήτου· καὶ ἐπιγνοὺς τὰ κατ' αὐτὸν μυστήρια· εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα· περιθεὶς αὐτὰ ἐνδόξως κύκλῳ· καὶ οὕτως ἐξωλοθρεύθη ἐκ τῆς γῆς ἐκείνης τὸ γένος τῶν ἀσπίδων· καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως· καὶ ὅταν ἔβαλον τοὺς ὄφεις· τοὺς λεγομένους ἀργολάους· ὅ ἐστιν ὀφιομάχους· οὓς ἤνεγκεν ἐκ τοῦ Ἄργους τοῦ Πελοποννησιακοῦ· ὅθεν καὶ ἀργόλαοι καλοῦνται· τοῦτ' ἔστιν Ἄργους δεξιοῦ· λέαν γὰρ λέγουσι τὴν εὐώνυμον· τὸ δὲ Ἄργος ὅρος ἀνατολικόν· οὗτος ὁ Ἱερεμίας σημεῖον ἔδωκεν τοῖς ἱερεῦσιν Αἰγύπτου· ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν διὰ σωτῆρος θεοῦ· παιδίου ἐκ παρθένου γεννωμένου ἐν φάτνῃ· καὶ ἕως νῦν παρθένον λοχὸν· καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσκυνοῦσι· καὶ Πτολεμαίῳ τῷ βασιλεῖ τὴν αἰτίαν πυνθανομένῳ ἔλεγον· ὅτι πατροπαράδοτόν ἐστι μυστήριον· ὑπὸ τοῦ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν· καὶ ἐκδεχόμεθα φησὶ τὸ πέρας τοῦ μυστηρίου αὐτοῦ οὗτος ὁ προφήτης πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασε τὴν κιβωτὸν

τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ· καὶ ἐποίησεν αὐτὰ καταποθῆναι ἐν πέτρᾳ· καὶ
εἶπεν τοῖς παρεστῶσιν· ἀπεδήμησεν κ(ύριο)ς ἐκ Σιὼν εἰς οὐρανόν· καὶ πάλιν ἐ-
λεύσεται μονομαθετήσαι ἐν Σιὼν ἐν δυνάμει· καὶ σημεῖον ὑμῖν ἔσται τῆς πα-
ρουσίας αὐτοῦ· ὅτε ξύλον πάντα τὰ ἔθνη προσκυνοῦσιν· εἶπεν δὲ ὅτι
τὴν κιβωτὸν ταύτην· οὐδεὶς ἐκβαλεῖ μὴ Ἀαρών· καὶ τὰς ἐν αὐτῇ πλά-
κας· οὐδεὶς ἀνοίξει ἱερέων προφητῶν· εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς τοῦ
θ(εο)ῦ· καὶ ἐν τῇ ἀναστάσει πρῶτη ἡ κιβωτὸς ἀναστήσεται· καὶ ἐξελεύσεται
ἐκ τῆς πέτρας· καὶ τεθήσεται ἐν ὄρει Σινᾷ· καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὴν
συναχθήσονται ἐκεῖ ἐκδεχόμενοι τὸν κ(ύριο)ν· καὶ τὸν ἐχθρὸν φεύγοντες· ἀ-
νελεῖν αὐτοὺς θέλοντα· ἐν δὲ τῇ πέτρᾳ ἐσφράγισεν τὸ ὄνομα τοῦ θ(εο)ῦ
τῷ δακτύλῳ τοῦ προφήτου· καὶ γέγονεν ὁ τύπος· ὡς γλυφὴ σιδήρου·
καὶ νεφέλη φωτινὴ ἐσκέπασεν τὸ ὄνομα· καὶ οὐδεὶς νοήσει τὸν τόπον·
οὔτε ἀναγνῶναι αὐτὸ δυνήσεται ἕως τῆς σήμερον· καὶ ἕως τῆς συντελεί-
ας· ἔστιν δὲ ἡ πέτρα ἐν τῇ ἐρήμῳ· ὅπου πρῶτον ἡ κιβωτὸς γέγονεν μεταξὺ
τῶν δύο ὀρέων· ἐν οἷς κεῖται Μωϋσῆς καὶ Ἀαρών· καὶ ἐν νυκτὶ νεφέλη
πυρὸς γίνεσθαι περὶ τὸν τόπον κατὰ τὸν τύπον τὸν ἀρχαῖον· ὅτι οὐ μὴ παύ-
σηται ἡ δόξα τοῦ θ(εο)ῦ ἐκ τοῦ νόμου αὐτοῦ· καὶ διὰ τοῦτο ἔδωκεν ὁ θ(εὸ)ς τῷ Ἱερε-
μίᾳ χάριν· ἵνα τὸ τέλος τοῦ μυστηρίου αὐτοῦ αὐτὸς ποιήσῃ· ἵνα γένηται
συγκοινωνὸς Μωσέως καὶ Ἀαρών· καὶ ὁμοῦ εἰσὶν ἕως τῆς σήμερον +
Ἰεζεκιὴλ οὗτος ἐστὶν ἐκ τῆς Σαρηρὰ ἐκ τῶν ἱερέων· καὶ ἀπέθανεν ἐν γῇ
Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας· πολλὰ προφητεύσας τοῖς ἐν τῇ
Ἰουδαίᾳ· ἀπέκτεινεν δὲ αὐτὸν ὁ ἡγούμενος τοῦ λαοῦ Ἰσραὴλ ἐκεῖ ἐλεγχό-
μενος ὑπ' αὐτοῦ· ἐπὶ εἰδώλων σεβάσμασι· καὶ ἔθαψεν αὐτὸν ὁ λαὸς ἐ-
ν ἀγρῷ Μαούρ· ἐν τάφῳ Σὴμ· καὶ Ἀρφαξὰδ πρόγονον Ἀβραὰμ ἐν Χε-
βρὼν πρὸς τὴν ὁμοιότητα αὐτοῦ· καὶ ἔστιν ὁ τάφος σπήλαιον διπλοῦν·
καὶ ἐποίησεν τὸν τάφον Σάρας· διπλοῦν δὲ λέγεται ὅτι ἑλικτόν ἐστιν·
καὶ ἀπόκρυφον ἔχει ἐπίπεδον ὑπερῷον· καὶ ἔστιν ἐπὶ τῆς ἐν πέτρᾳ κεκρη-
μνισμένον· οὗτος ὁ προφήτης· τέρας δέδωκεν τῷ λαῷ· ὥστε προσέ-
χειν τῷ ποταμῷ Χοβάρ· ὅτι εἰ ἐκλείψει ἐπελεύσεσθαι τῆς ἐρημώσεως
τὸ δρέπανον τῆς γῆς· καὶ ὅτι πληρωθήσεται τὴν δὲ Ἰλὴμ ἐπανόδου· καὶ

γὰρ ἐκεῖ κατὰ τὸ Χοβὰρ ὁ ὅσιος· καὶ πολλοὶ περὶ αὐτὸν συνῳκίζοντο· καὶ ποτὲ πλήθους
συνόντος αὐτοῦ· ἐδέησαν οἱ Χαλδαῖοι τοῖς Ἑβραίοις μὴ ἀναπαρῶσι· καὶ ἐ-
πῆλθον αὐτοῖς ἀναιρεῖν· ἐποίησεν δὲ ὁ προφήτης διαστῆναι τὸ ὕδωρ
ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν γενάμενοι· καὶ ὅσοι ἐτόλμησαν τῶν ἐχθρῶν
καταδιῶξαι κατεπόθησαν· οὗτος διὰ προσευχῆς αὐτομάτως δαψιλῆ
τροφὴν ἰχθύων τῷ λαῷ παρέσχετο· καὶ πολλοῖς ἐκλείπουσι ζωὴν ἐκ θεοῦ ἐλ-
θεῖν παρεσκεύασεν· οὗτος ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐχθρῶν
προσῆλθεν τοῖς Χαλδαίοις· καὶ σημεῖα ποιήσας ἔπαυσεν τοὺς πολε-
μίους· καταπλήξας αὐτοὺς οὕτως· ὅτε ἔλεγεν ὁ Ἰσραήλ· δι᾽ ἃ ἀπεγνώκα-
μεν· ἀπώλετο ἡ ἐλπὶς ἡμῶν· καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν
αὐτοὺς ἔπεισεν ὅτι ἔσται ἐλπὶς τῷ Ἰσραήλ· καὶ ὧδε καὶ ἐπὶ τοῦ μέλλοντος· οὗ-
τος ἐκεῖ ὢν τῷ λαῷ Ἰσραὴλ ἐδείκνυεν τὰ ἐν Ἱερουσαλήμ· κατὰ ταύτην τὴν ὥ-
ρας εἰς ἔλεγχον τῶν ἀπειθούντων θεῷ· οὗτος κατὰ τὸν Μωυσῆν εἶδεν τὸν τύπον
τοῦ ναοῦ· καὶ τὸ τεῖχος καὶ περίτειχος· καὶ τὴν πύλην ἐν ᾗ Κύριος εἰσελεύσεται· καὶ ἔσται
ἡ πύλη κεκλεισμένη· καὶ δι᾽ αὐτὸν ἐλπίσουσι πάντα τὰ ἔθνη· οὗτος ἔ-
κρινεν ἐν Βαβυλῶνι· τὴν φυλὴν Δὰν καὶ τοῦ Γάδ· ὅτι ἠσέβουν περὶ
Κύριον· διώκοντες τοὺς τὸν νόμον φυλάσσοντας· καὶ ἐποίησεν αὐτοῖς τέ-
ρας μέγα· ὅτι οἱ ὄφεις ἀνήλισκον τὰ κτήνη αὐτῶν πάντα διὰ τὴν
ἀσέβειαν αὐτῶν· καὶ προείρηκεν ὅτι δι᾽ αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς
τὴν γῆν αὐτοῦ· ἀλλ᾽ ἐν Μηδίᾳ ἔσονται· ἕως συντελείας πλάνης αὐτῶν· καὶ
ἐξ αὐτῶν ἦν ὁ ἀνελὼν αὐτόν· ἀντέκειντο γὰρ πάσας τὰς ἡμέρας τῆς
ζωῆς αὐτοῦ.

Δανιὴλ οὗτος ἦν ἐκ φυλῆς Ἰούδα· τῶν ἐξόχων τῆς ὑπηρεσίας τῆς βασιλικῆς·
ἀλλ᾽ ἔτι νήπιος ἤχθη ἐν τῇ αἰχμαλωσίᾳ ἐκ τῆς Ἰουδαίας εἰς τὴν Χαλδαίαν·
ἐγεννήθη δὲ ἐν Βεθωρὼν τὴν ἀνωτέραν· καὶ ἦν ἀνὴρ σώφρων· ὥστε δοκεῖν
τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα· πολλὰ ἐπένθησεν οὗτος ἐπὶ
τὸν λαὸν· καὶ ἐπὶ τὴν πόλιν Ἱερουσαλήμ· καὶ ἐν νηστείαις ἤσκησεν· ἐνεκρατεύ-
σατο δὲ ἀπὸ πάσης τροφῆς· σπέρματα ἐσθίων· καὶ ἦν ἀνὴρ ξηρὸς ὡς
σπανὸς τὴν ἰδέαν· ἀλλ᾽ ὡραῖος ἐν χάριτι ὑψίστου· οὗτος πολλὰ ηὔξατο
ὑπὲρ τοῦ Ναβουχοδονόσορ· παρακαλοῦντος αὐτὸν Βαλτάσαρ τοῦ υἱοῦ

αὐτοῦ· ὅτι ἐγένετο θηρίον καὶ κτῆνος· ἵνα μὴ ἀπόληται· ἦσαν γὰρ τὰ ἔμπρο-
σθεν αὐτοῦ ὡς βοὸς σὺν τῇ κεφαλῇ· καὶ οἱ πόδες σὺν τοῖς ὀπισθίοις λέοντος· ἀ-
πεκαλύφθη δὲ τῷ ὁσίῳ περὶ τοῦ μυστηρίου τούτου· ὅτι κτῆνος γέγονεν· διὰ τὴν
ἀλλότριον αὐτοῦ φιληδονίαν· καὶ σκληροτραχηλίαν· ὅτι ὡς βόες ὑπὸ ζυγὸν
γίνονται τοῦ Βελίαρ· λέοντες δὲ διὰ τὸ ἁρπακτικὸν καὶ τυραννικὸν καὶ θηριώ-
δες· ταῦτα ἔχουσιν οἱ δυνάσται ἐν νεότητι· ἐπὶ τέλει δὲ θηρία γίνονται·
ἄρχοντες καὶ ὀλοθρεύοντες ἀναιροῦντες τυραννοῦντες· ἀσεβοῦντες πα-
τάσσοντες· τὰς δὲ τούτων ἀμοιβὰς· διὰ τοῦ δικαιοκρίτου ἀπολαμβά-
νοντες· ἐσήμαινε διὰ θεοῦ ὁ ὅσιος ὅτι ὡς βοῦς ἤσθιεν χόρτον· καὶ ἐγένετο
ἀνθρωπίνης φύσεως ἡ τροφή· διὰ τοῦτο ὁ Ναβουχοδονόσορ· ἐν καρδίᾳ ἀναμιμνησκό-
μενος· μετὰ τὴν πέψιν τῆς τροφῆς ἔκλαιεν· καὶ ἠξίου Κύριον πᾶσαν ἡμέρ(αν)
καὶ νύκτα τεσσαρακοντάκις δεόμενος· ἐπέπιπτε δὲ αὐτῷ καὶ ἐλάνθανεν
ὅτι ἐγένετο ἄνθρωπος· ἤρθη ἡ γλῶσσα αὐτοῦ τοῦ μὴ λαλεῖν· καὶ νοῶν εὐθέως ἐδά-
κρυεν· καὶ οἱ ὀφθαλμοὶ ἦσαν ὡς νεκροὶ κρέα ἐκ τοῦ κλαίειν· πολλοὶ γὰρ ἐξιόν-
τες ἐθεώρουν αὐτὸν ἐκ τῆς πόλεως· ὁ δὲ Δανιὴλ οὐκ ἠθέλησεν ἰδεῖν αὐτόν· ὅ-
τι πάντα τὸν χρόνον τῆς ἀλλοιώσεως αὐτοῦ· ἐν προσευχῇ ἦν περὶ αὐτοῦ·
ἔλεγεν γὰρ ὅτι πάλιν ἄνθρωπος γενήσεται· καὶ ἠπίστουν αὐτόν· ὁ Δανιὴλ οὖν τὰ
ἑπτὰ ἔτη οὐ εἶπεν ἑπτὰ καιρούς· προσευχόμενος πρὸ τοῦ ... · ἐποί-
ησεν γενέσθαι ἑπτὰ μῆνας· καὶ τὸ μυστήριον τῶν ἑπτὰ καιρῶν ἐτελέσθη
ἐν αὐτῷ· καὶ ὅτι ἀποκατεστάθη ἐν ἑπτὰ μησί· τὰ ἓξ ἔτη καὶ μῆνας ἓξ·
ὑπέπιπτεν Κυρίῳ καὶ ὡμολόγει τὴν ἀσέβειαν αὐτοῦ· καὶ μετὰ τὴν ἄφεσιν τῆς ἀ-
νομίας αὐτοῦ· ἀπέδωκεν αὐτῷ τὴν βασιλείαν· καὶ οὔτε ἄρτον· οὔτε κρέας
ἔφαγεν οὔτε οἶνον ἔπιεν ἐξομολογούμενος τῷ Κυρίῳ· ὅτι Δανιὴλ αὐτῷ προ-
σέταξεν ὀσπρίοις βρεκτοῖς καὶ χλόαις ἐξιλεώσασθαι Κύριον· διὰ τοῦτο ἐκάλεσεν
αὐτὸν Βαλτάσαρ· ὅτι ἠθέλησεν αὐτὸν συγκληρονόμον ποιῆσαι τῶν τέκνων
αὐτοῦ· ὁ δὲ ὅσιος εἶπεν· ἵλεώς μοι ἀφιέναι κληρονομίαν τῶν πατέρων
μου· καὶ κληθῆναι με κληρονομίαις ἀπεριτμήτων· καὶ τοῖς ἄλλοις βασιλεῦσιν·
πολλὰ ἐποίησεν τεράστια ὅσα οὐκ ἐγράφη· ἐκεῖ ἀπέθανεν καὶ ἐτάφη ἐν τῷ
σπηλαίῳ τῷ βασιλικῷ μόνος ἐνδόξως· καὶ οὗτος ἔδωκεν τέρας ἐν τοῖς ὄρε-
σι τοῖς ὑπεράνω τῆς Βαβυλῶνος· ὅτι ὅταν ἐκκαπνισθήσεται τὸ ἐκ βορρᾶ

ἥξει τέλος Βαβυλώνων. ὅτε δὲ κατὰ ἁμαρτίαν ἀπολ. ἔδει καθαρὸν ἐξελάσαι· τὸ
πρόσθεν ἐστίγνωσται φανερῶς εἰς ὁ ἄδικος· καὶ ἀνομία τῆς γῆς δι' ἑαυτὸν ἀναδέξηται· ἐν
τῷ ἀμαρτωλῷ πιέζεσθαι αὐτὸν ὑπὸ τῶν ἱερέων τοῦ νόμου. εὐθέως δὲ
χαρὰν ἐκχυθήσεσθαι εἰς πάντα τὰ ἔθνη. ὅτε δὲ καὶ τὰ μόνον ἐν πυρὶ καίεσθαι·
τότε τὸ τέλος πάσης τῆς γῆς. ἂν δὲ ταῦτα ἐν τῷ μόνῳ ῥεύσῃ· ὅλως ἐστὶ παρ' ἑαυτὰ
εἰς τὴν γῆν αὐτοῦ· ἐὰν δὲ αἱ μαρανθῇ· φόνος ἔσται τῷ Βελίαρ ἐν πάσῃ τῇ γῇ·
καὶ ἐκοιμήθη ὁ θεὸς μετὰ τῶν προφητῶν +
Ὡσηέ· οὗτος ἦν ἐκ Βελεμὼθ τῆς φυλῆς Ἰσαχὰρ καὶ ἀπέθανεν· καὶ ἐτάφη ἐν τῇ γῇ αὐ-
τοῦ ἐν εἰρήνῃ· καὶ ἔδωκε τέρας ἥξειν κυρίου ἐπὶ τῆς γῆς ἂν οἷς ὡς ἄν ἀποσπασθήσεται· καὶ
ἡ δρῦς ἡ ἐν Σιλὼμ μερισθήσεται εἰς δώδεκα μέρη· καὶ ἐγένοντο δύο καὶ δέκα
δρύες· ἀκολουθοῦντος τοῦ ἐπὶ γῆς ὀφθέντος θεοῦ· καὶ δι' αὐτῶν σωθήσεσθαι πᾶσα ἡ γῆ +
Ἰωήλ· ἐκ τῆς γῆς τοῦ Ῥουβὶμ ἀγροῦ τοῦ Μεθεμόρων· προεφήτευσε περὶ λιμοῦ καὶ ἐκ-
λείψεως θυσιῶν καὶ πάθους προφήτου δικαίου· καὶ δι' αὐτοῦ ἀνακαινισθήσε-
σθαι τὴν κτίσιν εἰς σωτηρίαν· καὶ ἀπέθανεν ἐν εἰρήνῃ· καὶ ἐτάφη ἐν τῷ ἀγρῷ αὐτοῦ·
Ἀμώς· ἦν ἐκ Θεκουέ· καὶ Ἀμεσσίας πυκνῶς αὐτὸν τυμπανίσας· τέλος ἀνεῖ-
λεν αὐτὸν ξίφει· ἐπὶ δὲ ἔμπνεον ὄντος αὐτοῦ· ἐν ῥοπάλῳ πλήξας αὐτοῦ τὸν κρόταφον·
ἔτι ἔμπνεον ἦλθεν εἰς τὴν γῆν αὐτοῦ· καὶ μεθ' ἡμέρας δύο ἀπέθανεν καὶ ἐτάφη ἐκεῖ·
Ἀβδιού· ἦν ἐκ γῆς Συχὲμ ἀγροῦ Βηθαχαράμ· οὗτος ἦν ὁ τρίτος πεντηκόνταρχος
τοῦ Ἀχαάβ· καὶ δὲ ἐνθάδε τοῦ Ἠλία· ἐγένετο αὐτοῦ μαθητής· καὶ πολλὰ παθὼν δι' αὐτὸν· καὶ
ὑπομείνας διασώζεται· καὶ καταλιπὼν τὴν λειτουργίαν τοῦ βασιλέως· ἠ-
κολούθησε τῷ Ἠλίᾳ· καὶ ἐπροφήτευσεν· καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ·
Ἰωνᾶς ὁ προφήτης· οὗτος ἦν ἐκ γῆς Καριαθμαοὺμ πλησίον Ἀζώτου πόλε-
ως Ἑλλήνων κατὰ θάλασσαν· ἦν τότε Ἠλίας ὁ προφήτης· ἐλέγχων τὸν Ἀχαάβ βασιλέα
Σαμαρείας· καὶ ἐκάλεσεν λιμὸν μεγάλην ἐπὶ τῆς γῆς· ἔφυγεν ἐν τῇ ἐρήμῳ· καὶ ἐ-
τρέφετο ἐκ τῶν κοράκων τῆς ἐρήμου· καὶ ἔπιεν ὕδωρ ἐκ τοῦ χειμάρρου· καὶ
ὡς ἐξηράνθη ὁ χείμαρρος· ἐπῆλθεν ὁ προφήτης· καὶ ἦλθεν εἰς Σαρεφθά· καὶ εὗρε
τὴν χήραν μετὰ τοῦ υἱοῦ αὐτῆς Ἰωνᾶ· καὶ εὐλόγησεν αὐτὴν σῖτον καὶ ἐλαίῳ· καὶ ἔμει-
νεν μετ' αὐτῶν· οὐ γὰρ ἠδύνατο μένειν μετὰ ἀπεριτμήτων· καὶ θανόντα τὸν
υἱὸν αὐτῆς ἀνέστησεν ὁ θεὸς ἐκ νεκρῶν διὰ τοῦ Ἠλία· καὶ ἐγένετο μετὰ τὸν Ἰωνᾶν με-
τὰ ἐπέμφθη ὑπὸ κυρίου· εἰς Νινευὴ τὴν πόλιν Ἀσσυρίων· καὶ ἐζήτησεν ὁ Ἰωνᾶς

ποδρᾶσαι κύριον· καὶ κατεπόθη ὑπὸ τοῦ κήτους· καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους· ἐκή-
ρυξεν τὴν μετάνοιαν ἐν Νινευῇ· καὶ μετανοήσαντες οἱ ἄνδρες Νινευῆ καὶ ἐλεήθησαν
καὶ ἐλυπήθη Ἰωνᾶς· καὶ ἀναχωρήσας οὐκ ἔμεινεν εἰς τὴν γῆν αὐτοῦ· ἀλλὰ πα-
ραλαβὼν τὴν μητέρα αὐτοῦ· παρῴκησεν τὴν Σοὺρ· χώραν ἀλλοφύλων·
ἔλεγεν γὰρ ὅτι οὕτως ἀφελῶ τὸ ὄνειδός μου· ὅτι ἐψευσάμην προφητεύσας
κατὰ τὴν Νινευὴ τῆς μεγάλης πόλεως Ἀσσυρίων· ἠθέλησεν γὰρ ὁ θεὸς δεῖξαι
αὐτῷ· ὅτι οὐ δυνατὸν ἀποδρᾶσαι θεόν· καὶ κατοικήσας ἐν γῇ Σαάρ· ἀπέθα-
νεν καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ τοῦ Κενεζέου τοῦ κριτοῦ· οὗτός ἐστιν Ἰωνᾶς ὁ τε-
μοιμένος εἰς τύπον τῆς τοῦ κυρίου ἀναστάσεως· καὶ ἔδωκεν τέρας ἐπὶ Ἰσραὴλ
λέγων· ὅτι ὅτε ἴδωσιν ἐν Ἱερουσαλὴμ πολλὰ ἔθνη· ὅτι ἡ πόλις ἕως ἐδά-
φους ἀφανισθήσεται ὅλη·

Ναοὺμ ὁ προφήτης· οὗτος ἦν ἀπὸ Ἐλκεσεὶ πέραν τοῦ εἰς Βιγαβαράρ· φυλῆς Συμεών·
οὗτος μετὰ τὸν Ἰωνᾶν· τέρας δέδωκεν ἐν τῇ Νινευῇ· ὅτι ὑπὸ ὑδάτων γλυ-
κέων καὶ πυρὸς ὑπογείου ἀπολεῖται· ὃ καὶ γέγονεν· ἡ γὰρ περιέχουσα αὐτὴν
λίμνη· κατέκλυσεν αὐτὴν ἐν σεισμῷ· καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν
τὸ ὑψηλότερον αὐτῆς ἐνέπρησεν μέρος· ἀπέθανεν δὲ Ναοὺμ ἐν εἰρήνῃ
καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ +

Ἀβακοὺμ ὁ προφήτης· οὗτος ἦν ἐξ ἀγροῦ Βιζουχάρ· ἐκ φυλῆς Συμεών· οὗτος ἴδεν
πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ· καὶ ἐπένθησεν σφόδρα
ἐπὶ τὴν πόλιν καὶ τὸν λαόν· καὶ ὅτε ἦλθεν Ναβουχοδονόσορ εἰς Ἱερουσαλήμ· ἔφυ-
γεν Ἀμβακοὺμ εἰς Ὀστρακίνην καὶ ἦν πάροικος ἐν γῇ Ἰσμαήλ· ὡς δὲ ὑπέ-
στρεψαν οἱ Χαλδαῖοι ἀπὸ Ἱερουσαλὴμ εἰς τὴν γῆν αὐτῶν· λάφυρον μὲν αὐτὴν ποιή-
σαντες· καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ κατευνήσαν εἰς Αἴγυπτον· αὐτὸς
ἀνῆλθεν εἰς τὴν γῆν αὐτοῦ· καὶ ἐλειτούργει τοῖς θερισταῖς τοῦ ἀγροῦ αὐτοῦ· ὡς δὲ
ἔψησεν τὸ ἔδεσμα· ἐπροφήτευσεν τοῖς ἰδίοις εἰπών· πορεύομαι εἰς γῆν
μακρὰν καὶ ταχέως ἐλεύσομαι· εἰ δὲ βραδύνω· ἀπενέγκατε φαγεῖν τοῖς
θερισταῖς· καὶ γενόμενος ἐν Βαβυλῶνι· καὶ δοὺς τὸ ἄριστον τῷ Δανιὴλ εἰς
τὸν λάκκον τῶν λεόντων· ἐπιστὰς ἐπέστη τοῖς θερισταῖς ἐσθίου-
σιν· καὶ οὐδενὶ εἶπεν τὸ γενόμενον· εἶπεν δὲ μετὰ χρόνον· συνῆκεν ὅτι προ-
φήτης· ὅτι τάχιον ἐπιστρέψει ὁ λαὸς ἀπὸ Βαβυλῶνος· ἔδωκεν δὲ τέρας

τοῖς ἐν τῇ Ἰουδαίᾳ· ὅτι ὄψονται ἐν τῷ ναῷ φῶς μέγα· καὶ οὕτως εἴδωσι τὴν δό-
ξαν τοῦ ναοῦ· καὶ ἐπὶ συντελείας τοῦ ναοῦ εἶπεν· ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενή-
σεται ἡ πόρθησις τοῦ ναοῦ ἐν Ἱερουσαλήμ· τὸ τότε ἅπλωμα τοῦ δαβὴρ εἰς μικρὰ ῥαγή-
σεται· καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσονται· καὶ οὐδεὶς γνώσεται ποῦ
ἔσονται· αὐτὰ δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλων ὅπου ἐν ἀρχῇ
ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου· καὶ ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλει κύριος ὅτι φω-
τίσουσι τοὺς διωκομένους ὑπὸ τοῦ ὄφεως ὡς ἀπ᾽ ἀρχῆς· καὶ διασώσουσιν αὐ-
τοὺς κύριος ἐκ σκότους καὶ σκιᾶς θανάτου· καὶ ἔσονται ἐν σκηνῇ ἁγίᾳ. οὗτος ὁ προφήτης
ἐπὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ πολλὰ ἐπροφήτευσεν· καὶ πρὸ δύο ἐτῶν τῆς ἐπιστρο-
φῆς τοῦ λαοῦ τῆς ἀπὸ Βαβυλῶνος· ἔνθα καὶ ἐτάφη ἐν τῷ ἰδίῳ ἀγρῷ μόνος [illegible]

Σοφονίας ὁ προφήτης· οὗτος ἦν ἐκ φυλῆς Συμεὼν ἀπὸ ὄρους Σαβαραθᾶ· ἐπρο-
φήτευσεν δὲ περὶ τῆς πόλεως Ἱερουσαλὴμ καὶ περὶ τέλους ἐθνῶν καὶ αἰσχύνης ἀσε-
βῶν· καὶ περὶ τῆς παρουσίας τοῦ κυρίου· καὶ θανὼν ἐτάφη ἐν τῷ ἀγρῷ αὐτοῦ +

Ἀγγαῖος ὁ προφήτης· νέος ἦλθεν ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ· καὶ φανερῶς ἐπὶ τῆς ἐπιστρο-
φῆς τοῦ λαοῦ ἐπροφήτευσεν· καὶ εἶδεν τὴν οἰκοδομὴν τοῦ ναοῦ· καὶ αὐτὸς
ἔψαλλεν ἐκεῖ πρῶτος ἀλληλούια· καὶ ἐκεῖ ἔθανεν καὶ ἐτάφη πλησίον τοῦ
τάφου τῶν ἱερέων ἐνδόξως· καὶ ἐτιμᾶ ἀλληλούια Ἀγγαίου καὶ Ζαχαρίου +

Ζαχαρίας ὁ προφήτης· υἱὸς Βαραχίου· ἦλθεν ἀπὸ τῆς Χαλδαίων ἤδη προβε-
βηκώς· κἀκεῖ ὢν πολλὰ τῷ λαῷ ἐπροφήτευσεν καὶ τέρατα πολλὰ ἔδωκεν
εἰς ἀπόδειξιν· οὗτος εἶπεν τῷ Ἰωσεδέκ· ὅτι γεννήσει υἱὸν καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύ-
σει· οὗτος καὶ Σαλαθιὴλ ἐπὶ υἱῷ εὐλόγησεν· καὶ τὸ ὄνομα αὐτοῦ Ζοροβάβελ
ἐπέθηκεν· ἐπὶ Κύρου δὲ τοῦ βασιλέως Περσῶν· τέρας δέδωκεν εἰς νίκος
περὶ Κροίσου τοῦ Λυδίου· καὶ περὶ τῆς λατρείας αὐτοῦ προεφήτευσεν
ἣν ποιήσει ἐπὶ Ἱερουσαλήμ· καὶ εὐλόγησεν αὐτὸν σφόδρα· τὰ δὲ τῆς προφη-
τείας αὐτοῦ εἶδεν ἐν Ἱερουσαλήμ· καὶ περὶ τέλους ἐθνῶν καὶ τοῦ ναοῦ Ἱερουσαλήμ· καὶ ἀργίας προφη-
τῶν καὶ ἱερέων· καὶ διπλῆς κρίσεως ἐξέθετο· καὶ ἐκεῖ ἀπέθανεν ἐν γήρᾳ μακρῷ· καὶ
ἐτάφη σύνεγγυς Ἀγγαίου τοῦ προφήτου. ἀλληλούια Ἀγγαίου καὶ Ζαχαρίου εἶπεν
ὁ ὑμνικὸς προφήτης Δαυίδ· ἐν τοῖς τελευταίοις ψαλμοῖς· τουτέστιν·
αἰνεῖτε τὸν θεὸν ἐν ψαλμοῖς καὶ χοροῖς· ἐπὶ τῆς ἐπανόδου ἀπὸ Βαβυλῶνος +

μ Μαλαχίας ὁ προφήτης· οὗτος μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ· τίκτεται

ν σοφαί· καὶ ἐπὶ πάνυ μὲν καλὸν βίον ἔσχηκε· καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα
αὐτὸν ὡς ὅσιον καὶ πραΰν· ἐκάλεσαν αὐτὸν μαλαχί· ὃ ἑρμηνεύεται ἄγγελος·
ἦν γὰρ καὶ τὸ εἶδος πάνυ εὐπρεπής· ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς ἐν προφη-
τείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ἄγγελος κυρίου ὀφθεὶς ἐπεδευτέρωσεν· ὥσπερ ἐγένετο ἐν ἡμέραις
ἀναρχίας ὡς γέγραπται ἐν φαρφωθείμ· τουτέστιν ἐν βίβλῳ κριτῶν· καὶ
ἔτι νέος ἔθανεν· καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν τῷ ἀγρῷ αὐτοῦ ἐνδόξως·

ζαχαρίας ὁ υἱὸς ἰωδαὲ τοῦ ἱερέως· πατὴρ ἰωάννου τοῦ βαπτιστοῦ· τοῦτον ἀπέ-
κτεινεν ἡρώδης ὁ βασιλεὺς ἐχόμενα τοῦ θυσιαστηρίου· καὶ ἐξέχεεν τὸ αἷμα
αὐτοῦ· ἐν οἴκῳ κυρίου· οὕτως ἦν ἐξ ἱερουσαλήμ· ὁ οἶκος δαυῒδ ἀναμέσον τοῦ αἰλὰμ ἐν οἴ-
κῳ κυρίου· οὗτος ἦν ἐξ ἱερουσαλὴμ ὁ οἶκος· ἐκεῖ ἔθαψαν αὐτὸν μεταξὺ τοῦ θυσιαστηρί-
ου καὶ τοῦ οἴκου· μετὰ τοῦ πατρὸς αὐτοῦ ἰωδαέ· ἐκ τότε ἐγένοντο τέρατα τῷ
ἐν τῷ ναῷ καὶ φαντασίαι· καὶ οὐκ ἴσχυσαν οἱ ἱερεῖς ἰδεῖν οὐκέτι ὀπτασίας
ἀγγέλων· οὔτε δοῦναι χρησμοὺς ἐκ τοῦ δαβίρ· οὔτε ἐρωτῆσαι ἐν τῷ ἐφοὺδ
οὔτε διὰ τῶν δήλων ἀποκριθῆναι τῷ λαῷ ὥσπερ τὸ πρίν·

λίας ἦν θεσβίτης ἐκ γῆς ἀράβων· φυλῆς ἀρών· οἰκῶν ἐν γαλαάδ· ὅτι ἡ θεσ-
βὶ δόμα ἦν τοῖς ἱερεῦσιν· ὅτε δὲ ἔμελλε τεχθῆναι, εἶδεν σοβαχὰ ὁ πατὴρ αὐτοῦ,
ὅτι ἄνδρες λευκοφανεῖς αὐτὸν προσηγόρευον· καὶ ὅτι ἐν πυρὶ αὐτὸν ἐσπαργά-
νουν· καὶ φλόγα πυρὸς ἐδίδου αὐτῷ φαγεῖν· καὶ ἐλθὼν ἀνήγγειλεν ἐν ἱερουσαλήμ· καὶ
εἶπεν αὐτῷ ὁ χρησμός· ἔσται αὐτοῦ ἡ οἴκησις φῶς καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις· καὶ
ἡ ζωὴ αὐτοῦ μετὰ τῶν πετεινῶν· καὶ ὁ ζῆλος αὐτοῦ ἀρεστὸς ἐνώπιον κυρίου· καὶ κρινεῖ
τὸν ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ πυρί· καὶ ἀναληφθήσεται ἐν σεισμῷ ἐκ τῶν οὐρανῶν·

λισσαῖος ἦν ἐξ ἀβελμαοὺλ γῆς τοῦ ῥουβήν· καὶ ἐπὶ τούτου γέγονε τέρας· ἡνίκα ἐ-
τέχθη ἐν γαλγάλοις· ἡ δάμαλις ἡ χρυσῆ εἰς βεθὴλ ὀξὺ ἐβόησεν· ὥστε ἀ-
κουσθῆναι τὴν φωνὴν ἐν ἱερουσαλήμ· καὶ εἶπεν ὁ ἱερεὺς διὰ τῶν δήλων· ὅτι
προφήτης ἐτέχθη ἐν ἱερουσαλήμ· ὃς καθελεῖ τὰ γλυπτὰ αὐτῶν· καὶ τὰ χωνευτὰ αὐτῶν·
ἐτάφη ἐν σαμαρείᾳ·

ηλῶμ καὶ ἠλὶ· ἔνθα ἦν καὶ ἡ σκηνὴ τὸ πάλαι· σηλὼμ δὲ ἐκαλεῖτο· ὅθεν ἠλὶ ἐν ἀρ-
χῇ τῆς ἱερωσύνης· ἐπροφήτευσεν δὲ ἐπὶ σολομῶντος· ὅτι προσκρούσει
τῷ θεῷ διὰ τὰς γυναῖκας· ὅτι γυναῖκες ἐκκλινοῦσιν καὶ διαστρέψουσιν αὐ-
τὸν ἀπὸ κυρίου· καὶ ἅπαν τὸ γένος αὐτοῦ· καὶ περὶ τοῦ ἱεροβοὰμ εἶπεν ὅτι

ἀπὸ δόλου πορεύεσθαι μετὰ τοῦ κυρίου καὶ μετὰ Ἰσραήλ· καὶ ἀδελφὸς ζεῦγος βοῶν θηλειῶν κατα-
πατοῦντα τὸν λαόν· καὶ τῶν ἱερέων ἐπιτρέχονται· καὶ ὅτι παραβήσ-
εται ὁ Σολομὼν τὸν νόμον τοῦ θεοῦ· τοιαῦτα προεῖπεν Ἠλί· περὶ τοὺς
υἱοὺς αὐτοῦ ἱερατεῦσαι· καὶ αὐτὸς ἀπέθανεν ἐν γήρᾳ βαρυτάτῳ· οὐ καὶ ταφῇ
καὶ ἐτάφη σωμε πλησίον τῆς δρυὸς Σηλώμ·

Νάθαν ὁ προφήτης τοῦ Δαβὶδ ἐκ φυλῆς ἱεροσύνης ἦν· ἐγεννήθη δὲ ἐν Γαβαῷ· καὶ αὐ-
τὸς ἐδίδαξεν τὸν Δαβὶδ νόμον κυρίου· καὶ ἐνόησεν διὰ κυρίου· ὅτι ἐν Βηρσαβεὲ
παραβήσεται ὁ Δαβίδ· ἔσπευδεν τοῦ ἐλθεῖν καὶ ἀναγγεῖλαι αὐτῷ· ὥστε φυλά-
ξασθαι ἀπὸ τῆς ἀνομίας· καὶ ἐνεπόδισεν αὐτὸν ὁ Βελίαρ· ἐρχόμενος
γὰρ εἰς Ἱερουσαλήμ· εὗρεν νεκρὸν παρασκευασμένον γυμνόν· καὶ ἀποδύσαντες
τὴν πόλιν καὶ περιέβαλλον αὐτόν· ἐπέμενεν ἐκεῖ θάψαι τὸν νεκρόν· καὶ μὴ
φθάσας ἐλθεῖν πρὸς Δαβίδ· τῇ νυκτὶ ἐκείνῃ ἐποίησεν τὴν ἀνομίαν· καὶ ἐπὶ
τὸ πρὶν ὁ ὅσιος· ὑπέστρεψεν πενθῶν πάσας τὰς ἡμέρας· καὶ ὅτε ἀνεῖ-
λεν τὸν ἄνδρα αὐτῆς· ἀπέστειλεν αὐτὸν ὁ θεὸς ἐλέγξαι τὸν Δαβίδ· ἐπειδὴ δὲ
ἔβλεπεν ὁ θεὸς πενθοῦντα τὸν Νάθαν· ἔλεγεν γὰρ ὅτι δι' ἐμοῦ γέγονεν·
ἡ ἁμαρτία αὕτη· καὶ προσέσχεν κύριος ἐπὶ τὸν πενθισμὸν αὐτοῦ· καὶ εἶπεν πρὸς
αὐτόν· ἐπειδὴ δι' ἐμοῦ νομίζεις γεγενῆσθαι τὸ πρᾶγμα, δι' ἐμοῦ καὶ θεραπεία
γενήσεται· ἀπελθὼν οὖν ἔλεγξον αὐτόν· ἐπεὶ κεκρυμμένον καὶ αὐτός· πα-
μηκινήσας ἀπέθανεν· καὶ ἐτάφη εἰς τὴν γῆν αὐτοῦ ἐν Γαβαῷ·

Σύγγραμμα ἐκκλησιαστικὸν περὶ τῶν μαθητῶν τοῦ κυρίου· Δωροθέου
ἐπισκόπου Τύρου· ἀρχαίου ἀνδρὸς πνευματοφόρου· καὶ μάρτυρος γεγονότος ἐν τοῖς
καιροῖς Λικινίου καὶ Κωνσταντίνου τοῦ βασιλέως· περὶ τῶν ἑβδομήκοντα μαθητῶν·

Ὁ προλεχθεὶς ἀοίδιμος ἀνὴρ· καὶ συγγράμματα καταλέλοιπεν· ῥω-
μαϊκά τε καὶ ἑλληνικά· ἐπειδὴ περὶ ἑκατέραν φωνὴν τῶν γλωσσῶν ἔμπειρος
ὑπῆρχεν· γενόμενος δὲ καὶ πολυΐστωρ διὰ εὐφυΐαν· μετὰ τὴν τελευτὴν Διο-
κλητιανοῦ καὶ Λικιννίου· κατέλαβεν καὶ αὐτὸς τὴν ἰδίαν παροικίαν· καὶ ἦν
ἰθύνων τὴν ἐν Τύρῳ ἐκκλησίαν· μέχρι Ἰουλιανοῦ τοῦ τυράννου· καὶ ἐπειδὴ ἀπ-
οὐκ αὐτοφανῶς· ἀλλὰ κρυπτῶς διὰ τὸν ἄρχοντα· τὸν Ἰουλιανὸς ἀνῄρει
τοὺς χριστιανούς· πάλιν ὁ Δωρόθεος κατέλαβεν τὴν Ὀδυσσούπολιν· ἐν

† φιλο[illegible] κ(αὶ) μ[illegible]

θαι καὶ συσχεθεὶς δὲ ὑπὸ τῶν Ἰουλιανοῦ ἀρχόντων· καὶ πολλοῖς αἰκισμοῖς ὑπομείνας ἐν βα-
θυτάτῳ γήρᾳ διὰ τὴν δὲ Χριστοῦ ὁμολογίαν ταῖς βασάνοις ἐναπέθανεν· ἑκατὸν καὶ ἑ-
πτὰ ἐτῶν ἤδη τυχών· οὗτος τοίνυν ὁ μέγας πρεσβύτης· καὶ συγγράμματα
πολλὰ ἐκκλησιαστικὰ καταλέλοιπεν· ἐν οἷς καὶ τὰ περὶ τῶν ο΄ μαθητῶν
τοῦ Χριστοῦ ἱστόρησεν· καὶ ἐνθάδε καθεξῆς τῶν προφητῶν καὶ ἀποστόλων τὸν βίον ἐτέλεσεν·
ἐν προφ(ήταις) τοῖς μὲν τοῖς ο΄ ἐκ [illegible]· ὧν οἱ πλείους καὶ ἐπίσκοποι ἐν δι-
αφόροις παροικίαις ἐγένοντο· ὧν καὶ ὁ θεῖος ἀπόστολος ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ
μέμνηται· μάλιστα δὲ τῶν [illegible] ἐκ [illegible]· πάντας αὐτοῖς ἐπι-
τρεπτέας ἡγεμονίας· καὶ ἐν τοῖς ἀποστόλοις [illegible]· ὧν καὶ τὰς ἐπωνυμίας ὑ-
ποτέτακται· οὕτως ἐπισημαίνεται λέγων· α΄ Ἰάκωβος ὁ ἀδελφὸς τοῦ κυρίου· καὶ
πρῶτος ἐπίσκοπος Ἱεροσολύμων· ὑπ' αὐτοῦ τοῦ κυρίου γενόμενος·
Κλεόπας ἀνεψιὸς τοῦ κυρίου, καὶ δεύτερος ἐπίσκοπος Ἱεροσολύμων· ὃς εἶδεν β
αὐτὸν μετὰ τὸ ἀναστῆναι ἐκ νεκρῶν· γ΄ Ματθίας ὁ ἀποπληρώσας τὸν
ἀριθμὸν τῶν δώδεκα ἀποστόλων· δ΄ Θαδδαῖος ὁ τὴν ἐπιστολὴν Αὐγάρῳ
τοπάρχῃ ἀποκομίσας ἐν Ἐδέσσῃ καὶ ἰασάμενος αὐτοῦ τὸ πάθος·
Ἀνανίας ὁ βαπτίσας τὸν ἅγιον Παῦλον· καὶ Δαμασκοῦ μετέπειτα γεγονὼς ε
ἐπίσκοπος· ϛ΄ Στέφανος ὁ πρωτομάρτυς· ὁ δὲ τῶν ἐκλελεγμένων
ὑπὸ τῶν δώδεκα ἀποστόλων εἰς διακονίαν·
Φίλιππος· ὁ δὲ τῶν ἑπτά· ὁ καὶ Σίμωνα καὶ τὸν εὐνοῦχον βαπτίσας· καὶ ἐν Τρ- ζ
αλλεσιν τῆς Ἀσίας· γεγονὼς ἐπίσκοπος· Πρόχορος δὲ τῶν ἑπτά· καὶ ἐπίσ- η
κοπος Νικομηδείας τῆς Βιθυνίας γενόμενος·
Νικάνωρ· ὁ δὲ τῶν ἑπτά· ὃς κατ' αὐτὴν τὴν ἡμέραν ἀπέθανεν· καθ' ἣν ὁ ἅγιος θ
Στέφανος· σὺν δισχιλίοις ἄλλοις τῶν ἠλπικότων δὲ Χριστόν·
Τίμων ὁ δὲ τῶν ἑπτά· ὃς ἐπίσκοπος Βόστρης τῆς Ἀραβίας γενόμενος ἐκαύ- ι
θη ὑπὸ τῶν Ἑλλήνων· Παρμενᾶς ὁ δὲ τῶν ἑπτά· ὃς ἐπ' ὀφθαλμοῖς τῶν ια
ἀποστόλων ἀπέθανεν· ἐν τῇ διακονίᾳ αὐτοῦ·
Νικόλαος ὁ δὲ τῶν ἑπτά· ἐπίσκοπος Σαμαρείας γενόμενος ἐπ' [illegible] ἅμα τῷ Σίμωνι· ιβ
Βαρνάβας ὁ μετὰ Παύλου τοῦ λόγου διακονήσας· πρῶτος ἐν Ῥώμῃ τὸν Χριστὸν ιγ
ἐκήρυξεν· ἐπίσκοπος Μεδιολάνου μετέπειτα γεγονώς·
Μάρκος· ὃς ὑπὸ Πέτρου τοῦ ἀποστόλου ἐπίσκοπος Ἀλεξανδρείας ἐγένετο καὶ [illegible]· ιδ

ιε Σύλας ὁ σὺν τῷ Παύλῳ τὸν λόγον διακονήσας, ἐν Κορίνθῳ ἐπίσκοπος γεγονώς.
ις Λουκᾶς ὁ κατὰ πᾶσαν τὴν γῆν τὸ εὐαγγέλιον σὺν τῷ Παύλῳ ἐκήρυξεν.
ιζ Σιλουανὸς ὁ σὺν τῷ Παύλῳ τὸν λόγον διακονήσας, Θεσσαλονίκης ἐπίσκοπος γεγονώς.
ιη Κρήσκης, οὗ μέμνηται ὁ ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ ἐπιστολῇ,
ὃς καὶ ἐπίσκοπος Χαλκηδόνος τῆς ἐν Γαλλίᾳ ἐγένετο.
ιθ Ἀνδρόνικος, οὗ ὁ ἀπόστολος μέμνηται ἐν πρὸς Ῥωμαίους, ὃς καὶ ἐπίσκοπος Σπανίας ἐγένετο.
κ Ἀμπλίας, οὗ καὶ αὐτοῦ μέμνηται πρὸς Ῥωμαίους, ὃς καὶ ἐπίσκοπος Ὀδυσσοῦ ἐγένετο.
κα Ἐπαίνετος, οὗ ὁ ἀπόστολος μέμνηται ἐν πρὸς Ῥωμαίους, ὃς καὶ ἐπίσκοπος Καρθαγένης τῆς ἐν Γαλλίᾳ ἐγένετο.
κβ Οὐρβανός, οὗ καὶ αὐτοῦ ἐκ τῆς πρὸς Ῥωμαίους μέμνηται, ἐπίσκοπος Μακεδονίας ἐγένετο.
κγ Στάχυς, οὗ καὶ αὐτοῦ ἐν τοῖς πρὸς Ῥωμαίους, ὃν καὶ Ἀνδρέας ὁ ἀπόστολος τὴν Ποντικὴν θάλασσαν διαπλέ-
ων ἐν Ἀργυροπόλει τῆς Θρᾴκης ἐπίσκοπον Βυζαντίου κατέστησεν.
κδ Ἀπελλῆς, οὗ καὶ αὐτοῦ ἐν τοῖς πρὸς Ῥωμαίους, ὃς καὶ αὐτὸς ἐπίσκοπος Ἡρακλείας ἐγένετο.
κε Φύγελλος πασίμων φερμῆσαι· ἐπίσκοπος Ἐφέσου ἐγένετο.
κς Ἑρμογένης, ὃς ἐν Μεγάροις καὶ αὐτὸς κατέστη ἐπίσκοπος.
κζ Δημᾶς, οὗ ὁ ἀπόστολος μνημονεύει ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ ἐπιστολῇ· ὅτι ἐπεὶ περδο-
ξήσαντο Φύγελος καὶ Ἑρμογένης, ἀντέστησαν τῇ διδασκαλίᾳ αὐτοῦ· ὁ δὲ
Δημᾶς ἀγαπήσας τὸν νῦν αἰῶνα, κατέλιπεν τὸν εὐαγγελικὸν λόγον· καὶ ἐν
Θεσσαλονίκῃ ἱερεὺς τῶν εἰδώλων ἐγένετο· περὶ οὗ καὶ Ἰωάννης ὁ ἀπόστολος ἔγραφεν· ἐξ ἡ-
μῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν.
κη Ἀπελλῆς, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται ὁ ἀπόστολος, ὃς καὶ αὐτὸς Σμύρνης ἐπίσ-
κοπος γέγονεν πρὸ τοῦ ἁγίου Πολυκάρπου.
κθ Ἀριστόβουλος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους μέμνηται, ὃς Βρετανίας ἐπίσκοπος γέγονε.
λ Νάρκισσος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους, ὃς καὶ αὐτὸς ἐπίσκοπος Ἀθηνῶν γέγονεν.
λα Ἡρωδίων, οὗ καὶ αὐτοῦ μέμνηται πρὸς Ῥωμαίους, ὃς καὶ ἐπίσκοπος Πάτρας ἐγένετο.
λβ Ἄγαβος, ὁ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων μνημονευόμενος, ὃς καὶ προφητικῷ χαρίσματι ἠξιώθη.
λγ Ῥοῦφος, οὗ καὶ αὐτοῦ ἐν πρὸς Ῥωμαίους, ὃς καὶ αὐτὸς ἐπίσκοπος Θηβῶν ἐγένετο.
λδ Ἀσύγκριτος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους, ἐπίσκοπος Ὑρκανίας ἐγένετο.
λε Φλέγων, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους, ἐπίσκοπος Μαραθῶνος ἐγένετο.
λς Ἑρμῆς, οὗ καὶ αὐτοῦ ἐν πρὸς Ῥωμαίους, ἐπίσκοπος Δαλματίας γέγονεν.
λζ Πατρόβας, οὗ ὁ ἀπόστολος μέμνηται, ἐπίσκοπος ἐν Ποτιόλοις γέγονεν.

ρμᾶς· οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους· ἐπίσκοπος Φιλιππουπόλεως γέγονεν· λη

ινος, ὁ μετὰ τὸν Πέτρον τὸν ἀπόστολον· Ῥώμης ἐπίσκοπος γενόμενος· λθ

άϊος· οὗ ὁ ἀπόστολος μέμνηται· ὃς ἐπίσκοπος Ἐφέσου ἐγένετο· μετὰ Τιμόθεον τὸν μαθητὴν Παύλου· μ

ιλόλογος· οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται· ὃς ἐπίσκοπος γέγονεν· ὑπὸ Ἀνδρέου ἀποστόλου ἐν Σινώπῃ· μα

λυμπᾶς· Ῥοδίων· οὗ καὶ αὐτῶν ὁ ἀπόστολος μέμνηται· οἳ καὶ ἐν Ῥώμῃ ἅμα Πέτρῳ μβ
ὑπὸ Νέρωνος τὰς κεφαλὰς ἀπετμήθησαν·

ούκιος· οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους· ὃς καὶ ἐπίσκοπος ἐν Λαοδικείᾳ τῆς Συρίας ἐγένετο· μγ

άσων· οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους· ὃς καὶ ἐπίσκοπος Ταρσοῦ ἐγένετο· μδ

ωσίπατρος· οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους· ὃς καὶ ἐπίσκοπος Ἰκονίου ἐγένετο· με

ραστος· οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ αὐτῇ ἐπιστολῇ· ὃς καὶ οἰκονόμος τοῖς ἐν Ἱεροσο- μϛ
λύμοις ἐκκλησίας γενόμενος· καὶ ἐπίσκοπος μετέπειτα Πανεάδος·

Τέρτιος· ὃς καὶ τὴν πρὸς Ῥωμαίους γεγραφὼς ἐπιστολήν· ὃς δεύτερος ἐπίσκοπος τοῦ Ἰκονίου ἐγένετο· μζ

Κούαρτος· καὶ αὐτοῦ μέμνηται ἐν ἐπιστολῇ· ὃς ἐπίσκοπος Βηρυτοῦ ἐγένετο· μη

Ἀπολλῶς· οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Κορινθίους μέμνηται· ὃς ἐπίσκοπος Καισαρείας γέγονεν· μθ

Κηφᾶς· οὗ ὁ ἀπόστολος Παῦλος ἐναντίον Χριστοῦ ἤλεγξεν· ὃς καὶ ἐπίσκοπος Κονίου ἐγένετο· ν

Σωσθένης· οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται· ὃς καὶ ἐπίσκοπος Κολοφῶνος ἐγένετο· να

Τυχικός· οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται· ἐπίσκοπος Ἀνδριακῆς γενόμενος· νβ

Ἐπαφρόδιτος· οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται· ὃς ἐπίσκοπος Ἀνδριακῆς γενόμενος· νγ

Καῖσαρ· οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος· ἐπίσκοπος τοῦ Δερραχίου γενόμενος· νδ

Μάρκος· ὁ ἀνεψιὸς Βαρνάβα· οὗ καὶ αὐτοῦ μέμνηται· ἐπίσκοπος Ἀπολλωνιάδος γέγονεν· νε

Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος· οὗ καὶ αὐτοῦ μέμνηται ἐν ταῖς πράξεσιν· ἐπίσκοπος Ἐλευθεροπόλεως γέγονεν· νϛ

Ἀρτεμᾶς· ὃς καὶ αὐτοῦ μέμνηται· ἐπίσκοπος γέγονε Λύστρης νζ

Κλήμης· οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος λέγων· μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνερ- νη
γῶν μου· ὃς καὶ πρῶτος ἐξ ἐθνῶν Ἑλλήνων ἐπίστευσε διὰ Χριστοῦ· ἐπίσκοπος Σαρδικῆς γέγονεν·

Ὀνησίφορος· οὗ καὶ αὐτοῦ μέμνηται ὁ ἀπόστολος· ἐπίσκοπος Κορωνείας ἐγένετο· νθ

Τυχικός· καὶ αὐτοῦ μέμνηται· ὃς ἐπίσκοπος τῆς Χαλκηδόνος τῆς Βιθυνίας ἐγένετο· ξ

Κάρπος· οὗ καὶ αὐτοῦ μέμνηται· ὃς καὶ Βερροίας τῆς Θρᾴκης ἐπίσκοπος γέγονεν· ξα

Εὔοδος· μετὰ τὸν Πέτρον τὸν ἀπόστολον· ἐπίσκοπος γενόμενος Ἀντιοχείας· οὗ καὶ αὐτοῦ μέμνηται· ξβ

Ἀρίσταρχος· καὶ αὐτοῦ μέμνηται· ἐπίσκοπος Ἀπαμείας γενόμενος τῆς Συρίας ξγ

Κάρκος ὁ καὶ Ἰωάννης καλούμενος· οὗ ὁ Λουκᾶς ἐν ταῖς πράξεσι μέμνηται· ἐπίσκοπος Βύβλου γέγονεν ξδ

ξα Ζηνᾶς ὁ νομικός· οὗ καὶ αὐτοῦ ὁ ἀπόστολος μέμνηται· ἐπίσκοπος Διοσπόλεως γέγονεν·
ξβ Φιλήμων πρὸς ὃν ἐπιστολὰς ἔγραψεν· ὃς καὶ ἐπίσκοπος Γάζης γέγονεν·
ξγ Ἠλειας (?) χ(ριστο)ῦ [illegible] ποῦ δῆλος ὁ ἀπ(όστολος) φημ(ί)· οὗτοι οἱ [illegible] ἐν πᾶσι τοῖς διωγμοῖς τοῦ
ἀποστόλου συγκακοπαθήσαντες· τέλος ἐν Ῥώμῃ σὺν τῷ ἀποστόλῳ ὑπὸ Νέρωνος τοῦ βα-
σιλέως τὰς κεφαλὰς ἀπετμήθησαν:~

Ταῦτα ὁ τρισμακάριστος καὶ πανόλβιος Δωρόθεος ὁ ἐν Ῥώμῃ (?) γενόμενος· δι-
ὰ Ῥωμαϊκῆς διαλέκτου ἐν ὑπομνήμασι καταλέλοιπεν· ἐξ ὧν καὶ ἡμεῖς
ἑρμηνεύσαμεν· καὶ πρὸς τὴν Ἑλλάδα φωνὴν μεθερμηνεύσαντες· ἐμφανῆ
τοῖς πᾶσι πεποιήκαμεν· τὴν τῶν μαθητῶν ἑκάστου ἱστορίαν· καὶ ἀληθῆ αὐτὴν
καταλαβόμενοι καὶ παρὰ τοῦ ἀποστόλου γραφῶν περὶ αὐτῶν λέγειν· ὅτι καὶ πρὸ ἡμῶν ὀνο-
μάσιν ἐγκώμιον (?)· καὶ οὐκ ἂν ἀπιστοίη τις λογισάμενος τὴν μετ' αὐτῶν ἀρετὰς (?) τοῦ Χ(ριστο)ῦ·
ἐπιφέρεται τούτῳ ὃ καὶ πιστεῦσαι εἰς αὐτόν· θεωρήσαντα τὴν ἀρετὴν τὴν ἐκκλη-
σιαστικὴν (?)· ὅπως ἐπὶ πάντων θαυμάτων ὑπῆρξεν καὶ ἔστιν· οὗτος τοίνυν ὁ μέγας ἀρχιε-
ρεὺς Δωρόθεος· διηγήσατο ἐγγράφως· ὅτι ὑπὲρ τοῦ οἶκος τῆς Καλλινίκου (?)
καὶ [illegible] μάρτυρος φημί· ἐν τῷ ὑπὲρ [illegible]· ὑπό τινων τινῶν ἐκπεσθηναι (?) ὑπὲρ
τῆς· ὁ καὶ ἐπίσκοπος γεγονὼς ἐπίσκοπος τοῦ Βυζαντίου· καὶ τελειωθεὶς ἐν αὐτῇ· ἐ-
τέθη πλησίον τῶν πάλαι τάφων· ὡς ὅτε ἂν ὁ ἀπόστολος καὶ τοῖς τόποις ἐπέστη
καὶ πολλὰ πλήθη χριστιανῶν· παρ' αὐτῷ συντρέχειν παρεσκεύασεν· ὡς μηκέτι το-
σούτους ἐν ἄλλοις τόποις εὑρίσκεσθαι· ἅπαντες γὰρ οἱ τοῦ Βυζαντίου
ἐπίσκοποι· διδάσκαλοι καὶ ὑπομονητικοὶ γενόμενοι· διὰ τὴν ἀπάνθρωπον φρόνησιν (?)
τῶν μὲν τυραννικῶν ἀπέφυγον ἀπ' ἀλλήλων· τοῖς δὲ ἐξ ἐθνῶν ἐξ Ἰουδαϊσμοῦ·
τὸν ἐν θεῷ ἐπέπεισαν λογισμόν· καὶ μάλιστα τοῦ τι τοῦ θαυματουργεῖν ἐπιτελοῦν-
τος· οἱ ἀπεστειλ (?) καὶ ὅσα ἠρέμα ἐπετέλεσεν· ἐπὶ καὶ τῆς τυραννίδος Λικινίου καὶ Διοκλητιανοῦ
κρατούσης· ἐν τῇ ὑποθέσει ταύτῃ· ἀναιρεῖται καιρὸν βασιλεὺς καὶ οἱ τούτου δύο
υἱοί· Καρῖνος· καὶ Νουμεριανός· λοιπὸν ἐν μαδία (?) οἱ τύραννοι γενόμενοι·
ἀναιδέστερος πρὸς τὰς τιμωρίας τῶν χριστιανῶν ηὐτομόλουν· καὶ χιλιάδες
τὸ καθ' ἡμέραν ἐκ τούτων ἀνῃροῦντο· μεθ' ὧν Ἀδριανὸς ὁ τοῦ Σεβήρου υἱὸς
θανάτου ἐπεσύνδεν (?)· γενόμενος γὰρ ἐν τῇ Νικομηδέων πόλει· μετὰ τὴν Κάρου
ἀναίρεσιν· καὶ ἰδὼν τὰ πλήθη τῶν χριστιανῶν· ὑπὸ Λικινίου ἀναιδῶς ἀναιρούμενα

† φιλα γ. κμισω.

προσελθὼν πρὸ τοῦ βήματος ἔλεγεν τῷ Λικινίῳ· διατί οὕτως ἀναιδῶς τὸ θερα-
πευμάτων ὑμῶν ἀναιρεῖται· καὶ ἰδοὺ τὰ πλήθη τῶν ὑμετέρων· βάρβαροι
κατέχουσιν· ὁ δὲ Λικίνιος πρὸς αὐτόν· μὴ καὶ σὺ Χριστιανὸς εἶ· ὁ δὲ Ἀδριανὸς πρὸς
αὐτόν· καὶ μὴν εὔχομαι ἐν τῇ ὁμολογίᾳ ταύτῃ τελειωθῆναι· ἢ τὸ ἀρνήσασθαι
τὸν Χριστόν· Λικίνιος δὲ [illegible] βασάνοις πολλαῖς καθυποσείσας (?) καὶ ἐπαγγελί(ας)
πρὸς αὐτὸν προσήγαγεν· ὡς δὲ ἑώρα αὐτὸν τῇ τοῦ Χριστοῦ ὁμολογίᾳ ἐμμένοντα (?)
θυμομαχήσας κατ' αὐτοῦ· ἐκέλευσεν τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι· τοῦ
δὲ ἐν τῇ ὁμολογίᾳ ταύτῃ τελειωθέντος· ὁ μὲν προφανῶς (?) Τιμόθεος· ἄρτι τῆς ἐπισ-
κοπῆς ἐναρξάμενος· ἅμα τοῖς συνοῦσιν αὐτῷ· καταλαβὼν (?) τὴν Νικομή(δειαν)
καὶ ὑποκλέψας αὐτοῦ τοῦ καλλινίκου μάρτυρος Ἀδριανοῦ λείψανον· ἀπεκόμισεν
αὐτὸ καὶ ἀπέθετο ἐν τῇ προφανεῖ τῇ αὐτοῖς ὑπαρξάσῃ ἐκκλησίᾳ τῇ ἀκμαζούσῃ πλη-
σίον τοῦ Βυζαντίου· ἐπιλεγομένῃ Ἀργυροπόλεως· ἔνθα καὶ ὁ τίτος (?) προφ-
τος ἡγησάμενος· ἐπισκοπῆς Κωνσταντινουπόλεως ἀπέθετο τὸ λείψανον·
Ἀδριανοῦ τοῦ ἐπὶ Μαξιμιανοῦ μαρτυρήσαντος· καὶ Ναταλίαν τὴν τούτου
γυναῖκα· καὶ ἑτέρους τοὺς σὺν αὐτῷ μαρτυρήσαντας· ὅπου καὶ τὰ λείψανα
ἀπέκειτο· Στάχυος τοῦ ἑνὸς τῶν ο' μαθητῶν· ὃς ὑπὸ Ἀνδρέου τοῦ ἀποστόλου ἐν τῷ αὐτόθι
τόπῳ· πρῶτος ἐπίσκοπος τοῦ Βυζαντίου κατέστη· ὅτε γὰρ Ἀνδρέας ἐπὶ τὸν τόπον τοῦ-
τον διαπεραιούμενος· ἤθελεν τοῖς ἐν τῷ Βυζαντίῳ τὸν Χριστὸν καταγγέλλειν· ἀλλ' ἐπειδὴ
ὑπὲρ Ζεύξιππος· ὁ τὸν τόπον τότε ἡγεμονεύων· αἱμοβόρος τις ὤν· πάντας
τοὺς προσβάλλοντας ξένους τῷ Βυζαντίῳ· πρότερον διεχειρίζετο μόνος (?) τῆς
τελετῆς Χριστοῦ· ἄθεος οὕτως ἀσεβὴς ὢν τῇ χώρᾳ (?)· καὶ ἐάν τις ὁμολογήσειεν τὸν Χριστὸν· εἰ δὲ
τοῦτον εὐθὺς καὶ παραυτὰ δεσμεύων τὰς ὁδοὺς πάσας χερσὶ (?)· θάλαττα (?) θανατοῦσθαι πρὸ-
ἔταττεν· διατὴν τοιαύτην οὖν ὠμότητα· παραπλεύσας ὁ Ἀνδρέας τὸ Βυζάν-
τιον· κατῴκησεν ἐπὶ δύο ἔτη χρόνον πλησίον τοῦ Βυζαντίου· ἐν τῷ θρακῷ (?)
ὠνομασμένῳ (?)· ὡς ἀπὸ σταδίου ἑνὸς τῆς Ἀργυροπόλεως· ἐκεῖ ἐπισυνάγων τοὺς μὲν
θέσμους (?) καὶ φιλαλήθως ἀνδρῶν ποιούμενος· ὡς ὅσον ὑπὲρ τοὺς δισχιλίους·
ἐπισυνάξας τῷ Χριστῷ· θυσιαστήριον ἱδρύσας ἐν τῇ Ἀργυροπόλει καὶ τὸν Στά-
χυν ἐπίσκοπον καταστήσας· ἀφωσίωσεν (?) τῆς ποίμνης τοῦ μεθήκαντα (?)· τοῦ δὲ Στά-
χυος διαγενομένου τοῖς αὐτοῦ ἓξ καὶ δέκα τὸν ἔτος ἐν τῇ ἐπισκοπῇ· Ὀνήσι-
μος μετὰ τοῦτον γίνεται· τελευτῶντος ἄλλος ὁ ἀπὸ τοῦ Φιλήμονος γέγραφεν· καὶ τού-
του δὲ τέσσαρα καὶ δέκα τὸν ἔτος διανύσαντος ἐν τῇ λειτουργίᾳ· Πολύ-

καρπος μετὰ τοῦτον τρίετη τὴν ἐπισκοπὴν τοῦ Βυζαντίου καθίσταται· διαγενομέ-
νου δὲ καὶ τούτου δέκα πρὸς τοῖς ὀκτὼ ἔτεσιν· Πλούταρχος μετ' ἐπέρχεται τῇ
ἱερωσύνῃ· καὶ αὐτοῦ δὲ διανύσαντος ἔτη· ϛ' καὶ δέκα Σεδεκίων διάδοχος αὐτοῦ καθ-
ίσταται· ἐπὶ ἐννέα τινὰ χρόνον· μεθ' ὃν Διογένης ἐν ἔτεσι ιε' τὴν ἱερατείαν
προσνείμας τελευτᾷ· μετὰ δὲ τοῦτον Ἐλευθέριος ἐπὶ ἑπτὰ ἔτη χρόνον
μεθ' ὃν Φῆλιξ ἐπὶ πέμπτου ἔτους· καὶ μετὰ τοῦτον Πολύκαρπος ἕως τῶν μι-
ἔνθα ποιμαίνων· ἀπὸ τούτων ὁ σῶμα αὐτοῦ ἀπετέθη λιθίνῳ σηκῷ· ἐκάλει τὸ τῆς Ματα-
λίσσου ἀπετέθη καὶ Ἀδριανοῦ τούτου μετ' ἐπιθέσθαι μαρτυρήσαντος· ἐν δὲ τῷ
ἐπέρφλαρμακι· ἐξ ἀθάσποτε ποιηθέντι· τῶν δὲ καθ' ἑτέρων μαρτύ-
ρων ταῦτα ἀνέβαλεν· οὐδὲ μόλις διὰ ἰδίων πλαρμάκων καθ' ἑαυτοῦ· ἀπετέθη καὶ Ἀ-
δριανὸς ὁ Ματταλίας ἀνήρ· καὶ μέχρι τῆς διαφορᾶς ἐμφανῶς τῷ πρὸ καιροῦ ἐν τοῦ
ποταμοῦ πηλῷ· ἔνθα ὁ ἀπ' ἀνδρῶν τὸ θυσιαστήριον ἵδρυσεν· ἤδη δὲ
πλήθους ἱκανοῦ συναθροισθέντος τῶν ἐς τὸν Χριστὸν ἐληλυθότων· παυσα-
μένης δὲ τῆς τυραννίδος τοῦ Βυζαντίου· μετὰ τὴν ... ἐλάττην
ἐγκεφαλὰς πέντε τὸ πρὸ τῶν πολλῶν ὁμιλούμενοι· οἱ τῆς ἐν Ἀργυροπόλει ἐκ-
κλησίας προεστῶτες· τὴν τῶν πολλῶν ὄχλησιν· καὶ τὴν τῶν Ἑλλήνων ἔμφρο-
προσβολὴν ἐκφυγεῖν βουλόμενοι· ἐν τοῖς μεσογαίοις πλησίον τῆς Ἀργυ-
ροπόλεως· ἐκκλησίαν ἄλλην ἀνεγείρουσιν· ἣν καθ' ἡμᾶς ὕστερον ὁ μέγας βασιλεὺς
μετ' ἐπιφανῶν μείζονα περιφανῶς πεποίηκεν· ... αὐτὴν ... βου-
λόμενος καὶ τὸ αὐτοῦ σῶμα ἐκεῖσε κατατεθῆναι· ἀλλ' ἐπεὶ δῆλοι τῶν τοῦ
Βυζαντίου ... ἐβούλευσαν οἱ σώζοντες τοῦ καθ' ... μὴ δ' ἂν
ἔξωθεν τῆς πόλεως σῶμα ἀποκομίζεσθαι· τούτου χάριν ἕτερος μὲν
τόπος· ἐς ταφὴν τῶν βασιλέων ἐγένετο· ὁ δὲ εἰρημένος οἶκος ἀφιερωθεὶς τοῖς
ἐν τῷ μονομάχῳ καρτερικοῖς καὶ θεοφροσύνῃ ἐπαίνοις· καὶ Ἐλεάζαρ ὁ τῶν ἀρχι-
ερέων· τὴν ἀρχαίαν ἐπωνυμίαν τῶν τόπων ὁ οἶκος κληρωσάμενος· Ἐλαί-
ας ἐξ ἀρχαίων τῶν χρόνων ὁ τόπος ἐπικέκληται· ὃν περ βακτήριον
οἶκον· Ἀθηνόδωρος ὁ μετὰ Πολύκαρπον ἐπίσκοπος γενόμενος· περιφανῶς
ἐν ... ἐκ ... τὴν ἐπισκοπὴν· διανύσας ἐν ἔτεσι τέσσαρσι· μεθ' ὃν ἐν
τοῖς αὐτοῦ· ἐν δὲ καὶ τὸ ἐπισκοπῆς τοῦ Βυζαντίου καθίσταται Εὐζώϊος· ὃς
καὶ αὐτὸς ἐν ἔτεσιν ἓξ τοῖς ἑαυτῷ ἱερατεύσας· Λαυρέντιον τὴν ἱερωσύνην

καταλέλοιπεν· καὶ αὐτοῦ ἐν δέκα ἔτη καὶ μῆνας ἓξ πληρώσαντος· Ἀλύπιος
ἵσταται τῆς ἱερωσύνης ἐπὶ τρία καὶ δέκα ἥμισυ· πόλιν δὲ μετὰ τοῦτον· Περτί-
ναξ ἐτέων δύο ἔτη ἐννέα καὶ δέκα κρατήσας τῆς ἱερωσύνης· οὗτος δὲ ὁ Περτίναξ· ὑ-
πατικὸς τῶν ἐν Ῥώμῃ καὶ στρατηλάτης γεγονώς· πάθει τε ἀφύκτῳ περιπε-
πτωκὼς· διάγων ἐν τοῖς θρᾳκώοις μέρεσι· ἔμαθε πολλὰς τὰς δυνάμεις γε-
γενέσθαι ἐν τῷ Βυζαντίῳ ὑπὸ τῶν χριστιανῶν· παραγενόμενος δὲ πρὸς αὐ-
τὸν Ἀλύπιον τὸν ἐπίσκοπον· ἐν τῇ ἐπὶ Ἐλαίας λεγομένῃ ἐκκλησίᾳ· καὶ διὰ τῆς αὐ-
τοῦ ἐντεύξεως καὶ τῆς τῶν χειρῶν αὐτοῦ ἐπιθέσεως ῥωσθεὶς ἀλγηδόνων· ἀπαρ-
νεῖται τὴν τῶν εἰδώλων πλάνην· καὶ τὴν τῆς στρατιᾶς ὑπεροχήν· καὶ βαπτισ-
θεὶς τῇ τοῦ Χριστοῦ ἐλπίδι· ἣν προσκαρτερῶν τῷ Ἀλυπίῳ τῆς τοῦ πρεσβυτέρου ἀ-
ξίας μεταληφθεὶς· ἐν δάκρυσι καὶ προσευχαῖς ἐκφανῶς τὸν βίον διατελέσας· καὶ μετὰ
τὴν Ἀλυπίου τελευτὴν· ἐπισκοπὴν αὐτὸν παραχωρήσαντος· πλούσιός τε
ὑπάρχων· ὁ Περτίναξ· πόλιν αὐτὸς ἐκκλησίαν ἀνιστῆσιν· αὐτοῖς τὸ θαλάσσιον ἴδιον·
ἐν τῷ ἐπιλεγομένῳ Συκαῖς· εἰρήνης τὸν οἶκον προσαγορεύσας· ὃν περ τόπον οἱ
χριστιανοὶ ὡς μηδὲ τῶν πολεμίων ἀπετέλεσαν· οἰκοδιαφόροις ἐπλήθυσαν·
ἀναστήσαντες· διόπερ καὶ μετέπειτα καὶ τὸ μαρτύριον ὁ ἅγιος Σεβαστός· τάχα ἐκ τοῦ
τόπον ἐτίμησεν· μετὰ δὲ τὸν Περτίνακα· Ὀλυμπιανὸς ἐν τῇ ἐκκλησίᾳ τῇ ἐ-
πιλεγομένῃ εἰρήνῃ ἐπίσκοπος καθίσταται· αὐτὸς ἱερατεύσας ἐπὶ ἐν δέκα ἔτη·
τούτου διάδοχος γίνεται Μάρκος ἐπὶ τέσσαρσι καὶ δέκα τὸν μέτρον· μετὰ τοῦτον Κυριλλι-
ανὸς ἐν ἔτεσιν ἓξ καὶ δέκα· μετὰ τοῦτον Καστῖνος ἔτεσιν ἑπτά· ὃς οἶκον καὶ τὸν
ἐν τῷ Πετρίτῃ αὐτοῦ ἀγρῷ· ἐκκλησίαν ἀνιστῆσι· ἔσωθεν τοῦ Βυζαντίου κατὰ
τὸ βόρειον μέρος· ἔνθα καὶ οἱ ἐμπορευσάμενοι τοῦ Βυζαντίου κατέκαμπτον· ἀφ' ἧς καὶ
τῆς μαρτυροῦ τὸν οἶκον προσαγορεύσας· κατὰ τὸν τότε καιρὸν μαρτυρησά-
σης αὐτῆς· ἐκατοίμηται τὸν ἐπίλοιπον χρόνον· τῆς ἱερατείας τελέσας·
Τίτον διάδοχον καταλιμπάνει· ὃς ἔτη τεσσαράκοντα πέντε καὶ μῆνας ἓξ πληρώ-
σας· Δομέτιον τὸν ἀδελφὸν Πρόβου· τοῦ βασιλέως διάδοχον καθί-
στησι· καὶ οὗτος δὲ εἴκοσι τέσσαρα ἔτη πρὸς μησὶν ἓξ τελέσαντος· Πρόβος ὁ Δο-
μετίου υἱὸς διαδέχεται τὴν ἱερωσύνην ἕως πληρώσεως ἐτῶν ιβ·
μεθ' ὃν Μητροφάνης ὁ ἀδελφὸς Πρόβου καὶ Δομετίου υἱὸς· ἐπίσκοπος τοῦ
Βυζαντίου καθίσταται· δέκα ἔτη πρὸς μῆνας τὴν ἱερατείαν· ἀφ' οὗπερ καὶ

καὶ Κωνσταντῖνος ὁ εὐσεβὴς βασιλεύς· ἕνεκεν τῆς πρὸς Λικίνιον παρατάξεως· καταλαβὼν τὸ Βυζάντιον· καὶ ἀρεσθεὶς τῇ τοῦ ἀνδρὸς σεμνότητι· καὶ τὴν τῶν τόπων εὐκοσμίαν μονήσας· τέως ταῖς εὐχαῖς τοῦ Μητροφάνους ἐγκεφθείς, τοῦ κατὰ Λικίνιον πολέμου ἐπέτυχε· καὶ εὐθὺς τὰ τῆς Ῥώμης βασίλεια· εἰς τὸ Βυζάντιον μετατίθησιν· τάχιον δὲ αὐτὴν ὀχυρώσας καὶ ὀρόφοις· παροχάς τε δαψιλεῖς τοῖς πολίταις χαρισάμενος· κατὰ τὴν ἑαυτοῦ ἐπωνυμίαν· Κωνσταντινούπολιν ταύτην μετονομάσας· ταῦτα ὁ πανάριστος Δωρόθεος ἐν ῥωμαϊκοῖς συγγράμμασι καταλέλοιπεν· ἀντεβλήθησάν τε καὶ παρ' ἡμῶν· ἐν ὑπατείᾳ Φιλοξένου καὶ Πρόβου· ὁπηνίκα Ἰωάννης ὁ ἐπίσκοπος Ῥώμης ἦλθεν ἐν Κωνσταντινουπόλει· περιτραπεὶς γὰρ ὑπὸ τῶν τῆς πόλεως· ἀρχιεπισκόπου μόνου λειτουργῆσαι αὐτὸν ἐν τοῖς γενεθλίοις τοῦ Χριστοῦ· ἀπηγόρευσεν μὴ τοῦτο ποιῆσαι ἐὰν μὴ πρότερον τοῦ τῆς πόλεως ἐπισκόπου ἱερατεύσῃ· ὅσαπερ δὴ τῆς Ῥώμης πρὸς Κωνσταντινουπόλεως ἐπισκόπου δεξαμένης· κινηθείσης ὡς οὖν ἐκ τούτου γενομένης· ἐκ τῶν συγγραμμάτων τοῦ μεγάλου Δωροθέου· τὴν σύστασιν Κωνσταντινουπόλεως ἐποιήσαντο· δίκαιον αὐτὸ προτιμότερον τῆς Ῥώμης τὴν Κωνσταντινουπόλεως εἶναι ἐπισκοπήν· Ἰωάννης δὲ ὁ Ῥώμης ἐπίσκοπος τὸ μὲν συγγράμματα Δωροθέου ἀληθὲς εἶναι διεβεβαιοῦτο· περιτιμᾶσθαι δὲ τοῦ τῆς πόλεως ἐπισκόπου ἔλεγεν· διὰ τὸ τὸν κορυφαῖον τῶν ἀποστόλων τόπον ἐσχηκέναι· καὶ τούτου ἕνεκεν τὰ πρωτεῖα αὐτῷ παρεχωρήθη· οὐ μὴν διὰ τὸ ὑπάρχειν τῆς Ῥώμης ἐπίσκοπον τῆς Κωνσταντινουπόλεως· ὑποκάτω δὲ ἐν τοῖς τελευταίοις· τοῦ συγγράμματος αὐτοῦ ὁ ἱερὸς Δωρόθεος μνήμην ποιεῖται· καὶ τῶν δώδεκα ἀποστόλων σημαίνων ἔνθα ὁ καθεὶς αὐτῶν ἐκήρυξεν εἰπών·

Τῶν ο´ ἀποστόλων·

Πέτρος μὲν τὸν ἀπόστολον ἐν Γαλατίᾳ καὶ ἐν τοῖς μεσογαίοις τῶν τόπων· καὶ πᾶσαν τὴν Καππαδοκίαν· καὶ Βιθυνίαν κηρύξας τὸ εὐαγγέλιον· μετὰ τὸ ἐπαναζῆσαι αὐτὸν ἀπὸ Ἀντιοχείας· ὕστερον δὲ καὶ ἐν τῇ Ἰταλίᾳ πάσῃ καὶ Ῥώμῃ· ἔνθα καὶ ὑπὸ Νέρωνος σταυρωθείς· ἐν αὐτῇ τῇ Ῥώμῃ θάπτεται· πρὸ τριῶν καλανδῶν Ἰουλίου·

Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ πᾶσαν τὴν παραλίαν Βιθυνίας τε καὶ τῶν τόπων Θρᾴκης τε καὶ Σκύθας· διῆλθεν εὐαγγελιζόμενος πρὸς κύριον· μετέπειτα δὲ ἐπο-[illegible] ἕως Σεβαστουπόλεως τῆς μεγάλης· ὅπου ἡ παρεμβολὴ Ἄψαρος καὶ Φᾶ-

σις ποταμοῦ· ἔνθα οἱ ἑσπέριοι αἰθίοπες κατοικοῦσιν· ἐν τάφῃ ἐν πά
τρεσιν τῆς ἀχαΐας· σταυρῷ παραδοθεὶς ὑπὸ αἰγεάτου·
ἰάκωβος δὲ ὁ τοῦ ζεβεδαίου· ταῖς δώδεκα φυλαῖς τοῦ ἰσραὴλ μετὰ θάρσους εὐαγγελιζόμενος
τὸν κύριον· ἀναιρεῖται μαχαίρᾳ ὑπὸ ἡρώδου τοῦ πρεσβυτέρου ἐν καισαρείᾳ τῆς παλαιστίνης· γ
ἰωάννης ὁ τούτου ἀδελφὸς· ὃς καὶ τὸ εὐαγγέλιον γεγράφηκε· ἐν τῇ ἐφέσῳ κηρύξας τὸν χριστὸν
ὑπὸ τραϊανοῦ τοῦ βασιλέως· εἰς πάτμον τὴν νῆσον· διὰ τὸν λόγον
τοῦ χριστοῦ ἐξορίζεται· ἐκ ταύτης μετάρσιος γέγονεν· διὸ καὶ λόγος κεκράτηκεν δ
ὥσπερ ἐνὼχ καὶ ὁ ἠλίας· ὅτι ἐν σαρκὶ αὐτοὺς ὑπάρχειν·
φίλιππος δὲ ὁ ἀπόστολος· ἐν φρυγίᾳ κηρύξας τὸ εὐαγγέλιον· θάπτεται ἐν ἱεραπόλει· με
τὰ τῶν ἐπὶ θυγατέρων αὐτοῦ· ὡς λουκᾶς ὁ εὐαγγελιστὴς· ἐν ταῖς πράξεσι ε
τῶν ἀποστόλων ἀπεμνημόνευσεν·
βαρθολομαῖος ὁ ἀπόστολος· ἰνδοῖς τοῖς καλουμένοις εὐδαίμοσι κηρύξας τὸν χριστὸν καὶ δέ
δωκεν αὐτοῖς τὸ κατὰ ματθαῖον εὐαγγέλιον· ἐκοιμήθη ἐν κορβό πόλει τῆς μεγάλης ἀρμενίας· ϛ
θωμᾶς δὲ ὁ ἀπόστολος· πάρθοις καὶ μήδοις καὶ πέρσαις καὶ γερμάνοις· καὶ βάκτροις
καὶ μάγοις κηρύξας τὸ εὐαγγέλιον τοῦ χριστοῦ· τελειοῦται ἐν πόλει τῆς ἰνδίας καλαμήνῃ·
ματθαῖος δὲ ὁ εὐαγγελιστὴς· τῇ ἑβραΐδι διαλέκτῳ· τὸ εὐαγγέλιον παραδοὺς· τῇ ζ
ἐν ἱεροσολύμοις ἐκκλησίᾳ· κηρύξας τὸν χριστὸν τελειοῦται ἐν ἱεραπόλει τῆς συρίας·
ἰούδας δὲ ὁ ἰακώβου· ἐν πάσῃ τῇ μεσοποταμίᾳ κηρύξας τὸν χριστὸν· τε η
λειοῦται· ἐν ἐδέσσῃ· καὶ ἐκεῖ θάπτεται·
σίμων δὲ ὁ ἐπικληθεὶς ἰούδας· ἐν ἐλευθεροπόλει· καὶ ἀπὸ γάζης ἕως αἰγύπτου θ
κηρύξας τὸν χριστὸν· θάπτεται ἐν τῇ ἀρακίνῃ πόλει τῆς αἰγύπτου σταυρωθεὶς
ἐπὶ τραϊανοῦ τοῦ βασιλέως·
ματθίας δὲ ὁ συναριθμηθεὶς τοῖς ἕνδεκα ἀποστόλοις ἀντὶ ἰούδα ἐν τῇ πρώτῃ ι
αἰθιοπίᾳ· κηρύξας τὸν χριστὸν τελειοῦται καὶ θάπτεται ἐκεῖ·
σίμων ὁ ζηλωτὴς· πᾶσαν τὴν μαυριτανίαν καὶ τὴν τῶν ἀφρῶν χώραν
διελθὼν καὶ κηρύξας τὸν χριστὸν· ὕστερον δὲ καὶ ἐν βρεττανίᾳ σταυρωθεὶς· ὑ ια
π' αὐτῶν· καὶ τελειωθεὶς θάπτεται ἐκεῖ·
ταῦτα ἡμῖν δωρόθεος· ἐξ ἑλληνικῆς καὶ ἑβραϊκῆς συνήγαγεν· καὶ ὅσα ἐν
ῥωμαϊκοῖς ὑπομνήμασιν· ἅπερ ἡμεῖς ὡς χρηστὰ· καὶ ἀπαράδεκτα
συναγαγόντες· ἐμφανῆ πεποιήκαμεν· ὅπως τε ἡ ἔναρξις τῆς

κλκι
ηαβγ λεξζηθιϛ

ἐπισκοπῆς κατὰ Τύρον πόλεως γέγονεν· ἐξ οἰκοῦντες γε μὴν [illegible] προφανὴς κατὰ
τοὺς ἀνδράσιν· καὶ ταῦτα ἐν τοῖς ἱστορικοῖς συγγράμμασι· τοῦ προλεχθέντος θεί-
ου ἀνδρὸς Δωροθέου· ὅτι Σίμων ὁ Κυρηναῖος· ἐσταυρώθη ὑπὲρ τοῦ Χριστοῦ· καὶ ὅτι ὁ Ἱε-
ρεμίας ὁ προφήτης· ἱερεὺς ὢν καὶ προφήτης· θεόθεν ἀπὸ [illegible] προθεωρήσας
καὶ τὴν τῆς Ἱερουσαλὴμ αἰχμαλωσίαν· μετὰ τὴν τελευτὴν τοῦ Ἰωσίου τοῦ βασιλέως
Ἰούδα· ἄρας τὴν σκηνὴν τὴν Μωσαϊκὴν καὶ τὴν κιβωτὸν τῆς διαθήκης
καὶ πάντα τὰ ἅγια τὰ ἐν αὐτῇ· καὶ πάντα τὰ σκεύη ἃ Μωσῆς κατεσκεύασεν·
ἐλθὼν εἰς τὸ ὄρος Ναυ· ἔνθα ὁ Μωσῆς αὐτὸς ἐτάφη· ἀρχὴν ἐν σπηλαίῳ· καὶ
κατέθετο ταῦτα ἀπέθετο· καὶ ηὔξατο εὐχὴν Μωσῆς τε μὴ φανερωθῆναι αὐτὰ ἕως
τῆς συντελείας τοῦ αἰῶνος· καὶ ἐκ τότε τὸ τοῦ [illegible] ἐγένετο καὶ αὐτοῖς τοῖς
ἱερεῦσιν τοῖς ἅμα τῷ Ἱερεμίᾳ· ἀποθεμένοις αὐτά· σὺν οἷς καὶ ταῦτα ἀρχη-
καμένων· ὑπατίας [illegible] βουλῆς καὶ Σύλλα· ἐπὶ τούτῳ τῷ ὑπάτῳ· ὑπὸ κρύου παγω-
θείσης τῆς λίμνης Γενησαρέτ· ἡ θυγάτηρ τῆς Ἡρῳδιάδος· καὶ περιτιμημένη
τοῦ πάγου ἐπέβαινεν· τοῦ δὲ πάγου διαθρυβέντος· τὸ σῶμα αὐτῆς κα-
ταποθὲν ὑπὸ τοῦ ὕδατος· ἡ δὲ κεφαλὴ αὐτῆς ἐκκοπεῖσα ὑπὸ τοῦ πάγου ὡς ἀ-
ποθὲν τοῦ πάγου ἐκέρδανεν· ἡ δὲ Ἡρῳδιὰς ἐπὶ τὸ ὄρυγμα τὸ ὁμώνυμον αὐτῆς ἀπο-
θεμένη τὴν κεφαλὴν τῆς θυγατρὸς κλαίουσα ὡμολόγει· ὅτι διὰ ταύτην αἰτή-
σασθαι αὐτὴν τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ· τοῦτο ὑπέμεινεν· καὶ
ὁ Ἡρῴδης δὲ καταπαύσας τὴν βασιλείαν τῶν Ἰουδαίων περιελθὼν ἀπέ-
θανε σκωληκόβρωτος γενόμενος· ἐκληρονόμησεν δὲ τὸν Ἡρῴδην ὁ ἐπι-
λεγόμενος καθ' ὅτι κατὰ ὀφθαλμοὺς Ἡρῴδου· καὶ οἵ τε [illegible] οἱ αὐτοῦ καὶ αὐτὴ ἡ Ἡρῳ-
διάς· ἑξῆς ἔσχεν αὐτοὺς σκωληκόβρωτοι γενόμενοι ἐξέψυξαν· περὶ κο-
πιος τοῖς μὲν τοῦ μαρτυρίου ἤξιου μετὰ βίον τε λόγων δὲ [illegible] ἀπρε-
πὰς καὶ πᾶσι τὰς περὶ [illegible] γραφάς· ἐν [illegible] καὶ ἐν [illegible] ἀδελφὰς κηθεσ-
καὶ ἐντετυχηκὼς ταῖς ἱστορικαῖς γραφαῖς τοῦ μακαρίου καὶ ἁγίου ἐπισκόπου
καὶ μάρτυρος Δωροθέου· ταῦτα πάντα ἡμῖν ἐγγέγραφας καταλέλοιπεν· χά-
ρις τοῖς μὲν αὐτοῦ τοῖς πόνοις· καὶ τῇ ἀθανάτῳ μνήμῃ : —

ΗΛΛΥCΟΕCΥΜΘΩ ΙC ΧC ΠΕΡΑC ΕΙΛΗΦΕΝ +

Η Η Κ

κυρ Χερουβὶμ [illegible]

βίος καὶ πολιτεία τῆς ὁσίας μαρίας τῆς αἰγυπτίας· τῆς κατὰ τὴν ἔρημον μονώσας
ἀσκησάσης· συγγραφεὶς παρὰ τοῦ ἐν ἁγίοις σωφρονίου ἀρχιεπισκόπου ἱερο-
σολύμων· λεχθεὶς τῇ ε΄ τοῦ μεγάλου κανόνος· δέσποτα εὐλόγησον:

Μυστήριον βασιλέως κρύπτειν καλόν, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακηρύττειν ἔν-
δοξον· οὕτω γὰρ εἶπεν ὁ ἄγγελος τῷ τωβίτ, μετὰ τὴν παράδοξον τῶν ὀμ-
μάτων ἀνάβλεψιν· καὶ μετὰ τοὺς κάμνοντας κινδύνους, οὓς διῆλθεν καὶ
ὧν ἐρρύσθη διὰ τὴν εὐσέβειαν· τὸ γὰρ τὸ βασιλέως μὴ φυλάττειν
μυστήριον, ἐπισφαλὲς καὶ ὀλέθριον· τὸ δὲ σιγᾶν θεοῦ ἔργα παράδοξα, ψυ-
χῆς φέρει τὸν κίνδυνον· ὅθεν κἀγὼ φόβῳ τοῦ σιωπᾶν τὰ θεῖα
βαλλόμενος, καὶ τὸν ἐπηρτημένον τῷ δούλῳ κίνδυνον ὑφορώμενος,
ὃς λαβὼν ὑπὸ τοῦ δεσπότου τὸ τάλαντον, εἰς τὴν γῆν ἔκρυψε·
καὶ τὸ δοθὲν πρὸς ἐργασίαν ἔκρυψεν ἀπραγμάτευτον· ἐξήγησιν
ἱερὰν ἐν ἐμοὶ καταντήσασαν οὐδαμῶς σιωπήσομαι· καὶ
μηδεὶς ἀπιστήτω, ἅπερ ἀκήκοα γράφοντι· ἢ ἐμὲ ὅτι περ ἀπιστεύεσθαι τὸ
παράδοξον ἡγούμενος ἐκ τοῦ πράγματος τῷ μεγέθει καταπληττό-
μενος· ἐμοὶ μὲν γὰρ μὴ γένοιτο τῶν ἱερῶν καταψεύσασθαι καὶ κα-
πηλεύσαι τὸν λόγον, ἐν ᾧ θεὸς μνημονεύεται· καὶ τοῖς μικρὰ μὲν φρο-
νοῦσι καὶ ἀνάξια τῆς τοῦ σαρκωθέντος θεοῦ λόγου μεγαλειότητος·
καὶ ἀπιστεῖν τοῖς οὕτω λεγομένοις· οὔ μοι δοκεῖ κἂν ἔχειν τὸ εὔλογον· οἱ
δὲ τῇδε τῇ γραφῇ ἐντυγχάνοντες· καὶ τὸ παράδοξον τοῦ
θαύματος καταπληττόμενοι· καὶ πιστεύειν εὐχερῶς οὐκ ἐθέλον-
τες, καὶ αὐτοῖς ἵλεως γένηται κύριος· ἐπείπερ καὶ αὐτοὶ τὸ ἀσθενὲς τῆς ἀν-
θρωπίνης φύσεως λογιζόμενοι· δι' ἀπαράδεκτα ἡγοῦνται τὰ πα-
ραδόξως περὶ ἀνθρώπων λεγόμενα· ἤδη μοι δὲ λοιπὸν ἐπὶ
τὴν διήγησιν πράγματι λέγειν ἐν τῇ καθ' ἡμᾶς τελεσθεῖσαν γενεᾷ
λεγόμενον· ὅπερ ἱερὸς ἀνὴρ τὰ θεῖα λέγειν μυστήρια καὶ πρά-
ττειν ἐκ παιδόθεν μεμαθηκὼς ἀφηγήσατο· ἀλλὰ μηδὲ τούτου

πρὸς ἀπιστίαν ἑλκύσῃ τοὺς ἐντυγχάνοντας· τὸ ἐν τῇ καθ' ἡμᾶς γενεᾷ
θαύματα τοιοῦτον γενέσθαι, ἢ τοῖς μὲν οἷς ἀδύνατον· ἡ γὰρ χάρις τοῦ θεοῦ πνεύματος
κατὰ γενεὰς καὶ γενεὰς ἐπὶ ψυχὰς ὁσίας διαβαίνουσα, φίλους θεοῦ καὶ προ-
φήτας κατασκευάζει· καθὼς Σολομὼν ἐν θεῷ ἐδίδαξεν· καιρὸς δὲ τῆς
ἱερᾶς ἐκείνης ἀπάρξασθαι διηγήσεως.

Ἦν γὰρ ἐν τοῖς κατὰ Παλαιστίνην μοναστηρίοις ἀνὴρ βίῳ καὶ λόγῳ κοσ-
μούμενος· ὃς ἐκ σπαργάνων αὐτῶν τοῖς μοναχικοῖς ἀνετράφη
ἤθεσί τε καὶ πράγμασι· καὶ Ζωσιμᾶς ἦν ὄνομα τούτῳ τῷ γέροντι·
καὶ μή τις τῇ ὁμωνυμίᾳ τοῦ Ζωσιμᾶ νομισάτω με ἐκεῖνον λέγειν
τὸν Ζωσιμᾶν τὸν ἐν δόγμασί ποτε διαβληθέντα ὡς ἑτερόδοξον·
ἄλλος γὰρ οὗτος, καὶ ἄλλος ἐκεῖνος, καὶ πολὺ τὸ μεταξὺ αὐτῶν διάφορον·
εἰ καὶ προσηγορίαν μίαν ἐκέκτηντο ἀμφότεροι. οὗτος τοίνυν ὁ Ζω-
σιμᾶς ὁ ὀρθόδοξος· ἐμόναζεν ἀρχῆθεν ἔν τινι τῶν Παλαιστίνης μο-
ναστηρίων· πᾶσαν ὁδὸν ἀσκήσεως ὡς οἷόν τε μετερχόμενος καὶ πρὸ
πάσης ἐγκρατείας ὁ Ζωσιμᾶς γενόμενος ἐπιτήδειος· πάντα γὰρ κανόνα
παραδεδομένον ὑπὸ τῶν πρὸς τὴν τοιαύτην αὐτῷ παλαίστραν
παιδοτριβησάντων ἐφύλαττε· πολλὰ δὲ καὶ αὐτὸς παρ' ἑαυτοῦ ἐπενόησεν ἑ-
κάστοθεν, ὑποτάξαι ζητῶν τὴν σάρκα τῷ πνεύματι· καὶ τοῦ σκοποῦ οὐ
διήμαρτεν· οὕτω γὰρ ἦν περὶ τὸ πρακτικὸν ὅπερ ἔφην ἐπίσημος,
ὡς πολλοὺς πολλάκις τῶν ἐγγύθεν μοναστηρίων, ἔστι δὲ ὅτε καὶ τῶν
μακρόθεν ἀπεχόντων, φοιτᾶν πρὸς αὐτόν· καὶ προσεγκρατεύεσθαι
ὑπὸ τῆς ἐκείνου διδασκαλίας, τυπωθῆναι καὶ ἐκνομίζεσθαι· καὶ
περ οὕτως ἔχων περὶ τὸ πρακτικόν, ὅπερ ἔφην· οὐδὲ τῆς μελέτης
τῶν ἱερῶν λογίων ποτὲ παρημέλησεν· ἀλλὰ καὶ κοιταζόμενος καὶ
ἀνιστάμενος, ἐν χερσὶν κρατῶν τὸ ἐργόχειρον· καὶ τροφῆς εἴ δέοι
καλλιεργῶν, ἓν ἔργον εἶχεν ἀπαυστὶ ἀναλαμβάνων, ὅσα ἄνωθεν· ἓν ἔρ-
γον ἔχων μηδέποτε διαπαυόμενον, τὸ ψάλλειν διαπαντός,
καὶ μελέτην ποιεῖσθαι τῶν ἱερῶν λογίων· πολλάκις, ὥς φασι, καὶ θέας
ὀπτασίας ἀξιοῦσθαι τὸν γέροντα· θεόθεν αὐτοῦ γενομένης ἐλλάμψεως,
καὶ θαυμαστὸν οὐδὲν, ἀλλ' οὐδὲ ἄπιστον· ὅτι γάρ, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ

ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται· καθάπερ εἶπεν ὁ κύριος· οἱ τὴν σάρκα δηλαδὴ καὶ
τὴν ἑαυτῶν ἐκκαθάραντες· καὶ μὴ φθονοῦντες ἀεὶ ἐγρηγορότως τὸ τῆς ψυχῆς
αὐτῶν ὄμματι· ὁρῶσι θεὸν τελειοτέρως ὀρθοδόξως· ἀρραβῶνας ἐντεῦθεν
τοῦ μέλλοντος αὐτοῖς καλοῦ νομιζόμενοι. ἔλεγε τοίνυν οὗτος ὁ ζωσιμᾶς
ἐξ αὐτῶν ὡς ἔφη σπαργάνων τῶν μητρικῶν ἀγκαλῶν ἐν τῷ μοναστηρίῳ ἐκείνῳ τούτῳ δεδόσ-
θαι· καὶ μέχρι τρίτου καὶ πεντηκοστοῦ ἔτους ἐν αὐτῷ τὸν δρόμον τὸν ἀσκη-
τικὸν διανύσαι ὡς εἴρηται· μετὰ δὲ ταῦτα παρηνοχλήθη ὡς ἔφασ-
κεν ὑπό τινων λογισμῶν· ὡς ἤδη τελειουμένου· ἐν ἅπασι τοῖς ἑτέ-
ρου διδασκαλίας οὐδαμῶς προσδεόμενος· ταῦτα γὰρ ὡς ἔ-
λεγε καθ' ἑαυτὸν ἐλογίζετο· ἆρα ἔστι τις ἐν τῇ γῇ μοναχὸς δυνάμενος·
ξένον τί παραδοῦναι μοι; ἢ ὠφελῆσαι με ἰσχύων; ὅπερ οὐκ οἶδα οὐ-
δὲ ἐπετέλεσα εἶδος ἀσκήσεως· ἆρα εὑρίσκεταί τις τῶν ἐν ἐρήμῳ φιλοσο-
φούντων ἀνήρ· ὃς κατὰ πρᾶξιν καὶ θεωρίαν πρότερός μου; ταῦτα τούτου
λογιζομένου τὸν τρόπον τοῦτον ἐρευνῶντος· ἐφίσταταί τις αὐτῷ καί φησι πρὸς
αὐτόν· ὦ ζωσιμᾶ· καλῶς μὲν καὶ ὡς ἦν δυνατὸν ἀνθρώπῳ ἠγωνίσω· καὶ
καλῶς τὸν ἀσκητικὸν δρόμον διήνυσας· πλὴν οὐδείς ἐστιν ἐν ἀνθρώποις ἔχων
τὸ τέλειον· ἀλλὰ μείζων ἐστὶν ὁ ἀγὼν ὁ προκείμενος· τοῦ παρωχηκότος ἤ-
δη, κἂν ἀγνοεῖς μὴ γινώσκων καί· ἵνα δὲ γνῷς καὶ αὐτὸς πόσαι εἰσὶ καὶ ἄλλαι·
πρὸς σωτηρίαν ὁδοί· ἔξελθε ἐκ τῆς γῆς σου· καὶ ἐκ τῆς συγγενείας σου· καὶ ἐκ
τοῦ οἴκου τοῦ πατρός σου, καθάπερ ὁ ἀβραὰμ ἐκεῖνος ὁ ἐν πατριάρχαις
ἐπίσημος· καὶ δεῦρο εἰς τόδε τὸ μοναστήριον τὸ πλησίον τοῦ ἰορδάνου,
τοῦ ποταμοῦ διακείμενον· αὐτίκα γοῦν ὁ γέρων ἀκολουθῶν τῷ κε-
λεύοντι, ἔξεισι τοῦ μοναστηρίου, ἐν ᾧ ἐκ παιδόθεν ἐμόναζεν· καὶ κα-
ταλαβὼν ἰορδάνην, τὸν ἐν ποταμοῖς ἁγιώτατον· ὁδηγεῖται πρὸς τοῦ
καλέσαντος εἰς ἐκεῖνο τὸ μοναστήριον· εἰς ὃ θεὸς αὐτὸν γενέσθαι παρε-
κελεύετο· κρούσας τοίνυν τῇ χειρὶ τὴν θύραν τῆς αὐλῆς· ἐντυγχάνει τῷ πρό-
τερον μοναχῷ, τῷ τὴν θύραν φυλάττοντι· ἐκεῖνος δὲ αὐτὸν μηνύει τῷ προ-
τουμένῳ· ὁ δὲ τοῦτον δεξάμενος, σχήματι καὶ ἤθει εὐλαβῆ τε
θεασάμενος, βάλλοντα τοῖς μοναχοῖς τὴν συνήθη μετάνοιαν· καὶ λα-
βόντα εὐχήν, ἠρώτησε ταῦτα· πόθεν ὦ ἀδελφὲ παραγέγονας·

καὶ τί μὲν ἕνεκεν πρὸς τὰς ἐρήμους ἐλήλυθας γέροντα· ὁ δὲ ζωσιμᾶς ἀ-
πεκρίνατο· τὸ μὲν ὅθεν ὑμῖν λέγειν οὐκ ἀναγκαῖον ἐμοί· ὠφελείας δὲ
χάριν ἐπελήλυθα· ἀκήκοα γὰρ περὶ ὑμῶν μέγιστά τε καὶ ἄξια ἐπαίνων,
καὶ δυνάμενα ψυχὴν πρὸς οἰκειῶσαι θεῷ· εἴπερ δὲ πρὸς αὐτὸν ὁ ἡγούμενος·
ὁ θεὸς ἀδελφὲ ὁ μόνος ἰώμενος τὴν ἀνθρωπίνην ἀσθένειαν, αὐτὸς καὶ σὲ καὶ ἡμᾶς
διδάξει τὰ θεῖα θελήματα· καὶ ὁδηγήσει πάντας ὡς τὸ ποιεῖν τὰ προσ-
ήκοντα· ἄνθρωπος γὰρ ἄνθρωπον ὠφελῆσαι οὐ δύναται, εἰ μὴ ἕκαστος ἑαυτῷ προ-
σέχει διὰ παντός· καὶ μὴ φροντίζων τῶν νῦν, τὸ δὲ ὅμως ἐργάζεται τὸν θεὸν κεκτημένος
τῶν ὑπὸ ... συλλήπτορα· πλὴν ἐπειδὴ ὥσπερ ἔφης, ἠ-
γάπησας τοῦ χριστοῦ κεκίνησαι τὰς ἐρήμους θεάσασθαι γέροντας· μένε μόνη
μεθ᾽ ἡμῶν, ἀλλ᾽ ὥσπερ τῆς παρουσίας ὑμῶν ἕνεκα· καὶ πάντας ἡμᾶς,
διαθρέψαι τῇ τοῦ θεοῦ χάριτι· ὁ ποιμὴν ὁ καλὸς ὁ διδοὺς τὴν ψυχὴν
αὐτοῦ ὑπὲρ τῶν προβάτων· καὶ τὰ ἴδια πρόβατα καλῶν ἐξ ὀνό-
ματος· ταῦτα εἰπόντος τοῦ ἡγουμένου τῷ ζωσιμᾷ, βαλὼν καὶ
θεὶς μετάνοιαν· καὶ αἰτήσας εὐχὴν καὶ ἐπειπὼν τὸ ἀμήν, ἔμεινε δὲ
κατὰ τὸ μοναστήριον· εἶδε δὲ γέροντας· πράξει καὶ θεωρίᾳ ἐκλάμπον-
τας· καὶ τῷ πνεύματι ζέοντας καὶ τῷ κυρίῳ δουλεύοντας· ψαλμῳδία μὲν γὰρ
ἦν ἀκατάπαυστος, ἐν αὐτοῖς πᾶσιν ἔχουσα τὸν χρόνον· καὶ ἐν χερσὶ μὲν
ἦν τὸ ἔργον ἀχάριστον· καὶ ψαλμοὶ ἐπὶ στόματος· λόγος γὰρ ἀργὸς παρ᾽ αὐτοῖς,
οὐκ ἐπολιτεύετο· φροντὶς πραγμάτων παρ᾽ ἐκείνοις οὐκ ἐμελετᾶτο·
πρόσοδοι δὲ τοῖς ἀριθμούμεναι τε καὶ συναγόμεναι, καὶ μέριμναι βι-
ωτικαὶ καὶ μόχθοις ἁρμόζουσιν, οὐδὲν ὄνομα ἐγνωρίζετο παρ᾽ αὐτοῖς, ἐγνωρί-
ζετο· ἀλλὰ μόνον ἦν καὶ πρῶτον καὶ ἅπασιν τὸ ἕκαστον αὐτῶν, νεκρὸν εἶναι
τῷ σώματι· ὡς ἅπαξ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ, πᾶσιν ἀποθανόντα
καὶ μηκέτι ὑπάρχοντα· τροφὴν δὲ εἶχον ἀδάπανον, τὰ θεόπνευστα λό-
για· ἔτρεφον δὲ καὶ τὰ σώματα τοῖς ἀναγκαίοις μόνοις, ἄρτῳ καὶ ὕδατι·
ὡς ἕκαστον ἐκίνει τὸ πρὸς τὴν θείαν ἀγάπην διάπυρον· ταῦτα ὁ ζωσιμᾶς
ὡς ἔφθην, θεώμενος οἰκοδομεῖτο λίαν ἐπεκτεινόμενος πρὸς τὰ ἔμπρος-
θεν· ἀεί τε συναύξων τὸν δρόμον τὸν ἴδιον, καὶ συνεργάτας εὑρὼν· κα-
λῶς τὸν θεῖον γεωργοῦντας παράδεισον· ἡμερῶν δὲ διελθουσῶν ἱκανῶν

ἐνίστατο ὁ καιρὸς, καθ' ὃν πᾶσι ἱερὰς ἡμέρας ἐκτελεῖν χριστιανοῖς παρα-
δέδοται· προκαθαίρουσι γὰρ ἑαυτοὺς εἰς τὴν τοῦ θείου πάθους
καὶ τῆς ἀναστάσεως τοῦ Σωτῆρος προσκύνησιν· τῆς δὲ πύλης τοῦ μονα-
στηρίου ἀνοιγομένης μηδέποτε, ἀλλ' ἀεὶ κεκλεισμένης, καὶ ποιού-
σης τοῖς μοναχοῖς τὴν ἄσκησιν ἀνενόχλητον· οὐδὲ γὰρ ἦν ἀνοίξαι ποτὲ
εἰ μή που μοναχὸς διά τινα χρείαν παρέβαλλεν· ἔρημος γὰρ ἦν ὁ τόπος
καὶ τοῖς ἐκ γειτόνων πλησίον μοναχοῖς οὐ κατανενόητος μόνον,
ἀλλὰ καὶ ἄγνωστος. κανὼν γὰρ τοιοῦτος ἐν τῷ μοναστηρίῳ ἄνωθεν ἐ-
φυλάττετο· δι' ὃν ὡς οἶμαι καὶ Ζωσιμᾶν ὁ Θεὸς εἰς ἐκεῖνο τὸ μοναστή-
ριον ἤγαγεν· τίς δὲ ὁ κανὼν καὶ πῶς ἐφυλάττετο, ἐνθένδε ἐρῶ· τῇ κυριακῇ
ἐν ᾗ ἡ πρώτη τῶν νηστειῶν ὀνομάζεσθαι εἴωθεν· ἡ θεία μυσταγωγία
κατὰ τὸ σύνηθες ἐτελεῖτο· καὶ τῶν ἀχράντων καὶ ζωοποιῶν μυ-
στηρίων ἐπιμετέχοντες· καὶ τροφῆς μικρᾶς ὡς ἔθος ἦν μεταλαμβάνοντες,
[illegible] εἰς τὸ εὐκτήριον· καὶ γινομένης εὐχῆς
ἐκτενοῦς καὶ τῶν γονάτων κλίσεως ἱκανῆς, ἠσπάζοντο ἀλλήλους οἱ γέροντες·
καὶ τὸν ἡγούμενον περιπτυσσόμενοι ἕκαστος βάλλων μετάνοιαν, ἠτεῖτο
[illegible] καὶ ἔχειν πρὸς τὸν προκείμενον ἀγῶνα συναγωνιστὴν
καὶ συνέμπορον· τούτων δὲ οὕτω γενομένων, ἡ θύρα τοῦ μοναστη-
ρίου ἠνοίγετο· καὶ ψάλλοντες σύμφωνον· Κύριος φωτισμός μου καὶ σωτήρ μου,
τίνα φοβηθήσομαι· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δει-
λιάσω· καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ ἐξῄεσαν ἅπαντες· ἕνα ἢ δύο
φύλακας καταλιμπάνοντες· οὐχ ἵνα φυλάξωσι τὰ ἔνδοθεν ἀ-
ποκείμενα· οὐδὲν γὰρ ἦν παρ' ἐκείνοις κλέπταις ἄξιον· ἀλλ' ἵνα
μὴ τὸ εὐκτήριον ἀλειτούργητον καταλείψωσιν· ἕκαστος δὲ ἑαυτὸν
ἐπεσίτιζεν ὡς ἠδύνατο καὶ ὡς προεβούλετο· ὁ μὲν γὰρ ἄρτον ἐκό-
μιζεν τῇ χρείᾳ τοῦ σώματος σύμμετρον· ὁ δὲ ἰσχάδας· ἄλλος φοί-
νικας· ἕτερος ὄσπρια βεβρεγμένα ἐν ὕδατι· ὁ δὲ οὐδὲν ἀλλὰ μόνον τὸ σῶμα
τὸ ἴδιον καὶ τὸ ῥάκος ὃ περιεβέβλητο· ἐτρέφετο δὲ ὁπόταν ἡ φύσις
ἠνάγκαζε τοῖς φυομέναις βοτάναις κατὰ τὴν ἔρημον· κανὼν δὲ
ἦν ἑκάστου οὗτος ἐν αὐτοῖς ἀπαράβατος· τὸ μὴ γινώσκειν ἄλλον ὅπως ἐγκρα-

πέραν ἕκαστος· ἢ ὅπως διάγει ὁ ἕτερος· τὸν γὰρ ἰορδάνην εὐθὺς διαπε-
ραιούμενοι, μακρὰν ἀπ' ἀλλήλων ἕκαστος ἐχωρίζετο· καὶ πόλιν ἔσχον
τὴν ἔρημον· καὶ οὐδεὶς προσέβαλλε πρὸς τὸν ἕτερον· ἀλλ' εἴπερ
ἐξ ἀπόπτου τὸν ἕτερον ἐθεάσατο ἐπ' αὐτὸν ἐρχόμενον, εὐθέως ἐ-
ξέκλινε τοῦ κατ' εὐθεῖαν πορεύεσθαι· καὶ ἐφ' ἕτερον μέρος ἐπορεύετο·
ἑαυτῷ δὲ ἔζη καὶ τῷ θεῷ ψάλλων διαπαντὸς, καὶ τροφῆς ἐπικαίρου δε-
όμενος· οὕτω ποιήσαντες πάσας τὰς νηστείας τελοῦντες, ὑπέστρεφον
εἰς τὸ μοναστήριον τῇ κυ(ριακῇ), τῇ πρὸ τῆς ζωοποιοῦ τοῦ σωτῆρος ἐκ νεκρῶν
ἀναστάσεως· ἣν ἑορτὴν προεόρτιον καὶ βαΐων ἑορτάζειν ἡ ἐκ-
κλησία παρέλαβεν· ὑπέστρεφεν δὲ ἕκαστος τοῦ ἰδίου καρποῦ ἔχων τεκμήρι-
ον τὴν ἰδίαν συνείδησιν γινώσκουσαν, ὅπως εἰργάσατο· ἢ ποίων πό-
νων σπέρματα κατεβάλετο· καὶ οὐδεὶς ἠρώτα παντελῶς τὸν ἕτε-
ρον· πῶς ἢ τίνα τρόπον τὸν προκείμενον ἀγῶνα διήθλησεν·
οὗτος μὲν ὁ τοῦ μοναστηρίου τούτου κανὼν καὶ οὕτω καλῶς ἐκτελού-
μενος· ἕκαστος γὰρ αὐτῶν ἐν τῇ ἐρήμῳ περιερχόμενος· ὑπ' ἀθλοθέτῃ θεῷ
καθ' ἑαυτὸν ἠγωνίζετο τοῦ μὴ ἀρέσκειν ἀνθρώποις καὶ κατ' ἐπίδειξιν ἐγκρατεύ-
εσθαι ἐν θεῷ ἐλευθερούμενος· τὰ γὰρ δι' ἀνθρώπους γινόμενα καὶ πρὸς
τὸ ἀρέσκειν ἀνθρώποις τελούμενα, μὴ ὅτι ἐφ' ὧν οὐδὲν ὠφελοῦσι
τὸν πράττοντα, ἀλλὰ καὶ πολλὴ ἐστὶ μὲν ἡ ζημία τῷ ποιοῦντι· παραι-
τίων· τότε τοίνυν ὁ ζωσιμᾶς, τῷ συνήθει νόμῳ τοῦ μονα-
στηρίου· τὸν ἰορδάνην ἐπέρασεν· σμικρά τινα κομισάμε-
νος ἐφόδια πρὸς τὴν χρείαν τοῦ σώματος· καὶ αὐτὸ τὸ ῥάκος ὅπερ
ἠμφίεστο· καὶ τὸν μὲν κανόνα διετέλει τὴν ἔρημον διερχόμενος·
καιρὸν τροφῆς ἐποιεῖτο τὴν ἀνάγκην τῆς φύσεως· ἐκάθευδεν
δὲ νυκτὸς ὀλίγον ἐπὶ τὴν γῆν κατακλινόμενος· καὶ ὕπνου μετρίου
γευόμενος· ὅπου ἂν αὐτὸν ὁ τῆς ἑσπέρας χρόνος κατέλαβεν· ὄρ-
θρου δὲ πάλιν βαδίζειν ἀπήρχετο· ἔχων ἀεὶ τῆς κινή-
σεως τὸν τόνον ἀνένδοτον· εἶχε δὲ ἐπιθυμίαν, ὡς ἔλεγεν,
γενέσθαι κατὰ τὴν ἐνδοτέραν ἔρημον· ἐλπίσας ἐκεῖ ποτε εὑρεῖν
τινὰ τῶν πατέρων κατ' αὐτὴν διατρίβοντα, δυνάμενον αὐτὸν ὀνῆ-

βάλεσθαι πρὸ τοῦ ποθουμένου· καὶ δὴ ὡς ὑπὸ τόμως τὴν ὁδοιπορίαν
διήνυσεν, ὥσπερ ἐπ' αὐτὸν ἰδεῖν περιφανῶς· καὶ πρόδηλον κατασκοπεῖν· εἴ-
κοσι δὲ ἡμερῶν ὁδὸν διανύσας· ὡς ὅτι τῆς ἕκτης ὥρας ἦλθε καιρός·
ἐπέσχε τῆς ὁδοιπορίας μικρόν· καὶ ἀναβλέψας κατὰ ἀνατολάς, ἐτέλει
τὴν συνήθη εὐχήν· εἰώθει γὰρ τοῖς τεταγμένοις τῆς ἡμέρας καιροῖς
ἐκκόπτειν μὲν τῆς ὁδοιπορίας τὸν σύντονον· καὶ μικρὸν τοῦ πόνου
διαναπαύεσθαι· ἑστώς τε ψάλλειν καὶ τὸ γόνυ κλίνειν καὶ οὕτω προσεύ-
χεσθαι· καὶ ὀρθὸς ἐφεστὼς ὥσπερ ἀκαταπαύστῳ τῷ βλέμματι· ὁρᾷ
ἐκ τοῦ δεξιοῦ μέρους ἐν ᾧ ἑστὼς κατὰ τὴν προσευχὴν ἦν
ἀποσκίασμα φαινόμενον ὡς ἀνθρωπίνου σώματος· καὶ ταραχθεὶς μὲν ἐ-
ταράττετο· φάσμα δαιμονίου ὑποπτεύων ὁρᾶν, καὶ γενόμενος ἔν-
τρομος· τῷ δὲ σημείῳ τοῦ σταυροῦ σφραγισάμενος· καὶ τὸν φόβον ἀ-
ποσεισάμενος· ἤδη γὰρ τέλος εἶχε λοιπὸν τὰ τῆς εὐχῆς· ἐπι-
στρέψας τὰ ὄμματα, ὁρᾷ τινὰ κατὰ ἀλήθειαν, πρὸς μεσημ-
βρίαν βαδίζοντα· γυμνὸν δὲ ἦν τὸ ὁρώμενον· μέλαν τῷ σώ-
ματι· ὡς ἐξ ἡλιακῆς φλογὸς μελαινόμενον· καὶ τρίχας ἔχον
ἐν τῇ κεφαλῇ λευκὰς ὡς ἔριον ὀλίγας καὶ ταύτας ὡς μὴ πλέον τοῦ τρα-
χήλου τοῦ σώματος περιφέρεσθαι· τοῦτο τοίνυν ὁ Ζωσιμᾶς θεασά-
μενος· καὶ ὥσπερ ἔνθους ὑφ' ἡδονῆς γενόμενος· περιχαρὴς τῷ
παραδόξῳ θεάματι· ἤρξατο τρέχειν ἐπὶ τὸ μέρος ἐφ' ὃ
καὶ τὸ ὁρώμενον ἔσπευδεν· ἔχαιρεν γὰρ χαρὰν ἀνεκλάλητον·
οὐδέποτε γὰρ ἦν θεασάμενος ἐν ὅλαις ταῖς ἡμέραις ἐκείναις τόδε
σχῆμα· ἢ ἀνθρώπου φύσιν, ἢ ἑτέρου ζώου· ἢ πετεινοῦ ἢ χερσαίου μορ-
φήν, ἢ ἀποσκίασμα· ἐζήτει γὰρ γνῶναι τίς, καὶ ποταπὸς ὁ ὁ-
ρώμενος· ἐλπίζων ὅτι τινῶν θεωρὸς μεγάλων γενήσεται·
ὡς δὲ εἶδεν ἐκεῖνο τὸν Ζωσιμᾶν ἐρχόμενον μακρόθεν· ἤρξατο φεύ-
γειν καὶ τρέχειν ἐπὶ τὸ τῆς ἐρήμου ἐνδότερον· ὁ δὲ Ζωσιμᾶς
τοῦ γήρως ὥσπερ ἐπιλαθόμενος, ἔτι τε καὶ τῆς ὁδοῦ τὸν κόπον μὴ λο-
γισάμενος· συνέτεινεν ἑαυτὸν καταλαβεῖν τὸ φεῦγον ταχυ-
νόμενος· τοῦ μὲν οὖν Ζωσιμᾶ, ὁ δρόμος ὀξύτερος· καὶ κατ' ὀλίγον

ἔπειτα, τοῦ φεύγοντος πλησιέστερος· ὡς δὲ ἤγγισεν ἤδη ὥστε καὶ φωνὴν
λοιπὸν ἐξακούεσθαι, ἤρξατο κράζειν ὁ ζωσιμᾶς· καὶ τοιαύτας φωνὰς
ἀφιέναι σὺν δάκρυσιν· τί με φεύγεις τὸν γέροντα καὶ ἁμαρτωλὸν δοῦ
λε· ῥυσόντος θ(εο)ῦ· μᾶνόν με τὸν ἀσθενῆ καὶ ἀνάξιον· τὴν ἐλπίδα ἣν
ἔχεις, πρὸς τὴν τοσούτου καμάτου ἀντίδοσιν· στῆθι καὶ μετάδος
εὐχῆς καὶ εὐλογίας τῷ γέροντι· τὸν θ(εὸ)ν τὸν μηδέποτε τινὰ βδελυττό
μενον. ταῦτα τοῦ ζωσιμᾶ σὺν δάκρυσι λέγοντος· γεγόνασιν τρέ
χοντες ἔν τινι τόπῳ· ἐν ᾧ ὥσπερ τις χειμάρρου ξηρὸς τετύπωτο·
οὐ μοι δοκῶ ποτε γεγενῆσθαι χειμάρρους· πῶς γὰρ ἐν ἐκείνῃ τῇ γῇ
φέρεται χείμαρος· ἀλλ' οὕτως ὁ τόπος ἔλαχε θέσεως. ὡς οὖν κατέλαβον
τὸν φερόμενον τόπον· τὸ μὲν αὖθις ἀνῆλθεν πρὸς τὸ μέρος· τὸ ἕ
τερον· ὁ δὲ ζωσιμᾶς κεκμηκὼς καὶ μηκέτι τρέχειν δυνάμενος,
ἔστη ἐπὶ τὸ ἕτερον μέρος τοῦ τοιούτου χειμαρρώδους· καὶ προ
σέθηκε τοῖς δάκρυσι δάκρυα· καὶ ταῖς οἰμωγαῖς οἰμωγάς· ὡς πλέ
ον αὐτοῦ λοιπὸν ἐκ τοῦ σύνεγγυς τοῖς ὀδυρμοῖς ἐξακούεσθαι.
τότε ἐκεῖνο τὸ φεῦγον σῶμα, φωνὴν τοιαύτην ἀφίησι· ἀββᾶ
ζωσιμᾶ συγχώρησόν μοι διὰ τὸν κ(ύριο)ν· οὐ δύναμαι ἐπιστραφῆναι
καὶ φανῆναί σοι οὕτως ἀπρόσωπον· γυνὴ γάρ εἰμι καθάπερ ὁ
ρᾷς· καὶ γυμνὴ καὶ τὴν αἰσχύνην τοῦ σώματος ἀπερικάλυπτον ἔχουσα·
ἀλλ' εἴπερ θέλεις πάντως ἁμαρτωλῷ γυναικὶ χαρίσασθαι μίαν
εὐχὴν, ῥῖψόν μοι τὸ ῥάκος ὅπερ ἐνδέβλησαι, ὅπως ἐμαυτὴν συ
γκαλύψω τὴν γυναικίαν ἀσθένειαν· καὶ τρέψομαι πρός σε καὶ τὰς εὐ
χάς σου κομίσομαι. τότε φρίκη καὶ φρενῶν ἔκστασις ἔλαβεν
τὸν ζωσιμᾶν ἀκούσαντα ὅτι ἐξ ὀνόματος αὐτὸν ἐκάλεσεν·
ὀξύτερος ἀνὴρ καὶ τὰ ἄγαν σοφώτατος ἐπέγνω παραυτίκα· ὅτι
οὐκ ἂν ἐξ ὀνόματος ἐκάλεσεν ὃν οὐδέποτε ἑόρακε· καὶ περὶ οὗ οὐδέπο
τε ἠκούσειν, εἰ μὴ τὸ προορατικὸν περιδήλως χαρίσματι ἐλάμ
πετο· ἐποίει γοῦν ὅμως σὺν τάχει τὸ κελευόμενον· καὶ περιε
λόμενος ὅπερ ἦν ἔχει παλαιὸν καὶ ἐρρικνωμένον ἱμάτιον· ἔρριψεν
αὐτῇ ὀπισθοφανῶς ἱστάμενος· ἡ δὲ λαβοῦσα ζώννυσιν ἑαυτὴν

ὅσον ἠδύνατο συγκαλύψασα δὲ τὰ μέρη τοῦ σώματος αὐτῆς· ἅπερ
πλέον τῶν ἄλλων καλύπτεσθαι· στρέφεται πρὸς τὸν ζωσιμᾶν καὶ φη-
σι πρὸς αὐτόν· τί σοι ἔδοξεν ἀββᾶ, ἁμαρτωλὸν θεάσασθαι γυναῖκα·
τί ζητῶν παρ' ἐμοῦ ἰδεῖν ἢ μαθεῖν τοσοῦτον κόπον οὐκ ὤκνησας ἀνα-
δέξασθαι· ὁ δὲ εἰς τὴν γῆν κλίνας τὰ γόνατα, ᾔτει λαβεῖν εὐλογίαν κατὰ
τὸ σύνηθες· ἡ δὲ καὶ αὐτὴ βάλλει μετάνοιαν· καὶ ἔκειντο ἀμφότεροι ἐν
τῇ γῇ· ἕκαστος ἐζήτει τὸν εὐλογῆσαι τὸν ἕτερον· καὶ οὐδὲν ἦν ἀκοῦσαι
παρ' ἀμφοτέρων λεγόμενον, εἰ μὴ τὸ εὐλόγησον· μετὰ δὲ πλείστης
ὥρας διάστημα, ἔφησεν ἡ γυνὴ πρὸς τὸν ζωσιμᾶν· ἀββᾶ ζω-
σιμᾶ, σοὶ τὸ εὐλογῆσαι ἁρμόζει καὶ εὔξασθαι· σὺ γὰρ τοῦ πρεσβυτερίου ἀ-
ξιώματι τετίμησαι· σὺ ἐκ πλείστων χρόνων τῷ θυσιαστηρίῳ πα-
ρέστας· καὶ πολλάκις τῶν θείων μυστηρίων μυσταγωγὸς γεγένησαι·
ταῦτα τὸν ζωσιμᾶν εἰς μείζονα φόβον καὶ ἀγῶνα ἐνέβαλλον· καὶ σὺν τρό-
μοσότερ φυτευόμενος, ἱδρῶτι περιερρεῖτο· καὶ ἔστενεν τῇ φωνῇ καὶ
ἐκόπτετο· λέγει δὲ πρὸς αὐτὴν διακεκομμένῳ καὶ συνεχεῖ τῷ ἄσθματι·
δῆλα μὲν ἡ καὶ ἐκ τοῦ ὁράσεως αὐτοῦ· ὦ μῆτερ πνευματική, ὅτι πρὸς θεὸν ἐξεδή-
μησας· καὶ τῷ πλείονι μέρει τῷ κόσμῳ ἐνέκρωσας· δηλοῖ δὲ πλέον·
τὸ δεδομένον σοι χάρισμα· τὸ οὕτως με ἐξονόματος καλέσαι· καὶ πρεσ-
βύτερον λέγειν με, οὐδὲ πώποτε θεάσασα· ἀλλ' ἐπειδήπερ ἡ χάρις οὐ-
κ ἐκ τῶν ἀξιωμάτων γνωρίζεται· ἀλλ' ἐκ τῶν ψυχικῶν χαρα-
κτηρίζεται ἄνωθεν· αὐτὴ εὐλόγησον διὰ τὸν κύριον· καὶ μετάδος εὐχὴν
τῷ δεομένῳ τῆς σῆς τελειότητος· τῇ ἐνστάσει τοίνυν παραχω-
ροῦσα τοῦ γέροντος ἔφησεν ἡ γυνή· Εὐλογητὸς ὁ θεὸς ὁ τῆς σωτηρί-
ας τῶν ἀνθρώπων κηδόμενος· τοῦ δὲ ζωσιμᾶ ἐπιφωνοῦντος τὸ ἀμήν,
ἀνέστησαν ἐκ τῆς γονυκλισίας ἑκάτεροι· καὶ φησὶν ἡ γυνὴ πρὸς τὸν γέ-
ροντα· τίνος χάριν πρὸς ἐμὲ τὴν ἁμαρτωλὸν ἐλήλυθας ἄνε +
τίνος χάριν πάσης ἀρετῆς γυμνὴν ἰδεῖν ἠθέλησας γυναῖκα· πλὴν
ἐπείπερ ἡ χάρις τοῦ ἁγίου καθωδήγησεν πῶς· ὅπως τινὰ διακο-
νίαν ἐκτελέσῃς τῷ χρόνῳ μου πρόσφορον· εἰπέ μοι πῶς
τὸ χριστιανικώτατον φῦλον πολιτεύεται σήμερον· πῶς οἱ

βασιλείας· ὥστε τῆς ἐκκλησίας ποιμένα εἶναι· ὁ δὲ ζωσιμᾶς ἔφη
σεν πρὸς αὐτήν· ἐν λόγῳ μῆτερ ἐμοὶ πνευματικὴ χ(ριστο)ῦ ἀρχαῖς γνωρίσας ταῖς
ἐρήμην ἡ τὰ θεῖα ἐμεθοδεύσατο· ἀλλὰ δέξεται ἕτερον τοὺς ἀναξίους παρά
κλησιν· καὶ εὖξαι διὰ τὸν κ(ύριο)ν ὑπὲρ τοῦ κόσμου παντός· καὶ ὑπὲρ ἐμοῦ τοῦ
ἁμαρτωλοῦ· ἵνα μὴ ἄκαρπον τὸ τῆς ἐρήμου ταύτης γένηταί μοι
διάστημα· ἐκείνη δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· σὲ μᾶλλον ἔδει ἀββᾶ
ζωσιμᾶ ἱερέως ἔχοντα τὸ ἀξίωμα, ὑπὲρ ἐμοῦ καὶ πάν
των προσεύχεσθαι· εἰς τοῦτο γὰρ αὐτὸ κέκλησαι· πλὴν ἐπειδή
περ ὑπακοὴν κελευόμεθα, τοῦτο τὸ ταχθέν μοι ὑπὸ σοῦ, πρόθυ
μος ποιήσομαι· καὶ ταῦτα εἰποῦσα στρέφεται κατὰ ἀνατολάς· καὶ τοὺς
ὀφθαλμοὺς εἰς ὕψος διάρασα καὶ τὰς χεῖρας ἐκπετάσασα· ἤρξατο προσεύ
χεσθαι ὑποψιθυρίζουσα· φωνὴ δὲ αὐτῆς οὐκ ἠκούετο ἔναρθρος·
ὅθεν οὐδὲ ζωσιμᾶς οὐδὲν τὸ τῆς εὐχῆς ἐδεδύνητο συνιέναι· ἵστα
το δὲ ὡς ἔλεγε σύντρομος εἰς τὴν γῆν νενευκώς· καὶ μηδὲν ὅλως φθεγγόμε
νος· ὤμνυε δὲ θ(εὸ)ν τοῦ λόγου προσβαλλόμενος μάρτυρα ὅτι ὡς εἶ
δεν αὐτὴν εἰς τὴν εὐχὴν ἐγχρονήσασαν, μικρὸν ἀνακύψας ἐκ τῆς
εἰς τὴν κατανεύσεως· ὁρᾷ αὐτὴν ὑψωθεῖσαν ὡς ἐν πήχην ἀπὸ τῆς
γῆς· καὶ εἰς τὸν ἀέρα κρεμαμένην προσεύχεσθαι· τοῦτο δὲ ὡς εἶ
δεν, φόβῳ πλείονι συσχόμενος· ἔρριψεν ἑαυτὸν εἰς τὸ ἔδαφος·
ἱδρῶτι περιρρεόμενος καὶ σφόδρα ταραττόμενος· καὶ μηδὲν φθέγξασθαι
ὅλως τολμῶν· καθ᾽ ἑαυτὸν δὲ μόνον λέγων τὸ κύριε ἐλέησον· κείμε
νος δὲ ἐπὶ τῆς γῆς ἐν τῷ λογισμῷ ὑπετέθη ἐσκανδαλίζετο· ὡς ὅτι
μή ποτε πνεῦμα ἐστὶ καὶ τὴν εὐχὴν ὑποκρίνοιτο· στραφεῖσα δὲ ἡ
γυνή· ἤγειρε τὸν ἀββᾶν ταῦτα φάσκουσα· τί σε ἀββᾶ οἱ λογισ
μοί σου ταράττουσι, σκανδαλίζεσθαι ἐπ᾽ ἐμοί· ὡς ὅτι πνεῦμα ὑπάρ
χω καὶ τὴν εὐχὴν ὑποκρίνομαι· πληροφορήθητι ἄνθρωπε ἁμαρτω
λὸν μὲν γυναῖκα πλὴν τῷ βαπτίσματι τῷ ἁγίῳ τετειχισμένην καὶ
πνεῦμα οὐκ εἰμί· ἀλλὰ γῆ καὶ σποδὸς καὶ τὸ ὅλον σάρξ· μηδὲν πν(ευματ)ικὸν
πώποτε ἐννοήσασα· καὶ ἅμα τοῖς λόγοις σφραγίζει ἑαυτὴν τῷ
σημείῳ τοῦ σταυροῦ· μέτωπόν τε καὶ ὄμματα· χείλη τε καὶ τὸ στῆθος·

λέγουσα οὕτως· ὁ δὲ ἀββᾶς ζωσιμᾶς, ἐξελθεῖται ἡμᾶς ἀπὸ τοῦ σωμη-
ροῦ· καὶ τῆς ἑνεδρας αὐτοῦ· ὅτι πολλὴ καθ' ἡμῶν ἡ ἰσχὺς αὐτοῦ· ταῦ-
τα οἱ μὴ ἀκούσας ὁ γέρων καὶ θεασάμενος· ἔρριψεν ἑαυτὸν ἐπὶ τὴν γῆν,
καὶ ἐπελάβετο τῶν ποδῶν αὐτῆς λέγων σὺν δάκρυσιν· ὁρκίζω σε
κατὰ τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν τοῦ ἐκ παρθένου τεχθέντος· δι' ὃν
ταύτην ἠμφίεσαι τὴν γύμνωσιν· δι' ὃν τὰς σάρκας ταύτας οὕτω κα-
τεδαπάνησας· μηδέν με κρύψῃς ἀπὸ τοῦ δούλου σου, τίς πόθεν
καὶ πότε καὶ ποίῳ τρόπῳ τὴν ἔρημον ταύτην κατῴκησας· μηδὲ ἢ
κρύψῃς ἀπ' ἐμοῦ τῶν κατὰ σέ· ἀλλὰ πάντα μοι διήγησαι· ὅ-
πως τοῦ θεοῦ τὰ μεγαλεῖα ποιήσῃς καταδῆλα· σοφία γὰρ κεκρυμ-
μένη καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις καθὼς γέ-
γραπται· εἰπέ μοι πάντα διὰ τὸν κύριον· οὐ γὰρ καυχήσεως ἕνεκ-
λέξῃς ἢ ἐπιδείξεως· ἀλλ' ἵνα με πληροφορήσῃς τὸν ἁμαρτω-
λὸν καὶ ἀνάξιον· πιστεύω γὰρ τῷ θεῷ ᾧ ζῇς καὶ ᾧ πολιτεύῃ· ὅτι
τούτου ἕνεκεν ἐκδοθῆναι τὴν ὁδὸν ἤχθην τὴν ἔρημον, ὅπως τὰ κατὰ
σὲ ὁ θεὸς ποιήσῃ καταδῆλα· οὐκ ἔστι ποιῆσαι τῆς ἡμετέρας δυνά-
μεως τοῖς κρίμασι τοῦ θεοῦ διαμάχεσθαι· εἰ γὰρ μὴ ἦν φίλον χριστῷ
τῷ θεῷ ἡμῶν τὸ γνωσθῆναί σε καὶ ὅπως ἠγωνίσω, οὔτε σε ἂν
τινι συνεχώρησεν ὀφθῆναι ὑπό τινος οὐδὲ ἐμὲ τοσαύτην ὁδὸν δια-
νύσαι ἐνίσχυσεν· τὸν μηδέποτε προθέμενον ἢ δυνάμενον, ἐξελ-
θεῖν τοῦ κελλίου μου· ταῦτα δὲ πολλὰ καὶ ἕτερα φήσαντος τοῦ ἀββᾶ
ζωσιμᾶ· ἐγείρει αὐτὸν ἡ γυνὴ καὶ φησὶν πρὸς αὐτόν, αἰσ-
χύνομαι ἀββᾶ μου συγχώρησον, τὴν αἰσχύνην εἰπεῖν τῶν ἔργων
μου· πλὴν ἐπειδὴ περ γυμνὸν μου τὸ σῶμα τεθέασαι, ἀπογυμνώ-
σω λοιπὸν καὶ τὰς πράξεις μου· ἵνα γνῷς ὁποίας αἰσχύνης καὶ ἐντρο-
πῆς ἡ ψυχή μου πεπλήρωται· οὐ γὰρ ὡς ὑπέλαβες τοῦ μὴ καυχή-
σασθαι ἕνεκεν τὰ κατ' ἐμὲ οὐκ ἤθελον ἐξηγήσασθαι ἢ τὸ ἁμαρτωλὸν
σκεῦος ἐκλογῆς τοῦ διαβόλου γεναμένη· οἶδα δὲ ὅτι ἐὰν ἄρξω-
μαι τῆς κατ' ἐμαυτὴν ἐξηγήσεως, φεύξῃ ἀπ' ἐμοῦ, ὡς φεύγει τις
ἀπὸ ὄφεως· μὴ φέρων ἀκοῦσαι τοῖς ὠσὶν, ἅπερ ἀπρεπῆ πέπραχα·

λέγω δὲ ὅμως μηδὲν ὑστερῶν, ὡς αὐτὸς σιωπῶ ὅλον, ἐξορκοῦσα σε πρότερον·
μὴ διαλιπεῖν ὑπὲρ ἐμοῦ προσευχόμενος· ὅπως ἂν εὕρω μοι ἔλεος ἐν τῇ
ἡμέρᾳ τῆς κρίσεως· τοῦ δὲ γέροντος ἀκατασχέτως δακρύοντος· ἤρξατο
ἡ γυνὴ τῆς καθ' ἑαυτὴν ἐξηγήσεως οὕτως φάσκουσα· ἐγὼ ἀδελφὲ πατρί-
δα μὲν ἔσχον τὴν Αἴγυπτον· ζώντων δὲ τῶν γονέων μου, δωδέκατον μὲ(ν)
ἔτος ἄγουσα, τὴν πρὸς ἐκείνους στοργὴν ἀθετήσασα, εἰς Ἀλεξάν-
δρειαν· καὶ ὅπως μὲν τὴν ἀρχὴν τῆς ἐμαυτῆς παρθενίας διέφθειρα,
καὶ ὅπως ἀκρατῶς καὶ ἀκορέστως εἶχον περὶ τὸ πάθος τῆς μίξεως, αἰσχύνο-
μαι ἐννοῆσαι λέγειν· τοῦτο γὰρ νῦν φράσω ὑπάρχει συντομώτερον· ἐκείνως
δὲ συντόμως ἐρῶ, ἵνα τὸ ἐμπαθές μου γνῷς καὶ φιλήδονον· δέκα ἑπτὰ καὶ
πρὸς ἐνιαυτοὺς συγχώρησον με διετέλεσα· δημοσίᾳ τῷ ὄχλῳ προκειμέ-
νη, τῆς ἀσωτίας ὑπέκκαυμα· οὐ δώρων ἕνεκα τινὸς μὰ τὴν ἀλήθειαν ἕνε-
κεν· οὐδὲ γάρ τι μισθὸν ἐδεχόμην πολλάκις θελόντων μοι παρέχειν· τοῦ-
το δὲ ἐπενόησα, ὅπως πλείους ἀσώτους περιτρέχοντας δωρεὰν ἐ-
κτελοῦσι τὸ ἐμὸν καταθύμιον· μηδὲν γὰρ νομίσῃς με ὡς εὐποροῦσα
μὴ δέχεσθαι· προσαιτοῦσα γὰρ διέζων, ἢ καὶ πολλάκις στιππύον νήθου-
σα, ἐποριζόμην τὴν τροφήν· ἐπιθυμίαν δὲ εἶχον ἀκόρεστον, καὶ ἀ-
κατάσχετον ἔρωτα, τοῦ διαπαντὸς ἐν βορβόρῳ κυλίεσθαι· καὶ τοῦ-
τό μοι τὸ ζῆν ἦν τε καὶ ἐνομίζετο· τὸ διαπαντὸς ἐκτελεῖν τὴν ὕβριν
τῆς φύσεως. τοῦτον μοι βιούσῃ τὸν τρόπον· ὁρῶ ἐν τινὶ τοῦ θέ-
ρους καιρῷ· ἀνδρῶν Λιβύων καὶ Αἰγυπτίων ὄχλον πολλὴν τρεχόντων·
ἐπὶ τὴν θάλασσαν· ἠρώτησα δέ τινα ἀπό τε τῶν παρατυχόντα μοι·
ποῦ σπουδάζουσιν ἄρα οἱ ἄνδρες οὗτοι οἱ τρέχοντες· ὁ δὲ πρὸς
με ἀπεκρίνατο· εἰς Ἱεροσόλυμα ἀπαντῶσιν ἀπέρχονται· τῆς ὑψώσεως
ἕνεκεν τοῦ τιμίου σταυροῦ· ἥτις μετ' ὀλίγας ἡμέρας ὡς θεσμὸς ἐπιτελεῖσθαι· ἔ-
φην δὲ πρὸς ἐκεῖνον ἐγώ· ἆρα γε ἀναλάβοιεν με σὺν αὐτοῖς, εἰ ἐπα-
κολουθῆσαι θελήσω; ὁ δὲ πρός με· εἰ ἔχεις τὸν ναῦλον καὶ τὴν δα-
πάνην, οὐδεὶς ὁ κωλύων σε· εἶπον δὲ πρὸς αὐτόν· ὄντως ἀδελφὲ ναῦλον
ἢ δαπάνην οὐ κέκτημαι· ἀπέρχομαι δὲ κἀγὼ καὶ ἀνέρχομαι εἰς ἓν τῶν
πλοίων ὧν ἐμισθώσαντο· καὶ θρέψουσί με ἔχοντες, κἂν μὴ θέλουσι· σῶ-

μου γὰρ ἔχω καὶ τοῦτο ἄν τι μᾶλλον λογισθῇ [illegible] ἀνόσιον· διὰ τοῦτο δὲ καὶ θέλομαι
πελάθειν ἀββᾶ μου συγχώρησον· ἵνα σχῶ πολλοὺς ἐραστάς μοι ἐν ἑτοίμῳ
τοῦ πάθους μου· εἰ πῶς σοι ἀββᾶ [illegible] μετὰ φωνῆς τὴν
ἀσχημοσύνην τῶν ἔργων μου; φρίττω γὰρ ἀδελφὲ ὁ κύριός μου, μολῦναι
καὶ σὲ καὶ τὸν ἀέρα τοῖς λόγοις μου· ὁ δὲ Ζωσιμᾶς βρέχων δάκρυσι τὸ ἔδα-
φος ἀπεκρίνατο· λέγε διὰ τὸν κύριον ὦ μῆτέρ μου λέγε καὶ μὴ ἐκκόψῃς τὸν εἱρ-
μὸν τῆς τοιαύτης ἐπωφελοῦς διηγήσεως· ἡ δὲ καὶ αὖθις ἀναλαβοῦ-
σα τοῖς προτέροις προστέθηκε· ταῦτα ἐκεῖνος ὁ νεανίσκος
ἀκούσας τὸ ἐχθρὸν τοῦ ῥήματός μου· γέλωτα ἐχώρησε· ἐγὼ δὲ ῥί-
ψασα τὴν ἠλακάτην ἣν περιεβάσταζον, [illegible]
μου βαστάζουσα· ἔτρεχον πρὸς τὴν θάλασσαν ἔνθα ἀπὸ οὓς τρέχον-
τας ἔβλεπον τρέχοντας· καὶ βλέπω νεανίσκους τινὰς δὲ τὸν αἰγια-
λὸν ἑστῶτας ὡς οἱ δέκα τὸν ἀριθμὸν ἢ καὶ πλείους· σφρίγοντας τοῖς
σώμασιν ἅμα καὶ τοῖς κινήμασιν, οἳ καὶ ἱκανοί μοι φανέντας πρὸς
τὸ ζητούμενον· ὡς δὲ καὶ ἄλλους συμπλόους τηρας ἐμένομεν· ἦσαν γὰρ
καὶ ἕτεροι περ ἀνελθόντας δὲ τὰ πλοιάρια· ἀναιδῶς δὲ οὕτως ὡς
ἦν μοι ἔθος δεμένους ἐμαυτὸν [illegible]· λάβετε ἔφην καὶ με ὅ-
που ἀπέρχεσθαι· οὐκ ἔχω γὰρ ὑμῖν εὑρεθῆναι ἀδόκιμον· ἀλλὰ καὶ
ἑτέρους [illegible] αἰσχροὺς [illegible] ῥήματα, ἐκίνησα πάντας δὲ
γέλωτα· οἱ δὲ τὸ πρὸς ἀναιδὲς [illegible] ἐβόων τὰ
ἀνόσια· δὲ ὅπερ εἶχον πλοιάριον ἕτοιμον· καὶ [illegible] μοι γὰρ ἐν τού-
σου τούτω [illegible] πρὸς ἄνεμον· ἐκάθεν τε τοῦ πλοῦ
ἀπηρξάμεθα· τὰ δὲ ἐντεῦθεν πῶς διηγήσομαι ἀββᾶ· ποία γλῶσ-
σα ἐξείπη, ποία ἀκοὴ παραδέξασθε, τὰ ἐν τῷ πλοίῳ καὶ τὰ ἐν τῇ ὁδοι-
πορίᾳ γενόμενα· ἅπερ μὴ θέλοντας ποιοῦμεν τοὺς ἀθλίους ἠναγκα-
ζον ἐγὼ ἡ ταλαίπωρος· οὐκ ἔστιν εἶδος ἀσελγείας, ῥητόν τε καὶ ἄρρη-
τον, ὅπερ οὐ γέγονα τοῖς ταλαιπώροις διδάσκαλος· ἐγὼ τοίνυν
πληροφορήθητι καταπλήττομαι· πῶς ὑπήνεγκεν ἡ θάλασσα
τὰς ἐμὰς ἀσωτίας· πῶς οὐκ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ ζῶ-
σαν με ᾅδου κατήγαγεν, τὴν τοσαύτας ψυχὰς παγιδεύσασαν.

ἀλλ᾽ ὡς ἔοικεν ὁ θεὸς τὴν μὲν ἐμὴν ἐκζητῶν μετάνοιαν· οὐ γὰρ θέλει τὸν θάνατον
τοῦ ἁμαρτωλοῦ· ἀλλὰ μένει μακροθυμῶν τὴν ἐμὴν ἐπιστροφὴν ἐκδεχόμε-
νος· οὕτω τοίνυν καὶ μετὰ τοσαύτης σπουδῆς καὶ ὅσας μὲν ἡμέρας πρὸ τῆς
ἑορτῆς ἐν τῇ πόλει διέτριβον τοῖς ὁμοίοις ἐχρησάμην, μᾶλλον δὲ χείροσι·
οὐ γὰρ μόνοις ἠρκέσθην τοῖς νεανίσκοις οἷς κατὰ θάλασσαν ἦρχον κατὰ
τὴν ὁδὸν ὑπουργοῦντάς μοι, ἀλλὰ πολλοὺς καὶ ἄλλους ἠχρείωσα· πολί-
τας τε καὶ ξένους εἰς τοῦτο συνελαύνουσα· ὅτε δὲ ἔφθασεν ἡ ἡμέρα τῆς ὑψώσεως ἑορ-
τὴ τοῦ σταυροῦ, ἐγὼ μὲν οὕτω καθάπερ τὸ πρὶν περιῄειν ψυχὰς νέων ἀγρεύ-
ουσα. Ἔβλεπον δὲ ὄρθρου βαθέως πάντας εἰς τὴν ἐκκλησίαν συντρέ-
χοντας· καὶ ἀπελθοῦσα κἀγὼ ἔτρεχον σὺν τοῖς τρέχουσιν· ἦλθον οὖν σὺν αὐτοῖς
εἰς τὰ τοῦ οἴκου προαύλια· ὅτε δὲ ἦλθεν ἡ ὥρα τῆς θείας ὑψώσεως, ὠθοῦσα καὶ
ἀντιωθουμένη ἐβιαζόμην τὴν εἴσοδον εἰσελθεῖν σὺν τῷ ὄχλῳ σπουδάζουσα·
καὶ ἕως μὲν τῆς θύρας δι᾽ ἧς λοιπὸν εἰς αὐτὸν τὸν ναὸν τις εἰσῄει ἐν ᾧ τὸ ζω-
οποιὸν ξύλον ἐδείκνυτο, σὺν μόχθῳ πολλῷ καὶ θλίψει προσήγγιζον
ἡ ταλαίπωρος· ὅτε δὲ τὴν φλιὰν τῆς θύρας ἐπάτησα, οἱ μὲν ἄλλοι
πάντες ἀκωλύτως εἰσῄεσαν· ἐμὲ δὲ θεία τις ἐκώλυεν δύναμις μὴ συγ-
χωροῦσα τὴν εἴσοδον εἰσελθεῖν· αὖθις γὰρ ὠθουμένη καὶ ἀπεξωσμένη
καὶ μόνην με πάλιν ὁρῶσα εἰς τὰ προαύλια· νομίσασα δὲ ἐκ γυναικείας ἀσθε-
νείας τοῦτο συμβαίνειν μοι· πάλιν ἐμαυτὴν ἑτέροις ἐγκαταμίξασα
ἐβιαζόμην ὡς οἷόν τε παραγκωνιζομένη καὶ ἐμαυτὴν ὠθοῦσα τοῦ
εἰσελθεῖν· ἀλλ᾽ ἐκοπίων εἰς μάταια· καὶ αὖθις γὰρ ἡνίκα τῆς φλιᾶς ὁ
πούς ἐπέβη ὁ ἄθλιος· τοὺς μὲν ἄλλους ἅπαντας ὁ ναὸς ἐδέχε-
το, μηδενὸς ἐμποδίζοντος· ἐμὲ δὲ μόνην τὴν τάλαιναν οὐκ ἐδέχετο·
ἀλλ᾽ ὥσπερ στρατιωτικοῖς πλήθεσι τεταγμένοις εἰς τοῦτο μοι προσ-
ταχθεῖσι ἀποκλεῖσαι τὴν εἴσοδον, οὕτω με τις ἀθρόα διεκώλυεν δύ-
ναμις· καὶ πάλιν εἰς τὰ προαύλια· τοῦτο τρίτον καὶ τέταρ-
τον παθοῦσα τε καὶ ποιήσασα, ἀποκαμοῦσα λοιπὸν καὶ μηκέτι ὠ-
θεῖν καὶ ἀντωθεῖσθαι λοιπὸν ἰσχύουσα· ἐπεπόνθει γάρ μου τὸ σῶμα ἐκ τῆς βί-
ας κατάκοπον· ἐνδοῦσα λοιπὸν ἀνεχώρησα· καὶ ἔστην ἐν τινι γωνίᾳ
τῆς αὐλῆς τοῦ ναοῦ· καὶ μόλις ποτὲ εἰς νοῦν ἦλθον τῆς αἰτίας τῆς κω-

λυούσης με ἀφ' ὧν τὸ ζωοποιὸν ξύλον τετέμημαι. ἢ ταῦτα γὰρ τῶν ὀ-
φθαλμῶν τῆς καρδίας μου λόγος σωτήριος· ὑποδεικνύς μοι ὅτι ὁ βόρ-
βορος τῶν ἔργων μου ὁ καὶ τὴν εἴσοδον ἀποκλείων μοι. ἠρξάμην
τοίνυν κλαίειν καὶ ἀποδύρεσθαι καὶ τὸ στῆθος τύπτειν, ἐν στεναγμοῖς ἐκ
βάθους τῆς καρδίας μου ἀναφέρουσα. κλαίουσα δὲ ὁρῶ ἐπάνωθεν τοῦ
τόπου ἐν ᾧ ἱστάμην, ἐξ ἀνατολῶν τὴν εἰκόνα τὴν πανάγιαν ἑστῶσαν
τῆς ἁγίας παρθένου θεοτόκου· καὶ φημὶ πρὸς αὐτὴν ἀκλινῶς ἀτενίσασα·
παρθένε δέσποινα θεοτόκε· ἡ τὸν θεὸν λόγον κατὰ σάρκα γεννήσασα· οἶδα
μὲν οἶδα ὡς οὐκ εὐπρεπὲς οὐδ' εὔλογον τὴν οὕτω ῥυπαρὰν καὶ
τὴν οὕτως πανάσωτον, εἰκόνα καθορᾶν σου τῆς ἁγνῆς τῆς ἀειπαρθέ-
νου· σοῦ τὴν σῶμα καὶ ψυχὴν ἐχούσης καθαρὰν καὶ ἀμόλυντον. δί-
καιον γάρ ἐστιν ἐμὲ τὴν οὕτως ἄσωτον, ὑπὸ τῆς σῆς καθαρότητος
καὶ βασιλείας μισεῖσθαι καὶ βδελύττεσθαι. πλὴν ἐπειδὴ ὥσπερ ἤκουσα
διὰ τοῦτο γέγονεν ὁ θεὸς ὃν ἐγέννησας ἄνθρωπος, ὅπως καλέσῃ τοὺς ἁμαρ-
τωλοὺς εἰς μετάνοιαν· βοήθησόν μοι τῇ μόνῃ μὴ ἐχούσῃ τινὰ τὴν
βοήθειαν. ἐπίταξον κἀμοὶ συγχωρηθῆναι τῆς ἐκκλησίας τὴν εἴσοδον·
μὴ ἐστερήσῃς με τὸ τίμιον ξύλον ἰδεῖν· ἐν ᾧ κατὰ σάρκα προσεπάγη ὁ
θεὸς ὃν ἐγέννησας· τὸ αἷμα τὸ ἴδιον ὑπὲρ ἐμοῦ δέδωκεν εἰς ἀντίλυτρον·
ἐπίταξον ὦ δέσποινα κἀμοὶ τὴν θύραν ἀνοιχθῆναι τῆς θείας τοῦ σταυροῦ
προσκυνήσεως· καὶ σὲ δίδωμί μοι τῷ ἐκ σοῦ τεχθέντι θεῷ ἐγγυητὴν
ἀξιόχρεων, ὡς οὐκέτι τοῦ λοιποῦ τὴν σάρκα ταύτην τὴν ἐμὴν ὑβρίσω, δι'
αἰσχρᾶς ἧς δήποτε μίξεως. ἀλλ' ἡνίκα τὸ ξύλον τοῦ σταυροῦ
τοῦ υἱοῦ σου θεάσομαι, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν εὐθὺς ἀπο-
τάξομαι· καὶ αὐτίκα ἐξέρχομαι ὅπου δ' ἂν αὐτὴ ὡς ἐγγυητὴς τῆς σωτηρίας
ὑφηγήσῃ καὶ ὁδηγήσῃς με. ταῦτα εἰποῦσα· καὶ ὥσπερ τινὰ πληροφο-
ρίαν λαβοῦσα τὸ τῆς πίστεως ἔμπυρον· τῇ εὐσπλαγχνίᾳ τῆς θεοτόκου
θαρρήσασα· κινοῦμαι αὐτὴν ἐξ ἐκείνου τοῦ τόπου, ἐν ᾧ ἑστῶσα ἐ-
ποιούμην τὴν δέησιν· καὶ ἔρχομαι πάλιν καὶ τοῖς εἰσιοῦσιν ἐμαυτὴν
κατέμιξα· καὶ οὐκέτι ἦν τίς ὁ ὠθῶν με ἢ ὁ ἀντωθούμενος· οὐδεὶς ὁ κω-
λύων με τοῦ πλησίον γενέσθαι τῆς θύρας· δι' ἧς εἰς τὸν ἅγιον εἰσῄεσαν

ἔσαν· ἔλαβε μὲν οὖν μοι φρίκη καὶ ἔκστασις· καὶ ὅλη δι᾽ ὅλου ἐκλονού-
μην καὶ ἔτρεμον· εἶτα παρθαρσήσασα ἧκον τῆς θύρας, τὴν ἕως τότε ἀσ-
φαλισμένην μοι· ὡσανεὶ θεία δύναμις ἡ πρότερόν με κωλύουσα· νῦν
ἐμοὶ πρόοδον ἐποίει τὴν εἴσοδον· οὕτως ἀκωλύτως εἰσῆλθον. καὶ οὕτως ἔνδον
τοῦ ἁγίου ὤφθην γενομένη· τῆς τε γὰρ θέας τοῦ ζωοποιοῦ σταυροῦ κατηξιώθην
καὶ εἶδον τοῦ θεοῦ τὰ μυστήρια· καὶ ὡς ἕτοιμος δέχεσθαι τὴν μετά-
νοιαν· ῥίψασα τοίνυν ἐμαυτὴν ἐπὶ τῆς γῆς· καὶ τὸ ἅγιον ἐκεῖνο προσ-
κυνήσασα ἔδαφος· ἐπρεχόμην ἐξιοῦσα πρὸς τὴν ἐγγυήσασαν ἐλθεῖν με
μέσθαι σπουδάζουσα· εἶτα μὲν οὖν τοίνυν ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ
τὸ τῆς ἐγγυήσεως ὑπεγράφη μοι χειρόγραφον· καὶ τὰ γόνυ κλίνασα ἔμ-
προσθεν τῆς ἁγίας ἀειπαρθένου καὶ θεοτόκου· τοῖς τοιοῖσδε ἐ-
χρησάμην τοῖς ῥήμασιν· σὺ μὲν ὦ φιλάγαθε δέσποινα τὸ
σὸν ἐπ᾽ ἐμοὶ ἐνεδείξω φιλάνθρωπον· σὺ τῆς ἀναξίας οὐκ ἐβδελύξω τὴν
δέησιν· εἶδον δόξαν ἣν δικαίως οὐχ ὁρῶμεν οἱ ἄσωτοι· δόξα θεῷ τῷ
διὰ σοῦ δεχομένῳ τῶν ἁμαρτωλῶν τὴν μετάνοιαν· τί γὰρ
ἔχω πλέον ἡ ἁμαρτωλὸς ἐννοῆσαι ἢ φθέγξασθαι· καιρός ἐστι δέσ-
ποινα πληρωθῆναι λοιπὸν τὴν ἐμὴν ἐγγύην ἣν ἐγγυήσω τὰ σύμφωνα·
νῦν ὅπου κελεύεις ὁδήγησόν με· νῦν γενοῦ μοι μᾶλλον τῆς σωτηρίας διδάσ-
καλος· χειραγωγοῦσά με πρὸς τὴν ὁδὸν τὴν εἰς μετάνοιαν ἄγουσαν·
ταῦτα ἐπιλέγουσα, ἤκουσά τινος πόρρωθεν λέγοντος· ἐὰν τὸν
Ἰορδάνην περάσῃς καλὴν εὑρήσεις ἀνάπαυσιν· ἐγὼ δὲ τῆς φωνῆς
ταύτης ἀκούσασα, ἔκραξα καὶ τῇ θεοτόκῳ· δέσποινα δέσποινα
μή με καταλίπῃς με· καὶ ταῦτα ἀκούσασα· ἐξῆλθον τοῦ νάρθηκος
τοῦ ναοῦ· καὶ σπουδαίως ἐβάδιζον· ἐξερχομένης δέ μου, καὶ θεωρα-
κώς με τις· τρεῖς ἐπιδίδωσί μοι φόλλεις λέγων· δέξαι ταῦτα
ἀμμά· ἐγὼ δὲ τὰ δοθέντα μοι κομίσασα· τρεῖς ἐξ αὐτῶν ἄρ-
τους ἠγόρασα· καὶ τούτους ἔλαβον καὶ εὐλογίας ἐφόδιον· ἠρώτη-
σα δὲ τὸν τοὺς ἄρτους πιπράσκοντα· πόθεν ἡ ὁδὸς κα-
θέστηκεν ἡ ἐπὶ τὸν Ἰορδάνην ἀπάγουσα· καὶ μαθοῦσα τὴν πύλην
τῆς πόλεως· τὴν ἐπ᾽ ἐκεῖνο τὸ μέρος ἐξάγουσαν, ἐξῆλθον τρέχουσα

καὶ τῆς ὁδοιπορίας εἰχόμην δακρύουσα· ἐρωτῶσα δὲ, φθάνουσα
τὴν ἐρώτησιν· καὶ τὸ λοιπὸν τῆς ἡμέρας ἅπαν ὁδοιπορήσα-
σα· ἦν γὰρ τρίτη ὥρα τῆς ἡμέρας· ὅτε τὸν σταυρὸν ἐθεασάμην
ὡς εἰκάζω· τοῦ ἡλίου δὲ λοιπὸν κλίναντος ἐπὶ δυσμὰς καταλα-
βὼν τὸν ναὸν τοῦ ἁγίου Ἰω(άννου) τοῦ Βαπτιστοῦ τὸν κείμενον ἐγγίστα τοῦ
Ἰορδάνου· καὶ πρότερον ἐν τῷ ναῷ προσκυνήσασα κατῆλθον εἰς
τὸν Ἰορδάνην παραυτίκα· καὶ πρόσωπον καὶ χεῖρας ἐξ ἐκείνου τοῦ
ἁγίου ὕδατος ἔβρεξα· μετέλαβον δὲ τῶν ἀχράντων καὶ ζωοποι-
ῶν μυστηρίων ἐν τῷ ναῷ τοῦ προδρόμου· καὶ τοῦ ἑνὸς τῶν ἄρ-
των τὸ ἥμισυ ἔφαγον· καὶ ἐκ τοῦ ὕδατος τοῦ Ἰορδάνου πιοῦσα
ἐπὶ τῆς γῆς ἐν ταύτῃ τὴν νύκτα κατεκλίθην· τῇ δὲ ἐπαύριον εὑ-
ροῦσα μικρὸν ἐκεῖσε πλοιάριον· ἐπὶ τὸ μέρος τὸ ἕτερον γε-
γέρωμαι· καὶ πάλιν ἐζήτησα τὴν ὁδηγὸν ὁδηγῆσαί μοι ὅπου ἂν αὐ-
τῇ ἐφαίνετο ἀρεστόν· γέγονα τοίνυν κατὰ ταύτην τὴν ἔρημον· καὶ ἐξ ἐκείνου
μέχρι τῆς σήμερον ἐνταῦθα αὐλίζομαι προσδεχομένη τὸν Θ(εὸ)ν
τὸν ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος τοὺς ἐπιστρέφοντας πρὸς αὐ-
τὸν διασώζοντα· ὁ δὲ Ζωσιμᾶς ἔφη πρὸς αὐτήν· πόσα δὲ ἔτη
σιν ὦ κυρία μου ἐξ ὅπερ ἐς ταύτην αὐλίζῃ τὴν ἔρημον· ἀπεκρίθη
ἡ γυνή· τεσσαράκοντα ἑπτὰ ἔτη ὡς εἰκάζω ἀφ' οὗ ἐξ ὅτου τῆς ἁγί(ας)
ἐξελήλυθα πόλεως· εἶπε δὲ Ζωσιμᾶς· καὶ τί εὑρίσκεις ἢ εὑρίσκεις
ὦ κυρία μου εἰς τροφήν· ἔφη δὲ ἡ γυνή· δύο μὲν ἥμισυ ἄρτους
τὸν Ἰορδάνην ἐπεράσασα ἔφερον· οἵτινες ξηρανθέντες ἀπελι-
θώθησαν· καὶ μικρὸν μικρὸν ἐπὶ χρόνοις ἐσθίουσα διετέλεσα·
εἶπε δὲ Ζωσιμᾶς· καὶ οὕτως ἀπόνως παρῆλθες τοσοῦτον χρόνου
τὸ διάστημα, μηδὲν τῆς ἀθρόας μεταβολῆς ταραττούσης σε; ἀ-
πεκρίθη ἡ γυνή· πρᾶγμά με ἠρώτησας ἀββᾶ Ζωσιμᾶ· ὅπερ
φρίττω λέγουσα· ἐὰν γὰρ ἔλθω εἰς ἀνάμνησιν τῶν τοσούτων κιν-
δύνων ὧνπερ ὑπέμεινα· καὶ τῶν δεινῶν λογισμῶν τῶν ὀχλησάν-
των με, φοβοῦμαι μήπως καὶ αὖθις ὑπ' αὐτῶν ἐμβληθήσομαι·
εἶπε δὲ Ζωσιμᾶς πρὸς αὐτήν· μηδὲν ἐάσῃς ὦ κυρία μου ὅπερ

μὴ ἀπαιτήσῃς με· ἅπαξ γὰρ εἰς τοῦτο καταφθάσασα τάξεως· ἀπαν
τα δὴ ἀπαραιτήτως διδάξαι με. ἡ δὲ πρὸς αὐτόν· πίστευσόν μοι ἀ
ββᾶ, δέκα καὶ ἑπτὰ ἔτη εἰς ταύτην περιῆλθον τὴν ἔρημον· θηρσὶν
ἀνημέροις τοῖς ἀλόγοις ἐπιθυμίαις πυκτεύουσα. ἡνίκα γὰρ τρο
φῆς μεταλαμβάνειν ἐπεχείρουν, εὐθέως ἐπεθύμουν τὰ κρέα καὶ τοὺς ἰ
χθύας οὓς εἶχεν ἡ Αἴγυπτος· ἐπεθύμουν τοῦ οἴνου τὴν πόσιν τὸ ἐμοὶ κα
ταθύμιον· πολλῷ γὰρ οἴνῳ ἐχρώμην, ἡνίκα ἐν τῷ κόσμῳ διέτρι
βον. ἐνταῦθα δὲ οὐδὲ ὕδατος ὅλως ἀπογεύσασθαι ἔχουσα, δεινῶς ἐ
φλεγόμην καὶ τὴν ἀνάγκην οὐκ ἔφερον. ᾀσμάτων δέ μοι καὶ τῶν πορνικῶν
ᾀσμάτων ἐπιθυμία παράλογος· δεινῶς με ἐκταράττουσα καὶ ἀνα
πείθουσα ᾄδειν τὰς ᾠδὰς τῶν δαιμόνων ἅπερ ἐμεμαθήκειν·
εὐθὺς δὲ δακρύουσα καὶ τῇ χειρὶ τὸ στῆθος μου τύπτουσα, ἐμαυτὴν ἀ
νεμίμνησκον, τῶν συνθηκῶν ὧν ἐθέμην ἐξερχομένη κατὰ τὴν
ἔρημον· ἐγενόμην δὲ τῷ λογισμῷ πρὸς τὴν εἰκόνα τῆς παναγίας
θεοτόκου τῆς ἀναδόχου μου· κἀκείνην προσέκλαιον ἐκδιῶξαι τοὺς
λογισμοὺς αἰτοῦσα· τοὺς οὕτω τὴν ἀθλίαν μου ψυχὴν κατατρυχον
τας. ὅτε δὲ ἀρκούντως ἐδάκρυσα καὶ τὸ στῆθος ἔτυψα· φῶς ἔβλεπον
πάντοθεν περιαστράπτον με· καὶ τὸ ἐντεῦθεν λοιπὸν γαλήνη
τις ἀντὶ τῆς τρικυμίας ἐγένετο. τοὺς δὲ λογισμοὺς τοὺς εἰς πορ
νείαν αὖθις ὠθοῦντάς με, πῶς σοι, ἀββᾶ, διηγήσομαι; πυρὶ δὲ
ἔνδοθεν τῆς καρδίας τῆς ταλαίπνης ἐμῆς ἥπτετο· καὶ δι' ὅλου αὐτὴν ἐξέ
φλεγεν, καὶ πρὸς ἐπιθυμίαν ἠρέθιζε μίξεως. εὐθὺς δὲ ἡνίκα μοι
λογισμὸς τοιοῦτος προσέβαλλεν, ἔρριπτον ἐμαυτὴν εἰς τὴν
γῆν· καὶ τὸ ἔδαφος τοῖς δάκρυσιν ἔβρεχον· αὐτὴν μὲν παρεῖναι
μοι τὴν ἐγγυήσαμένην μοι νομίζουσα· ὥσπερ παραβαθεῖσαν δικά
ζουμένην με καὶ πικρὰς τῆς παραβάσεως εἰσπράττουσαν· καὶ οὐ πρό
τερον τοῖς γῆς ἀνιστάμην ἀπὸ τῆς εἰς τὴν κατάπτωσιν τάξεως· νυχθή
μερον πολλάκις διερχομένη, ἕως ὅτε μοι τὸ φῶς ἐκεῖνο τὸ γλυκὺ
περιέλαμψεν· καὶ τοὺς ἐνοχλοῦντάς μοι ἐδίωξεν. λοιπὸν ἀεὶ
τὸ ὄμμα τῆς διανοίας μου πρὸς τὴν ἐγγυητὴν ἀκαταπαύστως

ἀνέπεμπον· αἰτοῦσα βοηθεῖν τῇ κινδυνευούσῃ καὶ ἀπολλυμένῃ τῷ πε-
λάγει· καὶ τὴν βοηθὸν εἶχον τῆς ἐρήμου αὐτὴν τὴν ὑπερφυᾶ ἀνθρώπων καὶ τῆς
μετανοίας συνήγορον· καὶ οὕτω δὴ ἦλθον τῶν δεκαεπτὰ ἐτῶν τὸ δι-
άστημα, μυρίοις κινδύνοις προσομιλήσασα· ἐξ ἐκείνου δὲ μέχρι τῆς
σήμερον ἡ βοηθός μου παρέστηκέ μοι ἐν πᾶσι καὶ διὰ πάντων χειραγω-
γοῦσά με· εἶπε δὲ Ζωσιμᾶς πρὸς αὐτήν· οὐκ ἐδεήθης λοιπὸν τροφῆς
ἢ ἐνδύματος, ὦ κυρία μου; ἡ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· τοὺς μὲν ἄρ-
τους ἐκείνους καθάπερ εἶπον ἀναλώσασα τὰ δεκαεπτὰ ἔτη· διετρά-
φην βοτάναις καὶ τοῖς λοιποῖς τοῖς εὑρισκομένοις κατὰ τὴν ἔρημον· τὸ
δὲ ἱμάτιον ὅπερ εἶχον τὸν Ἰορδάνην περάσασα, διαρυέν, δεδαπά-
νηται· πολλὴν οὖν ἐκ τοῦ κρύους καὶ αὖθις τῆς τοῦ θέρους φλογώσεως ἀνά-
γκην ὑπέμεινα· συγκαιομένη τῷ καύσωνι καὶ τῷ παγετῷ πηγνυμένη καὶ
τρέμουσα· ὡς πολλάκις με χαμαὶ πεσοῦσαν ἄπνουν ἐμμεῖναι σχεδὸν
καὶ ἀκίνητον· πολλαῖς τοίνυν καὶ ποικίλαις συμφοραῖς καὶ πειρασμοῖς
καὶ λογισμοῖς ἀνικήτοις ἐπύκτευον· ἐξ ἐκείνου δὲ καὶ μέχρι τῆς σήμερον
ἡ δύναμις τοῦ Θεοῦ ἡ πολύτροπος τὴν ἁμαρτωλόν μου ψυχὴν καὶ τὸ
ταπεινόν μου σῶμα διετήρησεν· ἐννοοῦσα γὰρ μόνον ἐξ ὅσων με
κακῶν ἐρρύσατο ὁ Κύριος· τροφὴν ἀδαπάνητον κέκτημαι τὴν ἐλπίδα τῆς
σωτηρίας μου· τρέφομαι γὰρ καὶ σκεπάζομαι τῷ ῥήματι τοῦ Θεοῦ τοῦ
διακρατοῦντος τὰ σύμπαντα· οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος·
καὶ παρὰ τὸ μὴ ἔχειν σκέπην, πέτραν περιεβάλοντο, ὅσοι τὸ τῆς ἁ-
μαρτίας ἀπεκδύσαντο περιβόλαιον· ἀκούσας δὲ ὁ Ζωσιμᾶς ὅτι
καὶ τῶν γραφικῶν ἐμνημόνευσε ῥήσεων, ἐκ Μωσέως καὶ Ἰὼβ καὶ τῆς βί-
βλου τῶν ψαλμῶν, ἔφη πρὸς αὐτήν· ψαλμοῖς δέ, ὦ κυρία μου, ἢ ἑ-
τέροις βιβλίοις ἐνέτυχες; ἡ δὲ ἀκούσασα τοῦτο ὑπεμειδίασεν καὶ φη-
σὶ πρὸς τὸν γέροντα· πίστευσόν μοι ἄνθρωπε, οὐκ εἶδον ἕτερον ἄνθρωπον ἐξότε τὸν
Ἰορδάνην ἐπέρασα, εἰ μὴ τὸ πρόσωπον σοῦ σήμερον· ἀλλ' οὐδὲ θηρίον
ἢ ἄλλο ζῶον τεθέαμαι, ἐξότε ταύτην εἶδον τὴν ἔρημον· γράμματα τοί-
νυν οὐ μεμάθηκα πώποτε· ἀλλ' οὐδὲ ψάλλοντός τινος ἢ ἀναγινώσκον-
τος ἤκουσα· ὁ δὲ λόγος τοῦ Θεοῦ ζῶν ἐστι καὶ ἐνεργής· αὐτὸς διδάσκει

γνῶσιν τὸν ἄνθρωπον ἕως ὧδε τὸ πέρας τῆς κατ᾽ ἐμὲ διηγήσεως·
καὶ νῦν ἐνορκῶ σε κατὰ τῆς τοῦ θεοῦ λόγου σαρκώσεως· εὔχεσθαι ὑπὲ-
ρ ἐμοῦ μὴ διαλίπῃς τῆς ἀσώτου διὰ τὸν κύριον. ταῦτα ἀκούσας ἐκείνης
καὶ τὸν λόγον συντελεσάσης, ὥρμησε βαλλεῖν αὖθις ὅπερ ἔφημεν μετάνοιαν καὶ
σὺν δάκρυσι μέγα κράζειν· εὐλογητὸς ὁ θεὸς ὁ ποιῶν μεγάλα καὶ θαυμαστὰ·
ἔνδοξά τε καὶ ἐξαίσια· ὧν οὐκ ἔστιν ἀριθμός· εὐλογητὸς ὁ θεὸς ὁ δείξας μοι
ἃ χαρίζῃ τοῖς φοβουμένοις αὐτόν· ὄντως γὰρ οὐκ ἐγκαταλείπεις θεέ
τοὺς ἐκζητοῦντάς σε κύριε· ἐκείνη δὲ ἐπιλαβομένη τοῦ γέροντος, οὐκ εἴασεν ἐχω-
ρῆσαι βαλλεῖν τελείαν μετάνοιαν· ἀλλ᾽ ἔφη πρὸς αὐτόν· ταῦτα πάντα
ἅπερ ἤκουσας ἄνθρωπε· ἐνορκῶ σε κατὰ τοῦ σωτῆρος Χριστοῦ τοῦ θεοῦ ἡμῶν μηδενὶ
ἐξειπεῖν ἕως ὅτε ὁ θεὸς ἀπὸ τῆς γῆς ἀπολύσῃ με· τὸ δὲ νῦν ἔχων μὲν ἐν εἰρήνῃ
πορεύθητι· καὶ πάλιν εἰς τὸ ἔτος τὸ ἐπερχόμενον, ὄψει με καὶ ὀφθήσομαι
σοι τῇ τοῦ θεοῦ φυλαττόμενος χάριτι· ποίησον δὲ διὰ τὸν κύριον ὅπερ
νῦν σοι ἐντέλλομαι· εἰς τὰς νηστείας τὰς ἱερὰς τοῦ ἔτους τοῦ μέλλοντος
μὴ περάσῃς τὸν Ἰορδάνην ὥσπερ εἰώθατε ποιεῖν εἰς τὸ μοναστήριον· ἐ-
ξίστατο δὲ ὁ Ζωσιμᾶς ἀκούων ὅτι καὶ τὸν κανόνα τοῦ μοναστηρίου ἀπ-
ήγγελλεν· καὶ οὐδὲν ἕτερον ἢ μὴ δοξάζων τὸν μεγάλως χαριζόμενον τοῖς ἀ-
γαπῶσιν αὐτόν· μεῖνον οὖν τοίνυν ἀββᾶ ὡς εἶπον εἰς τὸ μοναστήριον·
οὐδὲ γὰρ θέλοντί σοι ἐξελθεῖν δυνατὸν γενήσεται· τῇ δὲ ἁγίᾳ ἑσπέρᾳ τοῦ
δείπνου τοῦ μυστικοῦ· λαβέ μοι τοῦ ζωοποιοῦ σώματος καὶ αἵματος·
καὶ φέρε ἐκεῖ καὶ μεῖνόν με εἰς τὸ μέρος τοῦ Ἰορδάνου τὸ προσεγγίζον τῆς οἰκου-
μένης τοῖς μέρεσιν· ὅπως ἐλθοῦσα μεταλάβω τῶν ζωοποιῶν μυ-
στηρίων· ἐξότε γὰρ εἰς τὸν ναὸν τοῦ Προδρόμου πρὶν ἢ τὸν Ἰορ-
δάνην διελθεῖν μετέλαβον· οὐκέτι μέχρι τοῦ νῦν τοῦ ἁγιασμοῦ τούτου τε-
τύχηκα· καὶ νῦν ἐκείνου ἐφίεμαι ἀκατασχέτῳ τῷ ἔρωτι· διὸ παρακαλῶ
τὴν ἐμὴν μὴ παρακρούσασθαι αἴτησιν· ἀλλὰ πάντως ἀγαγεῖν μοι ταῦτα
αὐτὰ ζωοποιὰ καὶ θεῖα μυστήρια, καθ᾽ ἣν ὥραν ὁ κύριος τοὺς μαθητὰς αὐτοῦ
τοῦ θείου δείπνου μετόχους πεποίηκε· τῷ δὲ ἀββᾷ Ἰωάννῃ τῷ ἡγουμένῳ
τῆς μονῆς ἐν ᾗ κατοικεῖς ταῦτα εἰπέ· ἄδελφε πρόσεχε σεαυτῷ καὶ τῇ
ποίμνῃ σου· τινὰ γὰρ ἐκεῖ τελούμενα δέονται διορθώσεως· ἀλλ᾽ οὐ νῦν

στι θέλωσι τὰ ἀπ' αὐτοῦ, ἀλλ' ὅταν ὁ κ(ύριο)ς ἐπιτρέψῃ σοι. ταῦτα εἰποῦσα καὶ εὐχὴν ὑπὲρ ἐμοῦ τὸ γέρον ἐπιφήσασα, ἐπὶ τὸ βάθος τῆς ἐρήμου αὖθις ἐξέδραμεν. ὁ δὲ ζωσιμᾶς κλίνας τὰ γόνατα καὶ προσκυνήσας τὸ ἔδαφος, ἐν ᾧ ἔστησαν τὰ ἴχνη τῶν ποδῶν αὐτῆς, δοὺς τῷ θ(ε)ῷ δόξαν, εὐχαριστῶν ὑπέστρεψεν ἐν ἀγαλλιάσει ψυχῆς τε καὶ σώματος, δοξάζων καὶ εὐλογῶν χ(ριστὸ)ν τὸν θ(εὸ)ν ἡμῶν. αὖθις δὲ διελθὼν ἐκείνην τὴν ἔρημον ὁ ζωσιμᾶς ἔφθασεν εἰς τὸ μοναστήριον, καθ' ἣν ἡμέραν ὑπέστρεφον φθάσαντες οἱ αὐτόθι μονάζοντες. καὶ τὸν μὲν ἐνιαυτὸν ἐκεῖνον ἡσύχασεν, ἅπαν τὸ μηδενὶ τολμῶν ἐξειπεῖν ὃν ἐθεάσατο. καθ' ἑαυτὸν δὲ τὸν θ(εὸ)ν καθικέτευε δεῖξαι αὖθις αὐτῷ τὸ ποθούμενον. ἤσχαλλε δὲ καὶ ἐδυσφόρει τοῦ ἐνιαυτοῦ ἐννοῶν τὴν περίοδον. μίαν ἤθελεν ἡμέραν τὸν ἐνιαυτὸν ἐκεῖνον γενέσθαι, εἰ οἷόν τε ἦν. ἡνίκα δὲ ἔφθασεν τῶν ἱερῶν νηστειῶν ἡ ἐπερχομένη κυ(ριακ)ή, εὐθὺς μετὰ τὴν ἐξ ἔθους εὐχήν, οἱ μὲν ἄλλοι πάντες ἐξῄεσαν ψάλλοντες. αὐτὸς δὲ νόσῳ κατασχεθεὶς πυρέσσων καὶ μένειν ἔνδον ἠναγκάζετο. ἐμνήσθη δὲ ὁ ζωσιμᾶς τῆς ὁσίας ἀποφάσεως· ὅτι οὐδὲ θέλοντί σοι τῆς μονῆς ἐξελθεῖν δυνατὸν γενήσεται. ὀλίγαι δὲ ἡμέραι διέδραμον καὶ τῆς νόσου ἀναστὰς ἐν τῷ μοναστηρίῳ διέτριβεν. ἡνίκα δὲ οἱ μοναχοὶ πάλιν ὑπέστρεψαν καὶ ἐπέστη ἡ ἑσπέρα τοῦ δείπνου τοῦ μυστικοῦ, ἐποίησεν τὰ διαταχθέντα αὐτῷ· καὶ βαλὼν εἰς μικρὸν ποτήριον τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος χ(ριστο)ῦ τοῦ θ(εο)ῦ ἡμῶν, ἔβαλλεν εἰς μικρὸν κανίσκιον ἰσχάδας καὶ φοίνικας ὀλίγας καὶ φακὴν μικρὰν βρεχθεῖσαν ἐν ὕδατι· ἀπέρχεται δὲ βαθείας ὀψίας καὶ καθέζεται πρὸς τὸ χεῖλος τοῦ Ἰορδάνου, τῆς ὁσίας ἀναμένων τὴν ἄφιξιν. χρονιζούσης δὲ τῆς ἱερᾶς γυναικὸς ὁ ζωσιμᾶς οὐκ ἐνύσταξεν, ἀλλ' ἀκλινῶς ἑώρα τὴν ἔρημον, ἀναμένων ἰδεῖν ὅπερ ἐπεθύμει. ἔλεγε δὲ καθ' ἑαυτὸν ὁ γέρων καθήμενος· ἆρα μή ποτε τὸ ἀνάξιόν μου ἐλθεῖν αὐτὴν διεκώλυσεν; ἆρα μή ποτε ἦλθεν καὶ μὴ εὑροῦσά με αὖθις ὑπέστρεψεν; ταῦτα λέγων ἐδάκρυσεν· καὶ δακρύσας ἐστέναξε, καὶ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπάρας, τὸν θ(εὸ)ν ἱκέτευεν λέγων· μὴ στερήσῃς με δέσποτα

καὶ αὖθις ἰορδάνην ὅπερ διαβὰν ὡς ἐχώρησας· μὴ ἀπελθοῦσα κενὸς τὰς ἐ-
μὰς φέρω ἁμαρτίας ἀνέλεγχον· ταῦτα σὺν δάκρυσι προσ-
άξαμενος· εἰς ἕτερον λογισμὸν περιπέπτωκεν· ἔλεγεν γὰρ ἐν ἑαυ-
τῷ· τί δὲ ἂν ἄρα ἐλθοῦσα γένηται· πλοιάριον γὰρ οὐ πάρεστιν· πῶς
ποιήσεται τὸν ἰορδάνην διελθεῖν· καὶ πρός με περᾶσαι τὸν ἀνάξιον
οἴμοι τῆς ἐμῆς ἀναξιότητος· οἴμοι· τίς με καλοῦ τοιούτου δ'
καιρὸς ἐστέρησεν· ταῦτα λογιζομένου τοῦ γέροντος, ἰδοὺ καὶ τὸ ὅσιον
ἐμφανὲς γύναιον καὶ ἔστη πέραν ἐπὶ τοῦ ποταμοῦ ὅθεν καὶ ἤρχε-
το· ὁ δὲ ζωσιμᾶς ὡς εἶδεν αὐτήν· ἐξανέστη χαίρων καὶ ἀγαλλόμενος·
καὶ δοξάζων τὸν κ(ύριο)ν· αὖθις δὲ τῷ λογισμῷ τοῦ μὴ δύνασθαι αὐ-
τὴν περᾶσαι τὸν ἰορδάνην· ἐπάλαιεν· ἐν τῷ ἐνθυμεῖσθαι αὐτὸν
ταῦτα καὶ θλίβεσθαι· ὁρᾷ αὐτὴν τῷ σημείῳ τοῦ σταυροῦ τὸν ἰορδάνην
σφραγίσασαν· πανσέληνος γὰρ ἀπῆρχεν ἡ νὺξ ὡς ἔλεγεν· καὶ ἅμα
τῇ σφραγῖδι ἐπιβᾶσαν τῷ ὕδατι, καὶ πρὸς αὐτὸν ἐρχομένην· τὸν
δὲ τοῦτο θεασάμενον· καὶ θελήσαντα ποιῆσαι μετάνοιαν· διε-
κώλυσεν αὐτὸν κράξασα ἐπὶ τῶν ὑδάτων βαδίζουσα· τί
ποιεῖς ἀββᾶ ἱερεὺς ὑπάρχων καὶ βαστάζων τὰ θεῖα μυστήρια·
τοῦ δὲ πρὸς τὸ λεγόμενον εἴξαντος ἀναβᾶσα τοῦ ὕδατος ἔφησε
πρὸς τὸν γέροντα· εὐλόγησον, πάτερ εὐλόγησον· ὁ δὲ πρὸς αὐτὴν
ἀπεκρίνατο σὺν τρόμῳ· ἔκστασις γὰρ αὐτὸν ἔσχεν ἐπὶ τῷ παρα-
δόξῳ θεάματι· ὄντως ἀψευδὴς ὁ θ(εὸ)ς ὁ ἐπαγγειλάμενος ὁμοιοῦσθαι
θεῷ καθ' ὅσον ἐφικτὸν τοὺς ἑαυτοὺς ἐκκαθαίροντας· δόξα σοι χ(ριστ)ὲ
ὁ θ(εὸ)ς ἡμῶν· ὃς οὐκ ἀπέστησας τὴν προσευχήν μου καὶ τὸ ἔλεός σου
ἀπὸ τοῦ δούλου σου· δόξα σοι χ(ριστ)ὲ ὁ θ(εὸ)ς ἡμῶν ὁ δείξας μοι διὰ ταύτης
τῆς δούλης σου πόσον ἀπέχω μέτρον τῆς τελειότητος· καὶ ταῦτα
λέγοντος τοῦ ζωσιμᾶ· ᾔτησεν αὐτὸν ἡ γυνὴ τὸ ἅγιον εἰπεῖν τῆς πίστεως
σύμβολον· τό τε πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς προκατάρξασθαι·
καὶ τούτου γενομένου καὶ τῆς εὐχῆς πέρας λαβούσης κατὰ τὸ σύνη-
θες δέδωκεν ἀγάπην εἰς τὸ στόμα τῷ γέροντι· καὶ οὕτω τότε τῶν
ζωοποιῶν μυστηρίων μετέλαβεν· καὶ μεταλαβοῦσα εἰς οὐρανὸν τὰς χ(εῖρας)

ρῶ διατάρασσα. ἐστέναξε καὶ ἐδάκρυσεν καὶ οὕτως ἐβόησε· νῦν ἀπο
λύεις τὴν δούλην σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον
οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου. τότε λέγει τῷ ἱεροφάντῃ· συγχώρησον ἀββᾶ
καὶ ἄλλην μοι ἐπιθυμίαν μου πλήρωσον. καὶ νῦν μὲν ἄπελθε εἰς τὸ μοναστή
ριόν σου τῇ τοῦ θεοῦ εἰρήνῃ φρουρούμενος. εἰς δὲ τὸ ἔτος τὸ ἐπερχόμενον
ἐλθὲ καὶ αὖθις εἰς ἐκεῖνον τὸν χείμαρρον· ἔνθα σοι τὸ πρὶν συνετυχή
κα. ἔλθε πάντως διὰ τὸν κύριον καὶ πάλιν ὄψει με καθὼς θέλει ὁ κύριος. ὁ δὲ πρὸς
αὐτὴν ἀπεκρίνατο· εἴθε ἦν μοι δυνατὸν ἐντεῦθεν ἀκολουθῆσαί σοι·
καὶ βλέπειν διαπαντὸς τὸ σὸν τίμιον πρόσωπον. ποίησον δὲ δι'
αὐτὸν κύριον μίαν τοῦ γέροντος αἴτησιν· καὶ μικρὸν τροφῆς ἐξ ἧς ἐνήνο
χα ὧδε μετάλαβε. καὶ ἅμα ταῦτα εἰπὼν δείκνυσιν αὐτῇ ὅπερ
ἦχεν κανίσκιον. ἡ δὲ δακτύλοις ἄκροις τῆς φακῆς ἁψαμένη· καὶ τρεῖς
κόκκους ἀνελομένη, τῷ ἰδίῳ προσήγαγεν στόματι· ἀρκεῖν εἰποῦσα
τὴν χάριν τοῦ πνεύματος· ὥστε τηρεῖν τῆς ψυχῆς τὴν οὐσίαν ἀμίαντον.
καὶ ταῦτα φησὶ πάλιν εἶπε τῷ ἱεροφάντῃ· εὖξαι διὰ τὸν κύριον ὑπὲρ
εὖξαι μοι καὶ τῆς ἐμῆς διαπαντὸς ἀθλιότητος μέμνησαι. ὁ δὲ τοῖς
ποσὶ τῆς ὁσίας ἁψάμενος· καὶ εὔχεσθαι ὑπὲρ τῆς ἐκκλησίας
καὶ τῆς βασιλείας. καὶ αὐτοῦ ἐξαιτήσας σὺν δάκρυσιν, ἀφῆκεν αὐτὴν
ἀπελθεῖν στένων καὶ ὀδυρόμενος· λοιπὸν γὰρ οὐκ ἐτόλμα κατέ
χειν ἐπὶ πολὺ τὴν ἀκατάσχετον. ἡ δὲ καὶ αὖθις τὸν ἰορδάνην σφρα
γίσασα ἐπέβη τοῦ ὕδατος καὶ περιπατοῦσα διῆλθεν καθὰ
καὶ τὸ πρότερον. ὁ δὲ ἱεροφάντης ὑπέστρεψε χαρᾷ καὶ φόβῳ πολλῷ
συνεχόμενος· μεμφόμενος ἑαυτὸν ὅτι τὸ ὄνομα τῆς ὁσίας
μαθεῖν οὐκ ἐζήτησεν· ἤλπιζε δὲ ὅμως τοῦτο τυχεῖν εἰς τὸ ἔτος τὸ ἐ
περχόμενον κατὰ τὴν ἔρημον δηλαδή, ἢ τελέσαι κατὰ τὸ σύνηθες
καὶ τρέχων πρὸς ἐκεῖνο τὸ παράδοξον θέαμα ἠπείγετο. ὁδεύσας
δὲ τὸ τῆς ἐρήμου διάστημα· καὶ φθάσας τινὰ σημεῖα δηλοῦντα
τοῦ ζητουμένου τόπου τὴν εὕρεσιν, δεξιὰ περιέβλεπε καὶ εὐώ
νυμα· περιάγων πανταχοῦ τὸ βλέμμα ὡς θηρατὴς ἐμπειρό
τατος· ἄν που τι γλυκύτατον ζωγρήσοι θρέμμα· ὡς δὲ ἔβλεπεν

οὐδὲ μοῦ δ' ἀπόθεν κινουμένου· ἤρξατο αὖθις ἑαυτὸν καταβρέχειν τοῖς
δάκρυσι· καὶ τὰ νάματα ἄνω τὰ ὄμματα· προσευχόμενος ἔλεγε· δέδοι-
κα μὴ δὲ ὡς τὸν θησαυρόν σου τὸν ἄσυλον ὃν ἐν τῇδε τῇ ἐρήμῳ κατέ-
κρυψας· δέδοικα μὴ οὐδὲ αἰδοῦμαι τὴν ἐν σώματι ἄγγελον· ἧς οὐκ ἔστιν ὁ κόσμος
ἄξιος· ταῦτα προσευχόμενος τὸν τόπον κατέλαβε τὸν ἀρχὰς μαρ-
τύριον σχηματιζόμενον· καὶ στὰς ἐπάνω αὐτοῦ· ἴδεν πρὸς τὸ μέρος
πρὸς ἀνατολὴν τοῦ ἡλίου κειμένην τὴν ὁσίαν νεκράν· καὶ τὰς χεῖρας οὕ-
τως ὥσπερ ἔδει ἐντυπώσασα· καὶ πρὸς ἀνατολὰς ὁρῶν τῷ κειμένῳ σχή-
ματι· ὁ δὲ προσδραμὼν τοὺς πόδας τῆς μακαρίας δάκρυσιν ἔπλυνεν·
οὐδὲ μὸς γὰρ ἑτέρου μέρους ἐτόλμα ψαῦσαι τοῦ σώματος· δακρύσας
τοίνυν ἐφ' ἱκανὸν καὶ ψαλμοὺς ἀσῶν τῷ καιρῷ τοῦ πράγματος πρέπον-
τας· ἐποίησεν εὐχὴν ἐπιτάφιον· καὶ φησὶν ἐν ἑαυτῷ, ἆρα γε θάψαι
προσήκει τὸ τῆς ὁσίας λείψανον; ἆρα μὴ καὶ τοῦτο ἀπαρέσκει τῇ
μακαρίᾳ γινόμενον; καὶ ταῦτα λέγων· ὁρᾷ πρὸς τὴν κεφαλὴν αὐτῆς
ἐκτετυπωμένην γραφὴν ἐν τῇ γῇ· δι' ἧς ταῦτα εἰσεγέγραπτο·
θάψον ἀββᾶ ζωσιμᾶ· ἐν τούτῳ τῷ τόπῳ, τῆς ταπεινῆς μαρίας
τὸ λείψανον· ἀπόδος τὸν χοῦν τῷ χοΐ· ὑπὲρ ἐμοῦ προσευχόμενος
διὰ τὸν κύριον· τελευτησάσης μηνὶ φαρμουθὶ κατ' αἰγυπτίους· ὃς κατὰ
ῥωμαίους ἀπρίλλιος· ἐν αὐτῇ τῇ νυκτὶ τοῦ σωτηρίου πάθους· μετὰ
τὴν τοῦ θείου καὶ μυστικοῦ δείπνου μετάληψιν· ταῦτα τοίνυν ἀνα-
γνοὺς ὁ γέρων τὰ γράμματα· πρῶτον μὲν ἐλογίζετο· τίς ἄρα
ὁ γεγραφώς· ἐκείνη γὰρ ὡς ἔλεγεν οὐκ ἐπίστατο γράμματα· ἐχά-
ρη δὲ ὅμως· ὅτι τὸ ὄνομα τῆς ὁσίας μεμάθηκε· ἐπέγνω δὲ ὅτι
ἅμα τῷ τῶν θείων μυστηρίων ἐπὶ τοῦ ἰορδάνου μετέλαβεν· εὐθέως ἐν
τῷ τόπῳ γέγονεν ἔνθα ἐτελειώθη· καὶ ἥνπερ ὁδὸν εἴκοσι ἡμερῶν ζωσιμᾶς
διὰ εἴκοσι ἡμερῶν κοπιῶν, ἐκείνη ἐν ὥρᾳ μιᾷ ἡ μακαρία διέδραμεν·
καὶ εὐθέως πρὸς τὸν θεὸν ἐξεδήμησεν· δοξάζων δὲ τὸν θεόν· καὶ βρέχων τὸ
σῶμα τοῖς δάκρυσιν· καιρὸς ἔφη ταπεινὲ ζωσιμᾶ, τὸ κελευσθὲν
ἐκτελέσαι· ἀλλὰ πῶς ποιήσεις τάλαιπωρε· ὄρυγμα ἐν χερσὶν μὴ
ἔχων· τὸ σύνολον· καὶ τοῦτο εἰπών· ἴδεν ἐκ μικροῦ διαστήματος ξύλα

11741.

MSS.

GREEK

COMMENTARY